
Digitized by Google

4
2
268

BIBLIOTECA NAZIONALE
CENTRALE - FIRENZE
50.000 - 10-939

4. 2. 268

4. K. 2. 268

Digitized by Google

Digitized by Google

Digitized by Google

ΑΝΕΚΔΟΤΑ.

Digitized by Google

PARISIIS ET ARGENTORATI,

APUD F. G. LEVRAULT;

BRUXELLIS,

APUD EUMDEM, IN BIBLIOPOLIO PARISINO.

Digitized by Google

ΑΝΕΚΔΟΤΑ.

ANECDOTA GRÆCA

E CODICIBUS REGIIS

DESCRIPSIT ANNOTATIONE ILLUSTRAVIT

J. FR. BOISSONADE.

Συναγάγετε τὰ περισσεύσαντα κλάσματα,
ἵνα μή τι ἀπόληται. — JOANN. VI, 12.

VOL. V.

PARISIIS,

EXCUSUM IN REGIO TYPOGRAPHEO

REGIS PERMISSU

DATO DIE V DECEMBRIS M. DCCC. XXVII.

M. DCCC. XXXIII.

Digitized by Google

Digitized by Google

PRÆLOQUIUM.

Viris doctis qui gentium historiæ præcipue student probatum iri confido id quod posui studii ac diligentiæ in edendis S. Arethæ actis ; quippe quibus res inter Æthiopes ac Arabes sæculo sexto gestæ non parum illustrantur. Sammartinus, homo egregie eruditus, quem nuper rapuit immaturum cholerica lues, illo opusculo, ac proximo quod est de legibus Homeritarum, valde se fuisse delectatum mihi significavit.

Post Homeritas, in publicum prodeunt Notaras ac Gennadius, qui fuerunt sub ultimos imperii Byzantini annos ingenio et loco præcipui, sed ex quorum mutuis epistolis non multo doctior recedet lector. Erit tamen quod non sine voluptate et admiratione intelligat ; scilicet vel ea ætate, qua publicæ res præcipites ruebant, viguisse adhuc optimarum literarum studia, et Notaram, hominem militarem ac summæ negotiorum administrationi præfectum, non lingua plebeia uti voluisse et cor-

Digitized by Google

rupta, sed antiquæ orationis affectasse castitatem.

At longius præfandum mihi, et lectoribus, fuerit, si sic per singulos eam scriptores, de quibus fuit suo loco in notis monitum. Satis nunc fiet, si significaverim scriptorum quos hoc volumen continet nonnullos esse memoratis paulo antiquiores, non antiquos tamen, quod doleo: Manuelem Holobolum, Nicephorum Chumnum, Michaelem Choniatam, Georgium Pachymerem; alios esse tempore etiam posteriores, Nicolaum Secundinum, Andronicum Callisti, Bessarionem, Bessarionis laudatorem Gregorium, Amirutzem, cujus placebit Epistola qua Trapezuntem a Turcis expugnatam describit.

Si quis autem putabit ultimum me in hoc volumine locum auctoribus ultimæ ætatis dedisse, quod nulli suppeterent mihi notæ vetustioris quos typis traderem, errare se moneatur. Experiri an lectorum tædiis occurrere argumentorum et dictionis varietate possem, habui tantum in animo. Nam superest adhuc magna apographorum copia; sunt ad manum Nicephori Chumni epistolæ multæ, multæ Pachymeris declamationes, Pselli et Manuelis

Digitized by Google

Palæologi opuscula, Argyropuli orationes, aliorum alia scriptorum scripta. Illa autem servo, non sexto volumini, nam sextum nullum erit volumen, sed alii tempori, alii syntagmati.

Etenim maximam in Remusato ac Sammartino, quos voravit pestilens annus, jacturam feci. Meis favebant studiis, nec, quos altioris doctrinæ conscientia fecerat fere fastidiosiores, grammaticam circa græculas scriptiunculas eruditionem meam fastidiebant; et me propemodum amabant, non tam propter me quam propter sua adversus me beneficia; quæ non minima plerumque causa est amicitiæ. Alia etiam, eaque magna, in Villeboisio jactura mea fuit, qui, post rerum publicarum conversionem, se munere abdicavit, in quo, quum mihi prodesse vellet, id poterat. Tanto destitutus virorum mihi faventium præsidio, non statim audebam necessariorum sexto volumini imprimendo sumtuum erogationem postulare. Sed, quum paulo firmatior fuerit animus, circumspiciam, et an aliquid forte in eos possim qui in ea re multum nunc possunt tentabo. Est enim ut adhuc me bona spe recreem; siquidem in summo de libris publice

imprimendis concilio, cui præest Lebrunius vir literatissimus, assessores sunt Sacyus, Daunovius, Cusinus, Naudetus, viri doctissimi ac studiorum æquissimi æstimatores, qui non se speciosis capi sinant nominibus, et probe noverint quantum vel ex infimis scriptoribus possit in vetustiores et optimos fructus redundare, quantumque ad philologiam quæ dicitur augendam valeant et promovendum historiæ, cum publicæ, tum ecclesiasticæ et literariæ, ambitum.

ΑΝΕΚΔΟΤΑ.

ΜΑΡΤΥΡΙΟΝ

ΤΟΥ ΑΓΙΟΥ ΑΡΕΘΑ

ΚΑΙ ΤΗΣ ΣΥΝΟΔΙΑΣ ΑΥΤΟΥ ΕΝ ΝΕΓΡΑ ΤΗ ΠΟΛΕΙ.*

Ἔτους πέμπτου τῆς βασιλείας Ἰουστίνου (1) τοῦ

* E codice 1537, notando infra litera A. Fundus erit recensionis. Passim utar codice 1454, notando litera B, qui plurimas exhibet varietates, quas singulas memorare ut in tali opere vix operæ pretium fore duxi. Ex multis paucas selegi. Ac in lemmate ex B adsumsi loci mentionem, ut statim intelligeret lector res traditum iri non vulgares. Si unquam historiarum id genus studium revixerit, quod est nunc intermortuum, qui post me res Arethæ tractabunt, et hunc codicem et multos alios, quos ne inspexi quidem, conferre debebunt. Est alia de Aretha narratio, quam, e codice Coisliniano 110 a me descriptam ut ederem, subinde ad partes vocabo. Hujus autem lemma hocce est et initium : Μετάφρασις τοῦ ἁγίου μάρτυρος Κρίσκα καὶ τῶν σὺν αὐτῷ, καὶ τῶν ἐπὶ χρόνος πραχθέντων διήγησις : Ἔτος ἦδη πέμπτον ἐκείνῳ τῷ εὐσεβεῖ Ἰουστίνῳ. Quam narrationem Symeoni Metaphrastæ tribuit, idque merito, Lambecius Comm. Bibl. Cæsar. tom. VIII, p. 541, monetque ejus exstare latinam versionem apud Surium t. V (cf. Bibl. Gr. t. X, p. 200). Putat autem alteram illam narrationem quam nunc edo, Lambecius, t. VIII, p. 823, e Nonnosi historia esse desumtam; quod mihi nondum persuasit.

(1) B, Ἰουστιανοῦ. Voluitne librarius scribere Ἰουστιανοῦ? Et fuerunt quidem qui res mox narrandas ad Justiniani ævum referrent; sed nomen et ætas Justini plus habent et auctoritatis et veritatis. Vide novam Historiæ Infimi Imperii editionem, quam curavit eruditissimisque instruxit notis ac supplementis vir doct. Sammartinus, t. VIII, p. 49, n. 1. Et ætatem Justini firmant synchronismi sequentes, quos diligens adtulit auctor : indictio secunda, quæ anni est 523 vel 524; annus 835 æræ Antiochenæ

φιλοχρίστου, βασιλεύσαντος τῆς Ῥωμαίων πολιτείας, ἐν ἰνδικτιῶνι δευτέρᾳ, κατὰ δὲ Ἀντιόχειαν τῆς Συρίας πέμπτου καὶ τριακοστοῦ ὀκτακοσιοστοῦ, μηνὸς ὑπερβετεραίου ὅς ἐστιν ὀκτώβριος (1), ἐπισκοπεύοντος (2) τῆς Ἱερουσαλὴμ Ἰωάννου, Ἀλεξανδρείας Τιμοθέου (3), Ἀντιοχείας Εὐφρασίου· τότε τῆς Αἰθιόπων χώρας ἐβασίλευσεν Ἐλεσβὰς (4) ὁ δικαιότατος ἐν Αὐξουμῇ (5) τῇ πόλει τῆς Αἰθιοπίας.

Συνέβη τότε βασιλέα εἶναι τῶν Ὁμηριτῶν (6) Δουναὰν (7), ἑβραῖον ὄντα καὶ παρανομώτατον καὶ αἱμοβόρον παρὰ πάντας τοὺς ἀνθρώπους ἐν τῷ ἔθνει τῶν Ὁμηριτῶν.

Macedonicæ, qui et in annum vulgarem 523 incidit; Joannis Hierosolymitanus patriarchatus, Timothei Alexandrinus, Antiochenus Euphrasii, qui ad Justini tempora pertinent.

(1) Lambecius, qui initium hujus narrationis e cod. Vindobonensi descripsit, exhibet ὅ ἐστιν ὀκτωβρίῳ πρώτῃ. Forsan male legit.

(2) A, ἐπισκοποῦντος. Lambec., ἐπισκοπατοῦντος: quod verbum Cangio suspectum videbatur, immerito; quum ex ἐπισκοπάτον formare potuerint ἐπισκοπατεύω.

(3) Lamb. inserit, Κωνσταντινουπόλεως Ἰωάννου: B, Κωνσ. Τιμοθέου. Quæ nomina non omnino conveniunt; nam Timotheus a. 517 successorem habuit Joannem, cui a. 520 Epiphanius successit. Vide Lequien. Orient. Christ.

(4) B, Ἐλεσβαάν. Lamb. Ἐλεσβαάμ. Symeon Metaphr. cod. Coislin.: ὅτε τῆς Αἰθιόπων ἀνὴρ ἐπ' εὐσεβείᾳ καὶ δικαιοσύνῃ διαβόητος Ἐλεσβαὰν ἐβασίλευσεν ἐν Αὐξουμῇ. . . . De hoc rege vide Sammartin. ad Hist. Inf. Imp. t. VIII, pp. 48, n. 2; 49, n. 4.

(5) Lamb. Αὐξωμῇ. B non potest legi. De hac urbe Sammartin. ibid. pp. 45, n. 5; 50, n. 1.

(6) De Homeritis Arabiæ Felicis incolis Sammart. ib. p. 45, n. 3, et t. XI, p. 73, n. 1; Larcher. ad Herod. t. I, pag. 174; Reisk. Misc. Lips. Nov. t. VIII, pag. 300, 302; mox p. 4, n. 1.

(7) De Dunaano, quem historici Arabes vocant *Dhou-Nowas*, vide Sammartin. pag. 53, n. 4. Quam egregio fortitudinis exhibito specimine meruerit ut ad regium fastigium eveheretur narrat Massudius apud S. Sacyum Memor. Acad. Inscr. t. XLVIII, pag. 682.

Ἔστιν δὲ αὕτη ἡ χώρα παρὰ μὲν τῇ θείᾳ γραφῇ Σαβὰ (1) λεγομένη, παρὰ δὲ τοῖς ἔξω ἡ Εὐδαίμων Ἀραβία.

Ἐν ταύτῃ δὲ τῇ Σαβᾷ χώρᾳ πάντες οἱ κατοικοῦντες ἰουδαῖοί τε καὶ ἕλληνες ἐτύγχανον (2), οὐ κατὰ τὰς ἐντολὰς τοῦ νόμου ζῶντες, ἀλλὰ κατὰ τὰ παραφυλάγματα καὶ βλασφήμους ἐντολὰς τῶν ὑποκριτῶν Φαρισαίων καὶ Σαδδουκαίων (3). Πάσης δὲ τῆς οἰκουμένης σαντί τε καὶ σανταχοῦ σεβομένων καὶ δοξαζόντων Χριστὸν τὸν ἀληθινὸν ἡμῶν θεὸν, τὸν συμβασιλεύοντα τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, μόνη ἡ χώρα τῶν Ὁμηριτῶν, ἥτις λέγεται Σαβὰ, κατείδωλος ἐν δοκήσει ἰουδαϊσμοῦ ὑπῆρχον, τὸν Θεὸν μὴ φοβούμενοι καὶ τὰ εἴδωλα τιμῶντες, ὥστε συνεχεῖς πολέμους γίνεσθαι μεταξὺ τοῦ βασιλέως τῶν Αἰθιόπων, καὶ τοῦ (4) τῶν Ὁμηριτῶν ὑποφόρου ὄντος τῷ Αἰθίοπι. Καὶ διαφόρως ζήλῳ θείῳ κινούμενος Ἐλεσβὰς ὁ χριστιανικώτατος βασιλεὺς ἐπιστρατεύσατο καὶ τὸν παράνομον βασιλέα κατεκολάφισεν.

Ὑπάρχει δὲ πόλις μυριάνδρος ὑπὸ τὴν ἐποικίαν τοῦ Ὁμηρίτου, λεγομένη Νεγράν (5). Αὕτη ἡ πόλις ἄνωθεν φωτισθεῖσα σέβεται ἔτι καὶ νῦν τὴν ἁγίαν καὶ

(1) Quod est recte animadversum. Vide S. Sacyum Memor. Acad. Inscr. t. XLVIII, pag. 502.

(2) B, καπικοῦντες ἕλληνές τε καὶ βάρβαροι ὑπῆρχον. Disertius Symeon Metaphr. cod. Coisl.: τοὺς ὑπὸ χεῖρα πάντας μὲν εἶχον ἐμπεριτόμους, ἄλλους μὲν ἰουδαΐζοντας, οὓς δὲ καὶ πλέον ἑλληνίζοντας, θύοντας ἡλίῳ καὶ σελήνῃ καὶ δαίμοσιν, οὓς δὲ κατὰ τὸν ἐπιχώριον τρόπον ἱδρυσάμενοι ἐθεράπευον.

(3) De his Judæorum sectis præcipuis vide S. Sacyum Chrestom. Arab. t. I, pag. 323, coll. pag. 348.

(4) Inserui τοῦ. B, ὁμηριτῶν, χριστανῷ ὄντος τῷ αἰθίοπος.

(5) Vulgo *Nadjran*, vel *Nagran*. Vide Sammartin. p. 55.

ὁμοούσιον Τριάδα, παραλαβοῦσα τὴν τοιαύτην πίστιν καὶ διδασκαλίαν ἐκ τῶν ἁγίων καὶ θεοφόρων πατέρων ἀπὸ μακρῶν καὶ παλαιῶν τῶν χρόνων (1).

Συνέβη δὲ ἡττηθέντα (2) τὸν ἰουδαῖον βασιλέα τῶν Ὁμηριτῶν φυγεῖν αὐτὸν καὶ ἐν ὄρεσιν ὀχυροῖς φρουρεῖσθαι, ὑποσπράξαι δὲ Ἐλεσβὰν τὸν βασιλέα τῶν Αἰθιόπων ἐν τῇ ἰδίᾳ βασιλείᾳ, ἐάσαντα στρατὸν καὶ στρατιάρχην ἕνεκα παραφυλακῆς πάσης τῆς τῶν Ὁμηριτῶν χώρας. Ὁ δὲ μισόκαλος δαίμων, ὁ ἀεὶ τοῖς εὐσεβῶς βουλομένοις ζῆν ἀντιδικῶν, ὤπλισεν πάλιν τὸν βασιλέα τῶν Ὁμηριτῶν κατὰ τῶν ἐαθέντων ὑπὸ τοῦ βασιλέως τῶν Αἰθιόπων. Καὶ τούτους ἀνεῖλεν, καὶ διωγμὸν ἀπάνθρωπον ἔστησεν κατὰ τῶν σεβομένων τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπὶ πάσῃ τῇ περιχώρῳ αὐτοῦ. Καὶ μετὰ τὸ πάντας τοὺς ὑπ' αὐτοῦ συσχεθέντας ἀνελεῖν χιλιάνδρους, κινεῖ τὰ στρατόπεδα αὐτοῦ κατὰ τῆς εἰρημένης φιλοχρίστου πόλεως τῶν Νεγρανιτῶν, πρὸς τὸ πορθῆσαι αὐτήν.

Ἔστιν δὲ ἡ χώρα τῶν Ὁμηριτῶν ἐκ νότου τοῦ νῦν ὑπὸ Ῥωμαίους ὄντος καὶ λεγομένου Φοινικῶνος, ἀπέχουσα μονὰς τριάκοντα· ἡ δὲ αὐτὴ χώρα (3) ἔστι διαστήματος μονῶν εἴκοσι καὶ πέντε, κατοικουμένη δίχην ῥόας (4). Ἡ δὲ Ἰνδικὴ χώρα, ὅθεν τὰ ἀρώ-

(1) Symeon Metaphr. cod. Coisl. : Νεγρὰν τῇ Τριάδι προσθεμένη καὶ τῷ τοῦ Χριστοῦ ὀνόματι, ἐξόπ Κωνσλάντος πρὸς Σαβαίους, τοὺς νῦν Ὁμηρίτας, τοὺς ἐκ Χετταύρας τῷ Ἀβραὰμ γενομένους (Genes. xxv, 1, 3), πρεσβείαν ἐστείλατο, καὶ, δώρεις οἰκειωσάμενος τὸν τοῦ ἔθνους βασιλέα, ἐκκλησίας ἐδείματο, καὶ πνα Θεόφιλον..... πρὸς ἐφορείαν τῶν πιστούντων ἐξέπεμπτν. Cf. Hist. Inf. Imp. t. I, pag. 438, et ibi Sammart.

(2) B, συνέβη οὖν ἐν ἐκείνῳ καιρῷ ἡττηθέντα.

(3) B, χώρα τοῦ ὁμηρίτου.

(4) Sic A. Posset Ῥόας capi de urbe Roa. B, varietate nota-

ματα καὶ ὁ πίπερ καὶ ὁ μέταξος (1) καὶ ὁ πολύτιμος μαργαρίτης ἐξέρχεται, ἀπέχει μονὰς ἑβδομήκοντα. Ἡ δὲ Ῥωμανία (2) ἐκ βορρᾶ τῆς τοιαύτης χώρας μονὰς ἑξήκοντα, ὥστε διοδεύεσθαι διὰ γῆς ἀπὸ (3) τῆς Ῥωμαίων χώρας ἐπὶ τὸν Ὁμηρίτην, διὰ δὲ θαλάσσης ἀπὸ Ῥωμανίας ἐπὶ τὴν Αἰθιοπίαν, καὶ ἀπὸ Αἰθιοπίας ἐπὶ τὸν Ὁμηρίτην. Ἔστι δὲ καὶ αὕτη ἡ θάλασσα ἀπὸ τοῦ Ὁμηρίτου ἐπὶ τὴν Ἰνδίαν, καὶ μέχρι τῆς Περσίδος.

Χειμῶνος οὖν ἑστῶτος (4) οὐκ ἠδυνήθησαν ὅ τε βασιλεὺς τῶν Αἰθιόπων καὶ τὰ στρατεύματα αὐτοῦ ἀντιπαρατάξασθαι τῷ Ἑβραίῳ πολεμοῦντι τὴν τῶν ἁγίων σεμνήν τε καὶ (5) πανεύφημον πόλιν Νεγρὰν, ἥτις

bili : οἰκουμένη καὶ κατοικουμένη καὶ πεπληρωμένη ὡς ἐπὶ ῥωσαφά. Videtur posse ἐπὶ de tempore sumi, ut sit sensus, « ut sub Rosapha, » ut tempore Rosaphæ. » Sed princeps Rosapha tam illustris ignoratur. Poterit, mutato ἐπὶ in ἐστὶ, intelligi de Rosapha, urbe Syriæ, de qua vide Notit. Mss. tom. II, pag. 439; S. Sacyum Chrest. Arab. t. III, pp. 57, 74; et de qua legitur fuisse populosam, adeo ut ex incolarum multitudine comparatio proverbialis exstare potuerit. Poterit etiam, si per tempora licebit, cogitari de Rosapha, quæ est aut fuit urbis Bagdadi regio; Bagdadum autem, Makrizio teste, maximas urbes civium immenso numero superat : vide S. Sacyum ibid. t. I, p. 54, 250. Sed judicium esto penes orientales viros.

(1) B, τὸ πίπερι καὶ ἡ μέταξις. Est μέταξος, vulgarius ἡ μέταξα, sericum. Vide Reisk. ad Constant. De cerem. pp. 563, 791, N; mea ad Herod. Epim. pp. 125, 227. Ibi in Basilii loco, pro mendis typorum ἀσθενάρας et παρεικάμμενον, reponas ἀσθενεστέρας et παρεικασμένον.

(2) Est Romania, quam alii dicunt Asiam Minorem, Arabibus *Roum;* ni ipsum romanum imperium.

(3) B, ἑβδομήκοντα, ἡ δὲ αἰθιοπία τοῦ ὁμηρίτης (imo ὁμηρίτου) μονὰς τριάκοντα, ἡ δὲ ῥωμ. . . χώρας μήλια ἑξήκ. ὥστε διοδ. ἀπό.

(4) B, ἐνστᾶντος.

(5) B, τῶν ἁγ. ἀθλοφόρων τούτων σεμνὴν καί. Serius Negran vocata fuit Martyrum Civitas. Vid. Fabric. Biblioth. Græc. tom. X, pag. 116, 5; cf. et infra p. 59, 16.

ἑρμηνεύεται πόλις βεβιτῶσα Ἑβραϊστὶ καὶ πάλιν μοχλὸς ἀκαταμάχητος (1). Τοιγαροῦν παραγίνεται ὁ τῶν Ἑβραίων βασιλεὺς ἐν ταύτῃ τῇ πόλει, καὶ ὁρᾷ σημεῖον τοῦ σταυροῦ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἱστάμενον ἐπὶ ξύλου. Καὶ, περιχαρακώσας τὴν πόλιν διὰ πολεμίων στρατοπέδων, ἐξέπεμψεν κήρυκας, παραχελευσάμενος βοᾶν, ὅτι, « Εἴ τις μὴ βλασφημήσῃ τὸν ἐσταυρωμένον καὶ ἐξουδενώσῃ τὸ παρὸν τοῦτο τῆς ἁγίας σημείου ξύλον, ἐν πυρὶ καὶ φόνῳ μαχαίρας (2) ἀπολεῖται· εἴ τις δὲ ὁμόφρων μου γένηται, ἁρπούμενος ἣν λέγουσιν οἱ τοῦ Γαλιλαίου Τριάδα, πολλῶν τιμῶν ἀξιωθήσεται καὶ ἐν πολλῇ παῤῥησίᾳ τυγχάνων ἔσται ἐν τῇ ἐμῇ βασιλείᾳ. Ἰδοὺ γὰρ πάντας τοὺς ἁλόντας (3) ὑπὸ τοῦ βασιλέως τῶν Αἰθιόπων ἐν τῇ ἐμῇ χώρᾳ, ἔτι μὴν καὶ τοὺς ὑπὸ τὴν ἐμὴν βασιλείαν ὄντας (4) χιλιάρχους, ἱερεῖς τε καὶ τοὺς λεγομένους μοναζοντας, ξίφει καὶ πυρὶ παραδέδωκα, τὰς δὲ λεγομένας ἐκκλησίας τῶν χριστιανῶν εἰς πάσας τὰς ἐμὰς περιχώρους καταπαύσας καὶ καταστρέψας μέχρις ἐδάφους, κονιορτὸν ἀπέλεσα. Καὶ ἰδοὺ πάρειμι πρὸς ὑμᾶς, ὦ Νεγρανῖται, μετὰ δυνάμεως πολλῆς καὶ βραχίονος ὑψηλοῦ (5), καὶ ἐπιλέκτων πολεμιστῶν πολεμούντων ὑμᾶς ἑκατὸν εἴκοσι χιλιάδων (6). »

Οἱ δὲ τῆς πόλεως ἀπεκρίναντο ἀπὸ τῶν τειχέων· « Ἡμεῖς ἐδιδάχθημεν, ὦ βασιλεῦ, σέβεσθαι καὶ προσκυνεῖν Θεὸν τὸν παντοκράτορα καὶ τὸν Λόγον αὐτοῦ,

(1) Etymon de vecte non probabilitate syllabica caret. Conf. similia pag. 36, 21.

(2) Loquutio est biblica.

(3) A, ἅλαπας. B, ἁλόντας.

(4) Sumsi ὄντας ex B.

(5) Et id est biblicum.

(6) Symeon Metaphr. : πλεῖον ὅσον συναγείρας στρατὸν περί που δύο καὶ δέκα μυριάδας.

δι' οὗ τὰ πάντα ἐγένετο, καὶ τὸ Πνεῦμα αὐτοῦ τὸ Ἅγιον, τὸ ζωοποιοῦν (1) τὰ πάντα, οὐ πολυθεΐαν παρεισάγοντες, οὐδὲ στένωσιν μοναρχίας γνωρίζοντες, ἀλλὰ μίαν θεότητα ἐν τρισὶν ὑποστάσεσι. Τὴν αὐτὴν μίαν δύναμιν προσκυνοῦμεν καὶ σεβόμεθα, ἣν οἱ πατέρες ἡμῶν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, Μωσῆς καὶ Ἀαρὼν, Σαμουὴλ, Δαυὶδ καὶ οἱ προφῆται πάντες ἐσέβοντο. »

Τότε ὀργισθεὶς ὁ ἐν νόμῳ (2) παράνομος βασιλεὺς τῶν Ὁμηριτῶν ἐποίησεν πολιορκῶν αὐτοὺς ἐπὶ πολλὰς ἡμέρας, χρησάμενος μηχανήμασι καὶ δεινοτάτοις σκεύεσι πολεμικοῖς, ἐν οἷς οὐκ ἠδυνήθη πόλιν πορθῆσαι τεθεμελιωμένην ἐπὶ τὴν πέτραν (3) τῆς πίστεως τοῦ Χριστοῦ. Ἤγαγε δὲ πάντας τοὺς ἐν τοῖς προαστείοις καὶ ἀγροῖς τῆς πόλεως καὶ κτήμασι· καὶ τοὺς μὲν ἀνεῖλε, τοὺς δὲ δούλους ἐχαρίσατο (4) τοῖς ἑαυτοῦ μεγιστᾶσι καὶ ἀρχηγοῖς καὶ ἐθνάρχαις.

Γνοὺς δὲ ὅτι οὐχ οἷός τε ἔστι πρὸς τὴν πόλιν εἰς πολιορκίαν, τὸν ἀνθρωποκτόνον ὄφιν, τὸν ἀεὶ ἐπιβουλεύοντα τοῖς ἐν Κυρίῳ ζῶσι μιμεῖται. Καὶ ἄρχεται ὀμνύειν καὶ ἐπικαλεῖσθαι τὸν θεὸν τοῦ νόμου καὶ τὰς ἁγίας δυνάμεις, ὅτι « Οὐ βλάψω τινὰ τῆς πόλεως (5), οὐδὲ καταναγκάσω βλασφημῆσαι εἰς τὴν

(1) Cf. t. IV, p. 83, n. 3.

(2) Scilicet in lege Mosis, quippe judaïsans.

(3) Respectu ad Matth. VII, 25 : οὐκ ἔπεσε (ἡ οἰκία)· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν.

(4) Soph. Antig. 201 : ἠθέλησε δ' αἵματος Κοινοῦ πάσασθαι, τοὺς δὲ δουλώσας ἄγειν. Latina versio : « hosque cives in servitutem ab- » ducere » ; quasi legeretur, τούσδε δὲ δουλ. Oratio est brevior, et intelligenda : αἵματος κοινοῦ τῶν μὲν πάσασθαι, τοὺς δὲ δουλ.

(5) B, τινὰ τῶν τῆς π. Sed altera lectio stare potest. Sic Sophocles, τὶς στρατοῦ Aj. 1194 : qui et alia habet similia.

σεβομένην θρησκείαν, ἀλλ' ἢ μόνον ὑποσπόνδους γενέσθαι ὑμᾶς, καὶ ἀνοῖξαι τὴν πόλιν, καὶ εἰσελθεῖν ἔτι ἱστορίας ἕνεκα (1) καὶ τοῦ κομίσασθαι ὅπερ ἐποφείλετέ μοι, τούτου καὶ μόνου τοῦ ἔτους, τὸ ἐξ ἔθους διδόμενον ἐπὶ κεφάλαιον ὑπὲρ ἑκάστης ψυχῆς (2), ἀνδρός τε καὶ γυναικὸς, δούλου καὶ ἐλευθέρου, νηπίου καὶ πρεσβύτου, γεωργοῦ καὶ χειροτέχνου, ἀπὸ ἑλκάδος (3) μιᾶς.»

Ἔστι δὲ αὕτη ἡ μονῆτα βασιλικὴ Ὁμηριτικὴ, σταθμὸν ἔχουσα χρυσίου κερατίων Ῥωμαϊκῶν δώδεκα (4), ὡς συνάγεσθαι ἐνιαυσιαῖον κανόνα ἐκ τῆς εἰρημένης πόλεως Νεγρὰν χρυσοῦ τάλαντα ἑκατὸν τριάκοντα. Ἔστι δὲ τὸ τάλαντον ἐν τῇ τῶν Αἰθιόπων χώρᾳ καὶ Ὁμηριτῶν λιτρῶν δεκατριῶν.

Ὁ δὲ λαὸς τοῦ Θεοῦ ὁ (5) ἐν τῇ πόλει, πειθαρ-

(1) Locus impeditus, et cui librarii nocuerunt. Quod B habet varietatis sententiam non facit nitidiorem : ἀναγκάσω, ... σεβομένην ὑπ' αὐτῶν θρ. ἀλλὰ μόνον... εἰσελθεῖν ἱστορ. χάριν τῆς πόλεως. Symeon Metaphr. cod. Coisl. melius : χρησάμενος ὅρκοις φρικώδεσι καὶ μέσον παρενθεὶς τῶν λαλουμένων ὥσπερ ἔφορον τὸν τοῦ νόμου θεὸν, μηδὲν πλέον καταναγκάσαι αὐτοὺς τῆς ἐκ πατέρων ἀποστῆναι δόξης, ἀλλ', ἐάσαντας ἐνδὸν τῆς πόλεως χάριν θέας εἰσελθεῖν, οὐκ ἄλλο τι τῶν προσδοκωμένων ὑπ' αὐτοῦ παθεῖν ἢ τὸν ἐτήσιον ἐπιδοῦναι φόρον....

(2) B, inter alias variantes, ἐπὶ κεφαλαίου ὑπὲρ ἑκ. ψ. οἰκούσης ἐν τῇ πόλει.

(3) A, ὁλκάδος. B, ἑλκάδος. Mox B, ἔστι δὲ αὕτη ἡ λεγομένη ἑλκὰς μονῆτα. Visum est esse ἑλκὰς nomen ἀραβικοφανὲς, male a Græco librario in ὁλκὰς mutatum. Melius etiam fuerit ἑλκὰς, quum ἑλ videatur arabicus esse articulus. — A, αὐτὴ ἡ μονίτα. Est μονίτα, vel μονῆτα, latinum moneta.

(4) B, ὁμηρικὴ ς. ἔχ. χρ. ῥωμαϊκοῦ κερ. δεκαδύο.

(5) Accessit ὁ ex B. Articulo sententia male caruisset. Maximus Tyr. Diss. XXXI, 1, ὄνομα ἦν αὐτῷ ὁ Μύσων : articulo male abundante, quem non habet codex 1962. Idem Diss. XXXVI, p. 188, λελυμένῳ καὶ πόδε καὶ τω χεῖρε : bene codex, duplici cum articulo, λελ. τὼ πόδε...

χῶν ταῖς ἁγίαις ἐντολαῖς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἶπεν· « Βασιλεῦ, ἡμεῖς ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν καὶ τῶν ἁγίων ἀποστόλων ἐδιδάχθημεν σέβεσθαι τὸν Θεὸν, καὶ πειθαρχεῖν τοῖς βασιλεῦσι (1), καὶ ἐν τοῖς δέουσιν ὑπείκειν αὐτοῖς· καὶ ἰδοὺ θαρρήσαντες τῷ ὑπὸ σοῦ ἐνομότῳ (2) λόγῳ, ἀνοίγομεν τὴν πόλιν, καὶ εἰσελεύσῃ μεθ' ὧν βούλει. Καὶ γνωστόν σοι ἔστω (3), ὅτι, κἂν παραλάβῃς ἡμᾶς, ἔστι Θεὸς ἡμῶν ὅστις βοηθήσει ἡμῖν, καὶ πᾶσαν τὴν κακίαν σου ἐπὶ τὴν κεφαλήν σου καὶ τὴν βασιλείαν σου ἐπάξει· εἰ δὲ μή, καὶ ἡμεῖς τὴν φωνὴν τῶν τριῶν παίδων Ἀνανία, Ἀζαρία, Μισαὴλ, ἀποφαινόμεθά σοι, ὅτι κατὰ τὴν μοναρχίαν σου οὐ σεβόμεθα καὶ τῇ βλασφημίᾳ σου οὐ στοιχοῦμεν, ἀλλὰ καὶ τὸ ἀποθανεῖν κέρδος ἡγούμεθα καὶ ζῆν ἐν Χριστῷ (4), τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἀναστάντι (5)· καὶ ζῇ ἐν ἡμῖν ὁ Θεὸς ἡμῶν. »

Ταῦτα εἰρηκότες, ἤνοιξαν τὴν πόλιν. Καὶ εἰσῆλθεν ὁ δόλιος δράκων, ὁ βασιλεὺς τῶν Ὁμηριτῶν, τῶν

(1) Petr. I Epist. II, 17, 18. : τὸν βασιλέα τιμᾶτε..... Cf. Epist. ad Coloss. III, 22, &c.

(2) B, ὑπὸ σοῦ δοθέντι ἐνομ. Ob ὑπὸ fere putaverim δοθέντι ex A excidisse. Librariorum veterum ac recentiorum solenne est peccatum omissio. Obiter restituam vocabula Maximo Tyrio, quæ ex ejus dissertationibus exciderunt. Dissert. XXVIII, 1, p. 53 : τί γὰρ εἶη χαλεπώτερον. Repon. τί γὰρ ἂν εἴη χ., e cod. 1962. Diss. XXVI, 2 : ὁ δὲ ἔρως σύδενὶ οὕτως πολεμεῖ ὡς ἀνάγκῃ· rep. e codice, ὡς ἀν. καὶ δίκῃ, quæ verba sunt in latina versione. Diss. XXXVI, 3 : τίς τῶν ἀνδρῶν αὐτομολεῖ; τίς ἑκὼν ἀλλάττεται βίον βίου; Cod. : . . αὐτομολεῖ; τίς μανικός; τίς ἑκών. . . Et sic etiam legitur in Heinsiano textu. Diss. XLI, 3, p. 280 : διόμενον ὑποδημάτων, ἀλειμμάτων, φαρμάκων. Codex plenius, φαρμ. λουτρῶν. Atque sic Heinsiana.

(3) B, γνωσὸν ἔστω σοι, ordine consueto. De illa formula t. IV, pag. 25.

(4) Epist. ad Philipp. I, 21 : ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος.

(5) Ex B recepi καὶ ἀναστάντι.

ἀρχηγῶν τῆς πόλεως προσαπαντησάντων ἅμα Ἀρέθᾳ (1) πρὸ τῆς εἰσόδου αὐτοῦ. Καὶ προσκυνήσαντες ἐπὶ τὴν γῆν, ἐδέξαντο αὐτόν. Ὁ δὲ ἀνομώτατος βασιλεὺς συναχθῆναι ἅπαντας ἐκέλευσεν. Καὶ πρῶτον μὲν τὰ ὑπάρχοντα αὐτῶν ἐκέλευσεν διαρπαγῆναι, ὑποδεῖξαι δὲ αὐτῷ Παῦλον τὸν ἐπίσκοπον αὐτῶν. Καὶ μαθὼν τεθνάναι αὐτὸν πρὸ διετοῦς χρόνου, οὐκ ἐπίστευεν, ἄχρις οὗ πέμψας ὅπου ἔκειτο τὸ τίμιον αὐτοῦ λείψανον, ἐπέτρεψεν ἐξανασκαφῆναι τὰ ὀστᾶ αὐτοῦ καὶ πυρὶ κατακαῆναι, καὶ εἶθ' οὕτως εἰς πτύους λικμηθῆναι τὴν τέφραν εἰς τὸν ἀέρα (2).

Καὶ τῇ ἑξῆς ἡμέρᾳ ἐκέλευσεν παντὶ τῷ πλήθει τοῦ ἐξερκέτου (3) ξύλα συνάξαι εἰς πλῆθος, καὶ πυρκαϊὰν γενέσθαι παμμεγέθη, ὡς κρατεῖν τόπον σταδίου ἑνὸς, καὶ οὕτως πάντας τοὺς ἱερεῖς τοῦ Θεοῦ καὶ διακόνους καὶ λοιποὺς ὑπουργοὺς τῶν ἐκκλησιῶν ἐν τῇ πόλει καὶ περιοικίδι (4), καὶ τοὺς περιβεβλημένους τοῦ μονήρους βίου τὸ πρόσχημα, καὶ τὰς λεγομένας κανονικὰς καὶ ἀεὶ παρθένους, ἔτι δὲ καὶ τὰς ψαλτρίας τὰς ᾀδούσας νυκτὸς καὶ ἡμέρας ἐν τοῖς σεβασμίοις τοῦ Θεοῦ οἴκοις, πάντας τούτους δεθέντας, ἀνεξετά-

(1) Symeon Metaphr. codicis Coisl.: παρῆσαν οἱ καὶ πλούτῳ καὶ δόξῃ προεξέχοντες, καὶ πρὸ τῶν ἄλλων Ἀρέθας, ὁ τὴν ἀρχὴν ἐγκεχειρισμένος τῆς πόλεως. Est nomen proprium *Hareth* in Arabum libris valde obvium, et in Græcorum etiam Ἀρέθας. Quid arabice significet tradit *Ebn-Khalican* apud S. Sacyum Chrest. Arab. t. III, p. 175; quem et vide t. II, pp. 525, 531.

(2) Symeon Metaphr.: ἤρετο ποῦ ἂν εἴη Παῦλος ὁ τούτων ἐπίσκοπος· ὡς δὲ τεθνάναι διηνωτίζετο καὶ δεύτερόν που ἔτος ἤδη ἐξήκειν, ἀνορύττειν προσέταττε, καὶ τὸν ἐκείνου νεκρὸν κατακαίοντας εἰς ἀέρα τὴν κόνιν διαλικμᾶν. Paulus Homeritarum episcopus ex his tantum actis notus esse videtur.

(3) ἐξερκέτου, exercitus.

(4) A, περιοίκιδι: sic p. 13, 13, περιοίκιδος.

σίως ἐμβληθῆναι ἐν τῇ καμίνῳ ὑφὲν ἄρδην, ἐκφοβῆσαι θέλων καὶ δειλοποιῆσαι τοὺς λοιποὺς χριστιανούς. Ἦσαν δὲ ψυχαὶ τετρακόσιαι εἰκοσιεπτά.

Καὶ μετὰ ταῦτα κελεύει δεθῆναι ἐν δεσμῷ σιδηρῷ Ἀρέθαν τὸν ἔνδοξον καὶ τοὺς σὺν αὐτῷ ἀρχηγοὺς καὶ πρεσβύχοντας τῆς πόλεως.

Καὶ ὁ κήρυξ ἐβόα τῇ τῶν Ὁμηριτῶν διαλέκτῳ· « Ἀρνήσασθε τὸν λεγόμενον Χριστὸν καὶ ἰουδαΐσατε, καὶ γένεσθε ὁμόφρονές μου, ὅπως ζήσεσθε. » Οἱ δὲ ἅγιοι μάρτυρες ἔλεγον· « Μὴ γένοιτο ἡμῖν ἀρνήσασθαι τὴν πίστιν εἰς ἣν βεβαπτίσμεθα. »

Ὁ δὲ βασιλεὺς εἶπεν· « Ἰδοὺ οἱ Ῥωμαῖοι ἔγνωσαν ὅτι ἄνθρωπον ἐσταύρωσαν οἱ πατέρες ἡμῶν ἐν Ἱερουσαλὴμ, ὄντες ἱερεῖς καὶ νομοδιδάσκαλοι, ὃν βλασφημήσαντα τὸν θεὸν ἐμαστίγωσαν καὶ ἐνύβρισαν, καὶ ἀσχήμονι θανάτῳ ἀπεῖλον, καὶ οὐχὶ ὡς θεόν (1). Διὰ τί οὖν ὑμεῖς πλανᾶσθε ὀπίσω τοῦ ἀνθρώπου τούτου; Μὴ βελτίους ὑμεῖς ἐστὲ τῶν Ῥωμαίων τῶν λεγομένων Νεστοριανῶν, οἵ τινες εἰσὶ παρ' ἡμῖν μέχρι τοῦ παρόντος (2), καὶ λέγουσιν ἡμῖν ὅτι θεὸν αὐτὸν οὐκ ἔχομεν, ἀλλὰ προφήτην θεοῦ. Οὐκ ἀπαιτῶ ὑμᾶς, ὦ Νεζαρῖται, ἀρνήσασθαι τὸν θεὸν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, οὐδὲ προσκυνῆσαι τῷ ἡλίῳ καὶ τῇ σελήνῃ καὶ τοῖς ἐν τῷ οὐρανῷ φέγγουσιν ἄστροις, ἢ κτίσματι ὄντι ἐν θαλάσσῃ ἢ ἐν ξηρᾷ ἢ ἐν ποταμοῖς· ἀλλὰ τοῦτο μόνον θέλω ὑμᾶς· ἀρνήσασθε τὸν

(1) B, ἀνεῖλον, ἄνθρωπον καὶ οὐχὶ θεόν.

(2) Nestorianismus per totum late Orientem tunc vigebat, nec est hodie omnino exstinctus. Ipse Homeritarum apostolus, Theophilus (conf. pag. 4, n. 1), erat Arianus.

λεγόμενον Ἰησοῦν, βλασφημήσαντα τοιαῦτα τοῦ ποιῆσαι ἑαυτὸν θεόν· καὶ ἵνα μόνον εἴπητε, ὅτι ἄνθρωπος ἐστὶν ὁ σταυρωθεὶς καὶ οὐ θεός.»

Οἱ δὲ ἅγιοι τοῦ Θεοῦ μάρτυρες εἶπον· «Ὑπὲρ ἑαυτῶν (1) καὶ παντὸς τοῦ ἔθνους ἡμῶν, καὶ πάντων τῶν διαφερόντων ἡμῖν, ἀπολογούμεθα καὶ μαρτυρούμεν καὶ ὁμολογοῦμεν τὴν καλὴν ὁμολογίαν εἰς ἣν ἐπιστεύσαμεν καὶ εἰς ἣν βεβαπτίσμεθα, εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα, καὶ οὐκ ἀρνούμεθα τὴν οἰκονομίαν. Ἀλλὰ Ἰησοῦς, ὁ ὑπὸ σοῦ βλασφημηθείς, ὁ εἷς τῆς ἁγίας Τριάδος, Θεὸς Λόγος ὤν, σαρκωθεὶς ἐπ' ἐσχάτων τῶν ἡμερῶν διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς παρθένου, ἐδίδαξεν ἡμᾶς λέγων, ὅτι «ἐπὶ (2) βασιλεῖς καὶ ἡγεμόνας ἀχθήσεσθε ἕνεκεν » ἐμοῦ εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσι.» Σὲ δὲ ἀρνούμεθα καὶ τὴν πολιτείαν σου, σὲ τὸν παραβάντα τὸν θεὸν τοῦ νόμου καὶ ψευσάμενον τὴν ἀλήθειαν.»

Τότε ἔδοξεν πολλὰς κολαστείας καὶ θεραπείας ῥημάτων προσάγειν αὐτοῖς, ἐφ' ᾧ (3) ἀρνήσασθαι τὸν Χριστόν. Οἱ δὲ οὐκ εἵλοντο (4), εἰρηκότες· «Ἐὰν πυρὶ καὶ βασάνοις ἀναλώσῃς ἡμᾶς, οὐκ ἀρνούμεθα τῆς Τριάδος τὴν πίστιν· ἡμῖν γὰρ τὸ ζῆν Χριστὸς, καὶ τὸ ἀποθανεῖν κέρδος (5).»

Ὑπῆρχεν δὲ τούτοις ἀρχηγὸς καὶ καθηγητὴς καὶ προτρεπτικὸς τῆς εἰς Χριστὸν ὁμολογίας Ἀρέθας ὁ μνημονευθεὶς (6), υἱὸς Χαρὲφ (7), ὃς καὶ ἐν τῇ προσκαίρῳ

(1) A, ἑαυτοῦ. B, ἑαυτῶν.
(2) Matth. x, 18.
(3) A, ἐφ' ὧν. B, ἐπὶ τό. De formula ἐφ' ᾧ vide t. III, p. 23, n. 8.
(4) B, εἵλαντο. Qua de forma egi ad Gnomicos p. 255.
(5) Conf. p. 9, n. 4.
(6) Pag. 10, 1.
(7) Alibi pater Arethæ dictus

ζωῆ ἐγερθῆναι τῶν πάντων καὶ τῆς πόλεως καὶ τῆς περιχώρου αὐτῆς ἐθνάρχης.

Πολλοὶ δὲ, γνόντες τὴν παράβασιν τοῦ παρανόμου Βασιλέως, διέφυγον κρυβέντες (1) ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, οὐχὶ τὸ μαρτύριον δειλιάσαντες, ἀλλ' ἐλπίζοντες ὅτι κακουχούμενοι καὶ θλιβόμενοι (2), καὶ ἐπ' ἐρημίαις πλανώμενοι, κεκράξονται πρὸς τὸν εἰσακούοντα τῆς φωνῆς τῶν νεοσσῶν τῶν κοράκων καὶ χορηγοῦντα αὐτοῖς τροφὴν (3), ὅτι καὶ αὐτοὶ διασωθέντες ἐγκατάλειμμα καὶ σπέρμα τοῦ Κυρίου Σαβαὼθ ἔσονται, καὶ οὐκ ἀπόλλυνται ὑπὸ τοῦ παρανόμου ὡς Σόδομα καὶ Γόμορρα, οὐδὲ ὁμοιωθήσονται αὐτοῖς.

Συνήχθησαν δὲ ἐκ τῆς πόλεως καὶ περιοικίδος ἄνδρες καὶ γυναῖκες, παῖδες καὶ παιδίσκαι, νέοι καὶ πρεσβῦται, τὸν ἀριθμὸν τετρακισχίλιοι διακόσιοι πεντηκονταδύο, οἵτινες καταλλήλῳ θανάτῳ ἀπέλιπον τὸν πρόσκαιρον τοῦτον βίον, μὴ ἀρνησάμενοι τὴν καλὴν ὁμολογίαν (4).

Φέρε δὴ εἴπωμεν (5) τὴν μιαρότητα τοῦ πανολεθρίου θηρός. Τὰς γὰρ γυναῖκας καὶ τὰ τέκνα τῶν ὄντων εἰς τὰ δεσμὰ πρωτάρχων, καὶ ἀρξαμένων ἤδη τοῦ μαρτυρίου, συναγαγὼν, ἔσπευσεν ἀντίχρυς τῶν

fuit *Kaleb*. Vide Sammart. Hist. Infimi Imperii t. VIII, p. 55, n. 6.

(1) B, ἀποκρυβέντες, ut p. 15, 3, ἀπετμήθησαν. Præpositiones sic addunt et omittunt incuriosi librarii. Eumathius Hysm. IV, p. 125 : ταῦθ' ὁρῶμεν καὶ τοῖς παραδόξοις πληττόμεθα. Melior est lectio codicis 2897 : ἐξεπληττόμεθα.

(2) Cf. Ep. ad Hebr. XI, 37, 38.

(3) Conf. Psalm. CXLVI, 10. Matth. VI, 26 : ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. Sedulius Hymno II, 24 : « Per quem » nec ales esurit. »

(4) Cf. I Ep. ad Tim. VI, 12.

(5) A, φ. δὴ εἰπεῖν.

ἀνδρῶν αὐτῶν μετὰ τῶν τέκνων, καὶ παρανέσεσι δολεραῖς συνεβούλευε τοῖς πᾶσι μάρτυσι πεισθῆναι αὐτῷ καὶ βλασφημῆσαι τῷ Χριστῷ.

Αἱ δὲ ὁμοθυμαδὸν μετὰ τῶν τέκνων ἔκραξαν· « Ἴλεως ἡμῖν τοῦτο ἀπὸ Θεοῦ (1)· ἀλλὰ καὶ τέκνα καὶ γονεῖς καὶ ὑπάρξεις ἀπαρνούμεθα, καὶ οὕτως τὸν σταυρὸν τοῦ Χριστοῦ βαστάζομεν, καὶ ἀκολουθοῦμεν τῷ μαρτυρήσαντι ἐπὶ Ποντίου Πιλάτου. »

Τότε πάλιν, κολακευτικοῖς ῥήμασι χρησάμενος, ὁ βασιλεὺς πρὸς τοὺς μάρτυρας ἔφη· « Μὴ πλανᾶσθε ὀπίσω τοῦ λεγομένου Χριστοῦ, ὃν οἱ πατέρες μὲ ἀνεῖλον ῥαβδούχοις· ἀλλὰ πείσθητέ μοι καὶ ἰουδαΐσατε, καὶ ζήσεσθε μετὰ τῶν τέκνων ὑμῶν. Εἰ δὲ μὴ τοῦτο ποιήσητε, χαλεπῷ θανάτῳ ἀποθανεῖσθε. »

Πᾶσαι δὲ μετὰ τῶν τέκνων ἔκραξαν ὁλολύζουσαι ὠ κλαυθμῷ· « Ἡμεῖς ὑπὲρ Χριστοῦ ἑτοίμως ἔχομεν ἀποθανεῖν. Ὁ Χριστὸς θεὸς ἡμῶν ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ αὐτοῦ ἐσμέν, καὶ τὸν σταυρὸν αὐτοῦ προσκυνοῦμεν, καὶ ὑπὲρ αὐτοῦ ἀποθνήσκομεν. Μὴ γένοιτο οὖν ἡμῖν ἀρνήσασθαι τὸν Χριστὸν τὸν βασιλέα τῶν αἰώνων, καὶ ἔτι ζῆν μετὰ τὴν ἀναίρεσιν τῶν ἡμῶν συζύγων. »

Ὁ βασιλεὺς λέγει· « Καὶ αἱρεῖσθε, μωραὶ γυναῖκες, ἀποθανεῖν ὑπὲρ ἀνθρώπου ζῶντος καὶ πλάνου; »

Δέκα δὲ γυναῖκες ἐξ αὐτῶν, καινονικὴ οὖσαι καὶ τὸ τῆς παρθενίας ἔνδυμα περιβεβλημέναι, εἶπον πρὸς αὐτόν· « Ἐμφραχθείη σου τὸ στόμα τὸ βλασφημοῦν ἄδικα κατὰ τοῦ βασιλεύοντος τοῦ οὐρανοῦ καὶ τῆς γῆς. »

(1) Sic et B : ἵλ. ἡ. ἀπὸ θ. τοῦτο.

Τότε κελεύει μετ' ὀργῆς μεγάλης ἀπενεχθῆναι ἐν βοθύνῳ πάσας αὐτὰς ἔν τινι τόπῳ καὶ ξίφεσιν ἀναιρεθῆναι, ὅπου καὶ οἱ πρὸ αὐτῶν μάρτυρες ἐτμήθησαν. Ἦσαν δὲ τὸν ἀριθμὸν διακόσιαι εἴκοσι ἑπτὰ γυναῖκες. Καὶ ἤγοντο συρόμεναι ἀπὸ τῶν κομῶν (1) ὑπὸ τῶν ὑπηρετῶν τοῦ τυράννου. Αἱ δὲ κανονικαὶ, ὡς ἔφθασαν τὸν τόπον, ἐξήτουν πάσας τὰς μελλούσας σὺν αὐταῖς ἀναιρεῖσθαι (2), λέγουσαι· «Παραχωρήσατε ἡμῖν, γυναῖκες φοβούμεναι τὸν Θεὸν, πρότερον τὸ βραβεῖον τῆς μαρτυρίας λαβεῖν, ἐπειδὴ τὸ σφράγισμα τῆς παρθενίας καὶ τὸ εὐαγὲς πρόσχημα τῶν Ἀγγέλων περιβεβλήμεθα αἱ ἀνάξιαι. Οἴδατε γὰρ ὅτι, καὶ τῷ καιρῷ τῆς μεταλήψεως τῶν ἁγίων μυστηρίων, ἡμᾶς πρότερον, ὡς προμνηστευθείσας τῷ Χριστῷ, οἱ ὑπηρέται τῶν αὐτῶν θείων μυστηρίων προεκαλοῦντο εἰς μετάληψιν κατὰ τὸ εἰθισμένον τῇ ἐκκλησιαστικῇ καταστάσει, καὶ εἶθ' οὕτως ὑμᾶς τὰς λαϊκάς. Πρέπον οὖν

(1) A, ἀπὸ κ. B, ἀπὸ τῶν κ. τῆς κεφαλῆς. Visus est articulus recipiendus. Symeon Metaphr. : ἦν ἑλκομένας ἰδεῖν τῶν τριχῶν τὴν πρὸς θάνατον. Libanius t. IV, pag. 218 : τοὺς στρατιώτας δὲ πλουσίους ζηλοῦμεν οἱ πολλοί. Bene cod. 3017 : τοὺς πλ. Julianus Epist. 24, p. 37 : ἡ πρὸς χρονίαν μονὴν ἐπιτέχνησις οὐκ ἐλάττονα τῆς ἐς τὴν χρείαν ἡδονῆς ἔχει φιλοτιμίαν· codex 2964, τὴν φιλοτ., bene. Et jam olim editus erat ille articulus. Idem Epist. 26, p. 42 : τὸ τοιαύτης δυσφημίας ἀσέβημα· codex, τὸ τῆς τοι. . . Et sic legitur in Spanhemiana. Id. Epist. 22 : τούτῳ ἐπὶ σοῦ ἐναντίαν ἔχω γνώμην ἐγώ· codex, τὴν ἐν. Idem Epist. 62, p. 129 : ἀπαγορεύω σοι τρεῖς περιόδους σελήνης μή τοι τῶν εἰς ἱερέα μηδὲν ἐνοχλεῖν. Codex exhibet inter περιόδους et σελ. lacunulam : forsan legendum, περ. τῆς σελ. Malim etiam μή τι. Idem Epist. 35, pag. 62 : ὄντος γὰρ αὐτοῖς ὀλίγου βίου, ἡδὺ μὲν καὶ τὸ μετ' ὀλίγον ἡσυχίαν ἀπολαῦσαι, φοβερὸν δὲ καὶ πρὸ τῶν δικαστηρίων ἀπολέσθαι κρινόμενον. Prius τὸ alterum τὸ poscit, quod post φοβερὸν δὲ καὶ exhibet codex. Sed μετ' ὀλίγον displicet. Est in codice lacunula inter τὸ et ὀλίγον, manusque posterior in margine libri scripsit μεθ' : oportuit μετ'. Reponam κατ'.

ἐστι καὶ ὑμῶν καὶ τῶν ἀνδρῶν ὑμῶν ἡμᾶς φεύγειν τὸ ποτήριον τοῦ θανάτου γεύσασθαι. »

Αἱ δὲ ἔλεγον βεβιασμένως· « Οὐχ οὕτως· ἀλλ', ἐπειδὴ γυναῖκες ἐσμὲν μαρτύρων, ἡμεῖς φεύγειν ἀποθάνωμεν, ἵνα μὴ ἴδωμεν τῶν ἡμῶν ἀνδρῶν καὶ τέκνων τὸν θάνατον. »

Καὶ οὕτως περιετρέπετο καὶ ἐδυσώπει (1) ἐκάστη τὸν ἔλκουλα αὐτὴν σύντομον ἀναίρεσιν ἐπαγαγεῖν αὐτῇ· ὡς ἐντεῦθεν ἕκαστον ἔθνος, φυλὴν καὶ γλῶσσαν, τῶν συναθροισθέντων μετὰ τοῦ παρανόμου τύπτειν ἑαυτῶν τὰ πρόσωπα ἐπὶ τῇ θέᾳ ταύτῃ, καὶ βρυγμὸν καὶ (2) ὀδυνηρὸν κλαυθμὸν ἀποτελέσαι. Ἀπεκεφαλίσθησαν δὲ πᾶσαι αἱ γυναῖκες, ἐπικαλούμεναι τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος.

Τότε ὁ βασιλεὺς εἶπεν τοῖς μεγιστᾶσιν αὐτοῦ ὡς ἐν μυκτηρισμῷ· « Βλέπετε, πόσην πλάνην ὁ ψεύτης ἐκεῖνος ὁ σταυρωθεὶς ἴσχυσεν δοῦναι ἐν παντὶ τῷ κόσμῳ. »

Συνεσχέθη δὲ καὶ ἡ πρωτεύουσα πάσης τῆς πόλεως. Καὶ κελεύει ὁ βασιλεύς, ὁ βύθιος δράκων (3), ταύτην

(1) A, περιετρέποντο καὶ ἐδυσώπη.

(2) Fors. delendum posterius καί. B, καὶ ἐν βρυγμῷ ὀδυνηρόν. . . .

(3) AB, καλ. ὁ βύθιος δράκων. Et potest quidem ὁ βασιλεύς pro glossa haberi; sed cf. p. 9, 17. Ibi ut hic in verbis ὁ δολ. δράκων, vel ὄφις, quod priore loco B exhibet, respectus fit ad illum in Genesi serpentem de quo et Gregorius Naz. initio Christi patientis : Εἴθ' ὤφελ' ἐν λειμῶνι μηδ' ἕρπειν ὄφις, Μηδ' ἐν νάπαισι τοῦδ' ὑφ- ειρύειν δράκων Ἀγκυλομήτης. Codex 2713, ἀγκωλόμητης, cum hocce scholio : σκολιὸς, σκολιὰ βουλευόμενος, ὁ ποικίλος καὶ δόλιος πὰς βουλὰς, δολομήχανος, τὴν γνώμην διάστροφος. Σημείωσαι ὅτι τὸ ἀγκυλόμητης, τὸ ποικιλόμητης, τὸ δολόμητης, καὶ ὅσα ἀπὸ τοῦ μῆτις σύγκειται, περισπᾶται καὶ διὰ τοῦ ἰῶτα γράφεται· κλίσιν δ' οὐκ ἰδίαν ποιοῦσι, ἀλλ' ἀγκυλομήτου καὶ ποικιλομήτου καὶ δολομήτου· κλίνεται δὲ ἑτερόκλιτος, ὡς πρίσβυς πρισβύτου, καὶ πολὺς

μετὰ πολλῆς σεμνότητος καὶ τιμῆς προσενεχθῆναι καὶ παρασῆναι, νομίζων διὰ πιθανολογίας μεταπείθειν. Ἦν δὲ ἀμώμητος (1) τῷ κάλλει. Καὶ ἐκέλευσεν αὐτὴν φυλαχθῆναι ἅμα ταῖς δυσὶ θυγατράσιν αὐτῆς· ταῦτα γὰρ ἐλογίζετο ὁ δόλιος ἐν ἑαυτῷ, ὅτι πάντως φείσασθαι ἔχει ἑαυτῆς καὶ τῶν δύο θυγατέρων αὐτῆς καὶ τῆς ὑπάρξεως, καὶ πεισθῆναι βλασφημῆσαι τὸν υἱὸν τοῦ Θεοῦ. Αὐτὴ δὲ καὶ αἱ θυγατέρες αὐτῆς ἐπορεύοντο (2) λυπούμεναι καὶ ἀδημονοῦσαι διότι συνηριθμήθησαν ταῖς προλαβούσαις γυναιξίν. Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ ἐδήλωσεν αὐτῇ ὁ βασιλεὺς ἐν τῇ φυλακῇ διά τινος τῶν ἀρχόντων, ὅτι « Εἰ, πεισθεῖσά μοι, ἀρνῆσαι (3) τὸν λεγόμενον Χριστὸν, ζήσεται ἐντίμως ἡ ψυχή σου καὶ τῶν θυγατέρων σου, καὶ εὑρήσετε χάριν παρ' ἐμοῦ (4)· εἰ δὲ μή, ἔσο (5) εἰδυῖα ὅτι κακῷ θανάτῳ τελευτήσεις. » Ἡ δὲ, ἀκούσασα ταῦτα, εἶπεν· « Ἀγάγετέ με πρὸς τὸν βασιλέα, καὶ πείθω αὐτῷ εἰς ὃ με ἐπερωτᾷ. » Οἱ δὲ ὑπηρέται τῷ ἀνόμῳ ἤγαγον αὐτὴν σκεπομένην ὑπὸ σκιαδίου, ἦγον σκηνῆς

πολλῶν, καὶ πολλὰ ἕτερα· βεβαιοκατάληκτα δὲ ταῦτ' ἔστι καὶ οὐδέποτε ἄλλως. Quod cum locis grammaticorum aliis consentit, quæ collecta reperire est in nova Thesauri Stephaniani editione sub Ἀγκυλομήτης. Præterea notabo esse in verbis Gregorii imitationem Medeæ prologi, Εἴθ' ὤφελ' Ἄργους..., et in synonymis ὄφις δράκων affectationem pleonasmorum tragicorum, ut in Phœn. 22: Ἔσπειρεν ἡμῖν παῖδα καὶ σπείρας βρέφος· ubi vid. Porson.

(1) B, ἀμίμητος.

(2) A, θυγατρέσιν αὐτῆς· ἐπορεύοντο δὲ ἀμφότεραι λυπούμ. Quum displiceret valde nomen ἀμφότεροι de tribus personis dictum, prætuli pleniorem codicis B scripturam.

(3) A, ἀρνῆσαι. B, εἰ πιθοῖς μοι ἀρνήσασθαι. Forma illa barbara ἀρνῆσαι illustretur ex notatis t. IV, p. 479, 14.

(4) Phrasis biblica. Esther VII, 3: εἰ εὗρον χάριν ἐνώπιον τοῦ βασιλέως. Codex B, παρ' ἐμοὶ, fere melius.

(5) A, ἔσῃ. B, ἔσο.

βασταζομένης (1)· οὐ γάρ ποτε εἶδεν αὐτὴν ἥλιος, εἰ μὴ ἀκτῖνας πέμψας διὰ θυρίδος. Καὶ ἔστη μετὰ τῶν θυγατέρων αὐτῆς ἐπὶ τοῦ ἀνημέρου βασιλέως.

Καὶ φησὶ πρὸς αὐτήν· « Γύναι, μὴ σὲ πλανήσωσιν (2) αἱ ζητεῖαι τοῦ ἐσταυρωμένου, μηδὲ βουληθῇς συναπαχθῆναι τῇ μανίᾳ τῶν ἀπὸ τῆς πόλεώς σου ἀναιρεθέντων ἀνδρῶν καὶ γυναικῶν. Σὺ γὰρ ἔντιμος εἶ καὶ συγκλητική. Διὰ γὰρ τὸ γένος σου καὶ τὴν ἀξίαν καὶ τὴν ὕπαρξιν φείδομαί σου, καὶ μάλιστα (3) διὰ τὸ σὸν κάλλος καὶ τῶν θυγατέρων σου. Ἦλθεν δὲ εἰς ἡμᾶς ὅτι οὐδέπω ὤφθης (4) ἀνδρὶ, εἰ μὴ τῷ ἐκ συναφείας νομίμῳ, καίπερ ἔχουσα εἰς τὴν βάειν (5) σὺν πλείω τριακοσίων ἀνδρῶν τῶν ὑπουργούντων ἐν τῇ δουλοπρεπείᾳ πάσης τῆς ὑποστάσεως σου, μέχρι τῆς ἡμέρας ταύτης ἧς παρέστης ἡμῖν. Ὡς οὖν εἴρηται, πείσθητί μοι, καὶ ἔσῃ τιμωμένη παρ' ἐμοῦ καὶ τῆς βασιλίσσης ἐν τῷ παλατίῳ. » Ἡ δὲ ἁγία γυνὴ ἀποκριθεῖσα, εἶπεν· « Οὐ τιμῶμαι παρὰ ἀνθρώπου παραβάντος τὸν θεὸν αὐτοῦ· οὐδὲ συνοικῶ βλασφήμῳ, τῷ καὶ (6) συνευδοκοῦντι καὶ ἀναγκάζοντι πάντας βλασφημεῖν, καὶ ζήτα τὸν Θεὸν ἀποκαλοῦντι τὸν χαρισάμενον αὐτῷ τὴν βασιλείαν ταύτην. »

Τότε κελεύει ἀποκαλυφθῆναι αὐτῆς τὴν κεφαλὴν καὶ τῶν αὐτῆς θυγατέρων, καὶ λυσικόμους (7) ἐπὶ

(1) A, σκιαδίου βασταζομένην. Est σκηνὴ βασταζομένη nobis *un palanquin*.

(2) B, μή σε πλανησάτωσαν.

(3) Præcipue sequutus sum B.

(4) B, ὅπου οὐδέποτε συνήφθης. Mox ex B sumsi καίπερ.

(5) Est βάεις hic domus.

(6) A, ἢ συνοικῶ. B, οὐδὲ συν. βλασφημοῦντι καί.

(7) A, λυσίκομον. B, λυσικόμους. Symeon Metaphr. codicis Coisl.: κελεύει τὴν τῆς κεφαλῆς ἀφαιρεῖσθαι καλύπτεσθαι αὐτῆς τε καὶ θυγατέρων,

πάντων στῆναι. Ἡ δὲ ἁγία, στραφεῖσα καὶ ἰδοῦσα πλῆθος γυναικῶν ὀλοφυρομένων καὶ κλαιουσῶν, καὶ τυπτουσῶν τὰ στήθη αὐτῶν (1), εἶπεν·

« Γυναῖκες σεμναὶ καὶ ἐλεύθεραι, ὁμοφρονές μου, καὶ, ἐν ἡμῖν οὖσαι, ἰουδαίαι τε καὶ ἑλληνίδες, ἀκούσατέ μου τῶν λόγων. Ὑμεῖς ἐπίστασθε ὅτι χριστιανὴ εἰμὶ καὶ πᾶσα ἡ συγγένειά μου, καὶ ὁποίων (2) ἀξιωμάτων ὑπάρχει ἡ ὑπόστασίς μου ἔν τε χρυσίῳ καὶ ἀργυρίῳ καὶ χαλκώμασι, καὶ παισὶ καὶ παιδίσκαις, καὶ κτήμασι καὶ ἀγέλαις, καὶ τινὸς οὐχ ὑστεροῦμαι· καὶ, εἰ ἠβουλήθην (3) συναφθῆναι ἀνδρὶ μετὰ θάνατον τοῦ ἐμοῦ συμβίου, οὐδείς μου τῆς νεότητος κατεγέλα ὡς παρανομούσης· αἱ γὰρ διδασκαλίαι τοῦ ἁγίου Παύλου τοῦ ἀποστόλου παρακελεύονται γαμεῖν νομίμως καὶ μὴ πυροῦσθαι (4). Καὶ ἰδοὺ λέγω ὑμῖν ὅτι τῇ σήμερον ἡμέρᾳ πλείω δέκα (5) χιλιάδες χρυσίου καὶ ἀργυρίου ὑπάρχουσί μοι ἐσφραγισμέναι. Καὶ οἴδατε ὅτι πλεῖον τούτων οὐχ ὑπάρχει γυναικὶ χαρὰ, ἀλλ' ἡ ἡμέρα τῶν γάμων αὐτῆς· καὶ ἀπ' ἐκείνης τῆς ἡμέρας καὶ ἐπέκεινα θλίψεις, ὀδύναι, στεναγμοὶ, λύπαι, μάλιστα δὲ ὅτε τίκτουσι τέκνα, καὶ ὅταν

καὶ ταύτας βαθυκομούσας ἐπ' αἰσχύνῃ περὶ τὸ στρατόπεδον ἄγεσθαι.

(1) Ex B, καὶ τυπτ. τ. σ. αὐτῶν.

(2) A, ποίων. B, ὁποίων.

(3) B, ἐβουλήθην. Libanius t. IV, p. 219 : ἔσχον ἃ ἐβουλόμην, καὶ ἐμοὶ ὁ δαίμων ἐχαρίσατο οἷος μηδὲ τοῖς ἐν τυραννίδι. Codex 3017, ἠβουλ. et οἷον : recte utrumque. Infra pp. 20, 21, et B, ἠδυνήθη, ἠβουλήθης. Quum sit in Œdipo Col. 763, Οὐκ ἤθελες, adjungendum erit θέλειν verbis δύναμαι, βούλομαι, μέλλειν, quæ augmentum sæpius adsciscunt temporale, ni sit in senario verbum ἐθέλειν. Pro ὡς θέλεις λαβὼν, quæ est senarii clausula in Antigona 394, codex 2886 habet, ὡς ἐθέλεις λ., quod, propter formam ac propter pedem, malum est.

(4) A, ἢ πυρ. Cf. I Epist. ad Cor. VIII, 9.

(5) B, inter alia, εἴκοσι.

πενθῶσιν αὐτὰ τελευτῶντα. Ἀπὸ οὖν τῆς ἡμέρας ταύτης ἀπαλλατριοῦμαι τούτων, καὶ εἰμὶ ἐν χαρᾷ καθάπερ ἐν ταῖς ἡμέραις τοῦ γάμου μου. Καὶ ἰδοὺ καὶ αἱ δύο θυγατέρες μου αὗται, παρθένοι οὖσαι ἀμφότεραι, συζευγνύμεθα (1) διὰ τοῦ μαρτυρίου τούτου τῷ ἀληθινῷ νυμφίῳ, Χριστῷ τῷ υἱῷ τοῦ Θεοῦ, τῷ ἑτοιμάσαντι τὴν ἑαυτοῦ παστάδα ταῖς πέντε παρθένοις, ταῖς τὸ ἔλαιον λαβούσαις μετὰ τῶν λαμπάδων (2). Καὶ οἴδατε, ἀδελφίδες μου ἀγαπηταί· ἤδη δεύτερον ἐθεάσασθέ μου τὸ πρόσωπον ἀποκεκαλυμμένον, ὅτε ἤμην ἐν τῷ γάμῳ τῷ φθαρτῷ καὶ προσκαίρῳ, καὶ ἐν τῷ νῦν τῷ πνευματικῷ καὶ αἰωνίῳ νυμφῶνι· καὶ προσέχετε εἰς ἐμὲ καὶ εἰς τὰς ἐμὰς θυγατέρας, ὅτι οὐκ ἔλαττον ὑμῶν ἐσμὲν εἰς κάλλος· καὶ μὴ ὑπολάβητε ὅτι ἀσχήμονι προσώπῳ τεθριαμβεύμεθα ἐπὶ ὑμῶν τῶν ἐλευθέρων γυναικῶν καὶ παντὸς τοῦ πλήθους τῶν στρατευμάτων τούτων· ἀλλὰ καὶ ἐπὶ τῷ κάλλει ἡμῶν διὰ τῆς σκέπης τοῦ Θεοῦ ἄφθορον τὴν παρθενίαν τῶν θυγατέρων μου καὶ τὴν ἐμὴν, πλὴν τοῦ ἐν Χριστῷ συζύγου μου, διεφυλάξαμεν· μάρτυς μου ἐστὶν ὁ Θεὸς καὶ τὸ συνειδός μου. Καὶ, ὅτι οὐκ ἠδυνήθη ὁ ἄνθρωπος οὗτος ἀπατῆσαι ἡμᾶς ἀρνήσασθαι τὸν Χριστὸν, μάρτυρες ὑμεῖς ἐστὲ τῇ σήμερον ἡμέρᾳ. Τὸ δὲ χρυσίον μου καὶ τὸ ἀργύριόν μου (3)

(1) A, συζ. ἀμφότεραι. In B multæ hic et longæ varietates.

(2) Vide Matth. xxv.

(3) A, χρυσίον μου μαρτυροῦσι. Homœoteleuton peperit lacunam. Dionysius Sophista Epist. 44: ἐγὼ δὲ ἰδὼν ἄνδρα λίαν εὐτερῆ καὶ ὡς ἂν τύχῃ ταῖς ἀπάταις ἀγόμενον, ἠρώτων τί τοὔνομα εἴη τῷ ξένῳ. Codex Mazar. A 87: ἀγόμενον, ἐμμένειν δὲ οἷς ἐπήνεσε μὴ δυνάμενον, ἠρώτων.... Fuit participiorum homœoteleuton causa omissionis. Εὐτερῆ etiam, quod interpres reddidit per *simplicem*, abeat in εὐχερῆ, eodem codice præeunte.

μαρτυροῦσί μοι ἐν τῷ μέλλοντι αἰῶνι ὅτι οὐκ ἠγάπησα αὐτὰ, ἀλλ' ἐμέριζον καθότι ἄν τις χρείαν εἶχεν. »

Τότε ὁ βασιλεὺς, ἀκούσας ταῦτα, ἔφη πρὸς αὐτήν· « Ἰδοὺ (1) πόσας ὥρας ἐμακροθύμησα, καὶ ἄδειάν σοι ἔδωκα λαλῆσαι ὅσα ἠβουλήθης πρὸς τοὺς λαοὺς, ἵνα, ἰδοῦσα τὸν πόθον καὶ τὰ δάκρυα πάντα τῶν κατοικτειρησάντων σε, καὶ ὀψέ ποτε συμπαθήσῃς καὶ πεισθῇς μοι. »

Λέγει αὐτῷ ἡ ἁγία· « Παραινεῖς μοι, βασιλεῦ, ἀρνήσασθαι τὴν αἰώνιον ζωὴν καὶ ζῆσαι τὴν πρόσκαιρον· ἀλλὰ φοβοῦμαι τὸ πῦρ τὸ αἰώνιον (2) καὶ τὸν ἀκοίμητον σκώληκα (3), καὶ τὴν αἰσχύνην τῆς ἀπαρνήσεως. Μᾶλλον αἱρετώτερόν ἐστιν (4) ἡμῖν ἀποθανεῖν ἤπερ (5) πεισθῆναί σοι· εἰ γὰρ ἐν τῇ ὁμολογίᾳ ταύτῃ ἀποθάνομεν, ζησόμεθα. » Καὶ στραφεῖσα ἔκλαυσεν εἰποῦσα· « Μὴ γένοιτο ἡμῖν, βασιλεῦ οὐράνιε, Ἰησοῦ Χριστὲ, υἱὲ Θεοῦ, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ καὶ δοξαζόμενος ὑπὸ τῶν Σεραφὶμ, ἀρνήσασθαι τὴν σὴν βασιλείαν καὶ θεότητα. »

(1) B, plenior, ut sæpius: τότε ὁ βασιλεὺς ἀκούσας παρὰ τινῶν μισοχρίστων ἰουδαίων ὅτι ἡ γυνὴ μετὰ τῶν θυγατέρων αὐτῆς ἵσταται δημηγοροῦσα, καὶ χύσις δακρύων πηγάζει ἐν τοῖς ἀκούουσιν ἀνδρῶν τε καὶ γυναικῶν, τότε κελεύει ἐνεχθῆναι αὐτὴν πρὸς αὐτὸν μετὰ τῶν θυγατέρων αὐτῆς, καὶ λέγει αὐτῇ· ἰδού.

(2) Conf. t. IV, p. 124, n. 3.

(3) Conf. t. IV, p. 66, n. 3.

(4) De pleonasmo adverbii μᾶλλον t. IV, p. 429.

(5) AB, εἴπερ, permutatis ει et η. Basilius Macedo Præc. c. 62: μόνος δὲ ὁ ἀγαθὸς τρόπος εἰς αἰῶνας συμπαρεκτείνεται καὶ ἀθάνατόν σε ποιήσῃ τῇ μνήμῃ. Codex 2991 A, ποιήσει, quod sine codice nemo non rescripserit. Sed majora tentemus. Æschylus Eum. 74: Ὅμως δὲ φεῦγε, μηδὲ μαλθακὸς γένῃ· Ἑλῶσι γάρ σε καὶ δι' ἠπείρου μακρᾶς Βεβῶτ' ἀνατεὶ τὴν πλανοστιβῆ χθόνα, Ὑπέρ τε πόντον καὶ περιῤῥύτας πόλεις. Cod. 2886: βεβῶντ' ἂν αἰεί. Alii βεβῶντ'

Τότε μετ' ὀργῆς εἶπεν αὐτῇ ὁ βασιλεύς· « Βλασφημεῖς, ὦ (1) ἐπικατάρατον γύναιον. Ἅπτομαι τῶν σαρκῶν σου καὶ τῶν ἐγκάτων σου, καὶ διερευνήσω τοὺς μυελοὺς ὑμῶν, καὶ ἴδω εἰ ἔλθοι (2) ὁ Ναζωραῖος ὁ γόης (3) ῥυόμενος ὑμᾶς ἐκ τῶν χειρῶν μου. »

Ἡ δὲ βραχυτέρα τῶν θυγατέρων τῆς ἁγίας, ὡς ἐτῶν δώδεκα οὖσα, προσεγγίσασα καὶ πληρώσασα τὸ στόμα αὐτῆς πτυέλου, διέῤῥανεν ἐμβριμωμένη τὴν ὄψιν τοῦ παρανόμου.

Τότε, αἴροντες (4) γυμνὰ τὰ ὅπλα, τοῦ βασιλέως

ἂν ἀεί. Propono, βιβῶντ' ἀναῆ, scilicet σε ἀναῆ, te sine nave ac peditem. Est antithesis cum ὑπέρ τε πόντον. Sentio tamen ipsum nomen ἀναῆ auctoritate indigere, nec meam satis esse.

(1) B sine ὦ. In illa exclamatione et omittenda et inserenda sæpe variant codices. Lucianus D. D. xx, 10 : τί οὖν οὐχὶ καὶ σύ, Ἀθηνᾶ, τὴν κόρυν ἀφελοῦσα . . . ; Cod. 1310, ὦ Ἀθ. Idem D. Mar. IV, 2 : σὺ δέ μοι, Μενέλαε, δοκεῖς . . . . Cod. idem, ὦ Μεν. Synesius p. 304 : ὁ πεπαροιμιασμένος βίος ἀβίωτος οὐχ ἕτερός ἐστιν, ἄνδρες, ἀλλ' ὃν ζῶμεν ἡμεῖς. Codices duo, ὦ ἄνδρες.

(2) B, ἔλθει, confusis ει et οι. Moschopulus Π. σχ. pag. 80 : δήμαρχος, ἄρχων τις ἦν· οὗτοι . . . τοὺς δήμους συνῆγον, ὅτε τούτου δεήσοιεν· Melius codex 2599, δεήσειεν.

(3) Accessit ὁ γ. ex B. Symeon Metaphr. : καὶ τίς σε τῶν ἐμῶν ὑπεκλύσει χειρῶν ; ἢ τιμωρόν σοι τὸν Ναζωραῖον προσδοκᾷς ὡς ἔκ τινος μηχανῆς θεὸν ἐποφθήσεσθαι ; De loquutione θεὸς ἐκ μηχανῆς, quam ex ore Arabici reguli nemo exspectabat, monebo obiter videndum esse Wyttenb. Bibl. crit. III, I, p. 41 ; Schol. Luciani ad Hermot. extr. Bœttigeri exstat Prolusio *deum ex machina* in re scenica veterum illustrans, de qua retulit Beck. Comment. Soc. Lips. t. I, p. 19.

(4) A, οἱ αἴρ., articulo superfluo ; et sic adtulit hunc locum Cangius Gloss. in Σπαθάριος. Maximus Tyr. Diss. XXXV, 6 : καὶ τῶν ἄλλων μυρίων κακῶν ἀνέχονται οἱ ἄνθρωποι. Malim abesse articulum τῶν, quo caret codex 1962. Psellus in Oracula p. 54 : ἀποκληροῦται (ἡ ψυχή) εἰς τὸν ἀμφιφαῆ, τουτέστιν ἀμφοτέρωθεν λάμποντα καὶ ὁλολαμπῆ. Articulus τὸν displicet : legendum εἰς τόπον ἀμφ. cum codice 2109, qui et pro λάμποντα exhibet commode φαίνοντα. Diogenes Stobæi tit. 64, 1 : Ὅταν δ' ἔρωτος ἐνδεθῶμεν ἄρκυσι Θᾶσσον θυραίοις τὴν χάριν ποιούμεθα . . . Forsan θυραίοισιν χ.

οἱ λεγόμενοι σπαθάριοι ἀπέτεμον τὰς κεφαλὰς τῶν δύο θυγατέρων τῆς ἁγίας. Καὶ κελεύει ὁ βασιλεύς τινι τῶν παρεστώτων συνάξαι τὸ αἷμα αὐτῶν εἰς τὰς παλάμας, καὶ προσαγαγεῖν τῇ μητρὶ αὐτῶν. Ἡ δὲ γευσαμένη εἶπεν· « Εὐχαριστῶ σοι, υἱὲ τοῦ Θεοῦ, ὅτι ἠγάθυνας (1) τὴν δούλην σου, καὶ ἠξίωσάς με γεύσασθαι τῆς θυσίας τῶν ταπεινῶν μου θυγατέρων. » Καὶ οὕτως κελεύει καὶ αὐτὴν ἀποκεφαλισθῆναι.

Καὶ μεθ' ὅρκου ἔλεγεν τοῖς μεγιστᾶσιν αὐτοῦ, ὅτι, « Σφόδρα περίλυπος ἐγένετό μου ἡ ψυχὴ (2) διὰ τὸ κάλλος τῆς γυναικὸς ταύτης καὶ τῶν αὐτῆς θυγατέρων· καὶ οὐ μέμνημαι ἰδὼν τοιοῦτον κάλλος ἢ χαρακτῆρα. Καὶ πόθεν ἐσπάρη ἡ ἀφροσύνη τῶν χριστιανῶν θαυμάζω, ὅτι πλανῶνται εἰς ἄνθρωπον βιοθανῆ (3), καλέσαντα ἑαυτὸν θεόν. »

Καὶ τῇ ἑξῆς ἡμέρᾳ κελεύει εἰσαχθῆναι τὸν ἅγιον Ἀρέθαν μετὰ τῶν λοιπῶν συνδέσμων αὐτοῦ, τὸν ἀριθμὸν τριακοσίων τεσσαράκοντα (4), καὶ λέγει· « Σὺ, λέγω, Ἀρέθα μιαρώτατε καὶ παλαιότατε κακῶν ἡμερῶν (5), διὰ τί οὐκ ἐμιμήσω τὸν πατέρα σου τὸν ἄρξαντα τῆς πόλεως καὶ πάσης τῆς περιχώρου, ὃς καὶ ἔντιμος ἦν ἐπὶ τῶν πρὸ ἐμοῦ βασιλέων διὰ τὸ ἐν πᾶσιν (6) αὐτὸν εὐνοεῖν, ἀλλ' ἠβουλήθης τυραννῆσαι

(1) Verbum est ἀγαθύνω biblicum.

(2) Matth. XXVI, 38 : περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου.

(3) A, βιωθανῆ. Eodem adjectivo usus est Symeon Metaphr., loco admovendo superius ad pag. 14, 23 : γυναῖκες ἀσύνετοι, ὑπὲρ ἀνθρώπου πλάνου καὶ γόητος καὶ βιοθανοῦς (cod. Coisl., βιοθαθανοῦς) αἱρούμεναι θάνατον. Cf. mox p. 24, 3.

(4) Symeon Metaphr. : καὶ τῇ ἑξῆς τοὺς περὶ Ἀρέθαν ἐκάλει τριακοσίους καὶ τεσσαράκοντα.

(5) Loquutio est biblica, ὁ παλαιὸς τῶν ἡμερῶν, de Deo adhibita.

(6) A, ἐμπᾶσιν, junctis vocibus ab librario pronunciationi

καὶ μονοκρατῆσαι Νεβρὰν τὴν πόλιν καὶ τὴν αὐτῆς παροικίαν (1), ἐλπίσας καὶ περισδοκίαν ἔχων ἐπ' ἄνθρωπον φαρμακὸν (2), βιοθανῆ, ἀποκαλέσαιλα ἑαυτὸν θεόν; καὶ ἐλογίσω ἐκφυγεῖν τὰς χεῖράς μου! Φεῖσαι οὖν τοῦ γήρως σου, καὶ, ὡς ἐντίμου γερουσίας ὤν, αἴτιος ζωῆς ἑαυτοῦ γενοῦ καὶ τῶν σὺν σοὶ κρατηθέντων συνδέσμων. Καὶ ἄρνησαι τὸν λεγόμενον Χεισίον· εἰ δὲ μή, θανάτῳ χαλεπῷ ἀποθανῇ, ὡς αἱ προλαβοῦσαι γυναῖκες καὶ οἱ περὶ αὐτῶν. Οὐ γὰρ ἠδυνήθη ὁ υἱὸς Μαρίας καὶ Ἰωσὴφ σῶσαι αὐτὸς ἁναιρεθέντας (3) ὑπ' ἐμοῦ ἔν τε τῇ βασιλευούσῃ πόλει καὶ πάσῃ τῇ χώρᾳ τῶν Ὁμηριτῶν, καὶ τούτους ζωῶσαι. »

Τότε ἀπεκρίθη ὁ ἔνδοξος Ἀρέθας, καὶ εἶπεν· « Μετὰ ἀληθείας ἐν λύπῃ πολλῇ εἰμὶ διὰ τοὺς χεισλιανοὺς τοὺς ὄντας ἐν τῇ πόλει ταύτῃ· εἴρηκα γὰρ αὐτοῖς μὴ ἀνοῖξαι τὰς πύλας τῆς πόλεως, καὶ οὐκ ἠνέσχοντό μου. Καὶ πάλιν δέδωκα αὐτοῖς ἑτέραν συμβολίαν, ἐξελθεῖν κατὰ σοῦ καὶ πολεμῆσαι ὑπὲρ τοῦ λαοῦ τοῦ Χεισλοῦ· καὶ οὐδὲ τοῦτο κατεδέξαντο. Ἐγὼ γὰρ ἐθάρρουν εἰς τὸν δεσπότην μου Χεισλὸν, ὅτι περιεγενόμην σου (4) καὶ ἐπάτασσόν σε τὸν ἔχοντα τὰς μυριάδας, ὡς ὁ Γεδεὼν (5) μετὰ τριακοσίων διὰ ῥήματος Θεοῦ. Πλὴν τὸ θέλημα τοῦ Θεοῦ γενέσθω (6)· διὰ γὰρ τὰς

obsequuto. Theodorus Hyrtac. Epist. 23 : σὲ μὲν διὰ πάντων ἄγων ἐπαίνων, πλήρων δὲ πρὸς πᾶν καμὲ, καὶ φιλεῖν σε μᾶλλον ἐπαίρων, πλείω συνεισδύπας οἱ τῶν καλῶν. Meliorem codex 1209 vocum divisionem exhibet, συνεισδύπα σοι.

(1) B, τυραν. καὶ μοναρχῆσαι N. τ. π. καὶ τ. παύτης περιοικίδα.

(2) Minerva de Venere in D. D. XX, 10, Luciani : φαρμακὶς γάρ ἐστι. Cod. 1310, φαρμακές.

(3) B, σῶσαι τὲς ἀναιρ., fere melius.

(4) A, περ. σοι. B. π. σου.

(5) Vid. Judic. VII.

(6) Jesus ad Patrem ap. Matth. XXVI, 42 : γενηθήτω τὸ θέλημά σου.

ἁμαρτίας ἡμῶν οἶδα ὅτι ταῦτα πεπόνθαμεν, παραδοθέντες εἰς χεῖρας σϐ. Οὐδέποτε γὰρ ἀλήθεια διῆλθεν διὰ τοῦ (1) στόματός σου.»

Λέγει ὁ συγκάθεδρος τοῦ βασιλέως· « Οὕτως διδάσκουσιν ὑμᾶς αἱ γραφαὶ τῶν χριστιανῶν ὑβρίζειν τοὺς δεσπότας ; οὐκ οἶδας ὅτι οἱ βασιλεῖς τῶν Ἑβραίων χειστοί εἰσι τῷ Κυρίῳ » ; Λέγει ὁ γέρων· « Περσέσχες, κῦρι (2) ὁ πατείκιος, τῇ γραφῇ τῇ ἐν τῷ προφήτῃ Ἡλιοῦ ; εἰρηκότος γὰρ αὐτῷ τϐ Ἀχαὰϐ βασιλέως Ἰσραήλ· « Εἰ εὕρηκά σε (3), ὁ διασπρέφων » τὸν Ἰσραήλ » ; πρὸς ὃν ἀπεκρίθη· « Οὐκ ἐγὼ, » ἀλλ' ἢ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου. » Ὥστε οὐ διαμαρτάνει τις ἐλέγχων βασιλέα παρανομοῦντα. Οὐκ ἠσχύνθη γὰρ εἰπεῖν ἀρνήσασθαι τὸν Λόγον τοῦ Θεοῦ, δι' οὗ τὰ πάντα ἐγένετο τὰ ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, ὃς, θεασάμενος τὸ ἴδιον πλάσμα ἐζωγρημένον ὑπὸ τϐ ὄφεως Σατανᾶ, οὐ παρεῖδεν (4), ἀλλὰ, δοὺς νόμον ἐντολῶν πρὸς παίδευσιν τῶν ἀνθρώπων, πρὸς νουθεσίαν πάντων καὶ ἀποχὴν κακῶν, τὸν δὲ Ἰσραὴλ ἔχθιστα διαπρατόμενον παιδεύσας, πάλιν

(1) Articulus accessit ex B. Synesius p. 303 : ὀπθυμῶ δοῦναι ὀφθαλμοῖς ὕπνον ἀπειλήπτον. In quatuor codd. reperi articulum, πῖς ὀφθ. Maximus Tyr. Dissert. XXXIV, 1 : ἦν ὲν Πηλίῳ ἀνὴρ ἰατρικός· Χείρωνα αὐτὸν καλοῦσιν· ἡ δὲ πίχη Χείρωνι ἦν πίπουσα ἐφ' ἑκάπερα. Cod. 1962 non male, τῷ Χειρ. Choricius in Procop. § 38, de Demosthene : ὁ πρὸς πῦ Φιλίππου χρυσίον πόλεμον ἀκήρυκπον πολεμῶν. . . . ὲν Ἑρμοῦ λογίου παράδειγμα σοφῶν πις καλεῖ. Cod. 2967 : ὁ πρὸς π Φ. (forsan π τῦ Φ.). . . πῶν σοφῶν.

(2) Dicunt recentiores κύριος, κυρὸς, κῦρις, κῦρ, etiam κύρης.

(3) A, πρόδης, κυρι ὁ π. τῇ πρὸς ἡλιοῦ τίρηκόπος αὐτῷ τῷ ἀχαὰϐ ϐ. ἰσρ. τί τύρηκαί σε. Sequutus sum meo jure scripturam nitidiorem codicis B. Ad rem vide III Regg. XVIII, 17.

(4) Conf. tom. IV, pag. 3, 15; pag. 188, n. 1.

ἠλέησεν, καὶ ἀνεκαλέσατο ἀπὸ τῆς Βαβυλωνίας· καὶ ἐπειδὴ διέφθαρτο τὸ κατ' εἰκόνα τοῦ κτίσαντος ἐκ καταφρονήσεως ἐντολῶν Θεοῦ, αὐτὸς ὁ Λόγος (1) εὐδοκίᾳ τοῦ πατρὸς κατελθὼν ἰδιοποιήσατο τὸ πεπλανημένον καὶ τὴν ἁμαρτίαν ἐν τῷ ἰδίῳ σώματι ἀνεσταύρωσεν, θυσία γενόμενος ἐν τῷ προσληφθέντι ἐξ ἡμῶν σώματι τῷ Θεῷ καὶ πατρὶ ὑπὲρ παντὸς τοῦ τῶν ἀνθρώπων γένους. Καὶ πῶς τὸν τηλικαύτην εὐεργεσίαν εἰς ἡμῶν σωτηρίαν ποιήσαντα ἀρνηθείημεν; Καὶ πολλάκις (2) μιᾶς ὥρας οὐκ ὑπαρχούσης ἐν τῷ λοιπῷ χρόνῳ τῆς ζωῆς μου, καὶ βούλει ποιῆσαί με ἀλλότριον τῆς βασιλείας τῶν οὐρανῶν; Ὁ γὰρ ψευδόμενος βασιλεὺς, ἐκεῖνος οὐκ ἔστιν δυνατός. Ὤμοσας ἡμῖν, καὶ δεδωκὼς τὸν λόγον σου οὐκ ἐφύλαξας. Ἑώρακα βασιλεῖς καὶ ἐθνάρχας ὑπερέχοντάς σου ἐν Ἰνδίᾳ καὶ ἐν Περσίδι καὶ ἐν τῇ Αἰθιοπίᾳ καὶ ἐνταῦθα, καὶ τοιοῦτόν τι πώποτε οὐκ εὑρέθη ἐν αὐτοῖς· ἀλλ' ὁ λόγος αὐτῶν ἀλήθεια. Διὸ καὶ οἱ λαοὶ καὶ τὰ ἔθνη καὶ αἱ φυλαὶ καὶ αἱ τῶν στρατευμάτων σχολαὶ (3) θεοὺς αὐτοὺς ἀπεκάλουν, πειθαρχοῦντες ὡς θεῷ τῷ προσαγαγόντι αὐτοὺς τῷ βασιλεύειν. Ὥστε γνωστὸν ἔστω σοι (4), ὅτι οὐκ ἐξακολουθῶ σοι τῷ βλασφημήσαντι τὸν Κύριον καὶ βασιλέα τῆς δόξης (5)· ἐξουσίαν γὰρ ἔχω

(1) A, αὐτὸς δὲ λ. Omisi δὲ, sumto articulo ex B, in quo et aliæ plurimæ varietates, quas enotare supersedeo.

(2) Πολλάκις, *forsan*, quo sensu et latinum *sæpe* reperiri notum est. In hoc auctore id non exspectabam. Heliodorus I, 10: ὁ κοινὸς ἡμῶν παῖς, ὃν ἐγὼ πολίτην καὶ σοῦ πολλάκις ἠγάπησα· quod esse videtur sic intelligendum. Conf. et infra.

(3) *Cohortes*, *turmæ*. Vide Glossarium Cangii, qui inter varia exempla hunc ipsum locum apposuit.

(4) Conf. p. 9, n. 3.

(5) Cf. Psalm. XXIII, 7....

τῆς ἐμαυτοῦ ψυχῆς, καὶ οὐκ ἀφίσταμαι ἀπὸ τῆς καλῆς ὁμολογίας (1). Καὶ ὡς ἀληθῶς μακάριος εἰμὶ ὅτι ἐν τῷ γήρει μου, ἤδη ὑπερβεβηκὼς τὸ ἐνενηκοστὸν πέμπτον ἔτος (2), κατηξίωσέ με ὁ δεσπότης μου Χριστὸς ἀγωνίσασθαι καὶ ἀποθανεῖν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ. Νῦν ἔγνων ὅτι ἀγαπᾷ με ὁ Θεός· πολλαὶ γὰρ γεγόνασιν αἱ ἡμέραι τῆς ζωῆς μου ἐν τῷ βίῳ τούτῳ, καὶ ἐγέννησα υἱοὺς καὶ ἑώρακα υἱοὺς τῶν υἱῶν μου ἐπὶ τετάρτην γενεὰν, καὶ ἐν διαφόροις πολέμοις ἀῤῥαγὴς γέγονα, καὶ χαίρω, βασιλεῦ, ὅτι τὸ γῆράς μου τελειοῦται μετὰ τῶν ἁγίων μαρτύρων, καὶ θαῤῥῶ ὅτι οὐ μὴ ἐκλείψει (3) ἡ μνεία μου ἀπὸ τῆς πόλεως ταύτης. Καὶ πέπεισμαι ὅτι, ὥσπερ ἄμπελος κλαδευομένη ἐν τῷ καιρῷ αὐτῆς πλείονα καρπὸν δίδωσιν, οὕτως ἔχει πλεονάσαι λαὸς ἐν τῇ πόλει ταύτῃ τῶν χριστιανῶν καὶ ἐν παντὶ τῷ Ὁμηρίτῃ. Ἰδοὺ γὰρ ἐνώπιον τοῦ Θεοῦ λέγω σοι· ὑψωθῆναι ἔχει ἡ ἐκκλησία αὕτη (4) ἡ ἐμπρησθεῖσα ὑπὸ σοῦ· καὶ σταθήσεται βασιλεία ἑτέρα ἐν τῇ χώρᾳ ταύτῃ, καὶ κρατήσουσιν αὐτῆς οἱ χριστιανοί· ἡ δὲ σὴ βασιλεία ἐν τάχει καταλυθήσεται, καὶ τὰ δόγματά σου καταργηθήσονται. »

Καὶ στραφεὶς ἐκραύγασε φωνῇ μεγάλῃ τοῖς ἁγίοις

(1) Conf. p. 13, n. 4.

(2) Symeon Metaphr.: πέμπτον γὰρ ἤδη καὶ ἐνενηκοστὸν χρόνον ἀνύω.

(3) AB, ὀκλείψῃ. Malui, iotacismo suadente, forma uti legitima.

(4) A, αὐτη. Lucianus D. Mar. x, 1: ἡ τοίνυν νῆσος αὐτὴ ἀνώμοτος. Melius αὕτη in cod. 1310. Gregorius Thaumat. De anima pag. 138: ὅτι δὲ ἡ ψυχὴ αὕτη, τῆς ἰδίας φύσεως μὴ ἐξιστομένη, τὰ ἐναντία δέχεται παρὰ μέρος, παντί που δῆλον... Codex 2257, etsi pessimus, meliorem hic habet scripturam αὐτή. In Antigona Sophoclea vers. 480, αὕτη δ' ἀνὴρ, lectio est codicis 2886.

συμμάρτυσιν αὐτοῦ λέγων· « Ἠκούσατε, ἀδελφοί, τὰ παρ' ἐμοῦ λεγόμενα τῷ βασιλεῖ; » Οἱ δὲ ὁμοθυμαδὸν εἶπον· « Ἠκούσαμεν, πάτερ τίμιε. »

Καὶ πάλιν λέγει αὐτοῖς· « Πῶς ὑμῖν φαίνεται τὸ μαρτύριον τοῦτο (1); εἴ τις ἐξ ὑμῶν δειλιᾷ (2) τὰς ἀπειλὰς τοῦ τυράννου καὶ παρανόμου τούτου, ἀποχωρείτω. » Οἱ δὲ ἅγιοι μάρτυρες εἶπον· « Ἐνδυναμοῦ, πάτερ, ἐνδυναμοῦ ἐν τῷ ἀγῶνι τούτῳ· πάντες γὰρ σὺν σοὶ ἀποθανούμεθα ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ. Καὶ οὐκ ἔστιν εἷς ἐξ ἡμῶν χωριζόμενός σου. »

Ὁ δὲ ἅγιος Ἀρέθας εἶπεν· « Ἀκούσατέ μου, ἄνδρες χριστιανοί τε καὶ ἰουδαῖοι καὶ ἕλληνες· εἴ τις τῆς ἐμῆς συγγενείας ἢ τῶν διαφερόντων ἀρνήσεται τὸν Χριστὸν, ἀρνήσεται αὐτὸν αὐτὸς ὁ μέλλων κρῖναι ζῶντας καὶ νεκρούς (3)· καὶ οὐκ ἔστιν μοι μερὶς ἡ κοινωνία μετ' αὐτοῦ ἐν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως. Βούλομαι δὲ καὶ κελεύω πάντα τὰ ὑπάρχοντά μου δοθῆναι τῇ ἁγίᾳ ἐκκλησίᾳ τῇ μελλούσῃ κτίζεσθαι μετὰ θάνατόν μου. Εἰ δέ τις τῶν τέκνων μου ἢ τῆς συγγενείας μου ὑπολειφθῇ ἐπιμένων τῇ ἀμωμήτῳ πίστει, καὶ μὴ ἀρνήσεται, ἔστωσάν μοι κληρονόμοι (4). Τεῖα δὲ κτήματα καλλιστεύοντα πάντων τῶν κτημά-

(1) Codex A, πῦον. Codex B, πῦπο.

(2) B, ὑμ. ἐσὶ δεδοικώς. A, δεδιῶς : permutatis ι et ει. Initio excerptorum ex Historia Olympiodori legitur nunc, ἄμορφος καὶ ἀνίδιος. Melius editiones veteres, ἀνείδιος. Sic postulat usus. Theodorus Hyrt. Epist. 26 : θεῷ τῷ ἀύλῳ καὶ ἀνειδέῳ. Psellus versibus de virtutibus extr. : Ὕλην τὴν ἀνείδιον εἰς εἴδος φέρω. Joannes Damasc. Orat. de imagg. I, p. 9 : πῶς ποιωθήσεται τὸ ἀνείδιον; Id. Orat. III, p. 125 : πῶς γεγράψεται τὸ ἄποον καὶ ἀμίγθες καὶ ἀόριστον καὶ ἀνείδιον;

(3) Cf. t. IV, pag. 55, n. 3; p. 164, n. 4. — Mox recepi μετ' αὐτοῦ ex B.

(4) AB in nonnullis vocabulis nunc legi non possunt.

των μου βούλομαι δοθῆναι τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ. »

Καὶ πάλιν ὁ ἅγιος γέρων εἶπεν πρὸς τὸν τύραννον: « Ἐπήνεσά σε εἰς τοῦτο μόνον, ὅτι τὴν πάλαι εἰθισμένην (1) βασιλεῦσι καὶ ἐθνάρχαις παράδοσιν ἐφύλαξας, μακροθυμήσας μὴ διακόψαι τοὺς λόγους μου. Πλὴν ἰδοὺ ἤκουσας πάντων τῶν ὑπ' ἐμοῦ λεχθέντων· μὴ πρόσθῃς ἔτι τοῦ ἐπερωτῆσαι ἡμᾶς (2)· ἤγγικεν γὰρ ὁ καιρὸς τοῦ ἡμᾶς τελειωθῆναι. Πᾶς δέ τις ὁ ἀρνούμενος τοῦτο τὸ μαρτύριον ἀπαρνηθείη ὑπὸ τοῦ κτίσαντος αὐτόν· ἀπόλοιτο ἐκ γῆς ζώντων ὁ μὴ μετὰ πάσης προθυμίας τούτῳ τῷ βραβείῳ τῆς ἄνω κλήσεως προσερχόμενος, ὁ μὴ ὁμολογῶν τὸν Χριστὸν ὄντα υἱὸν τοῦ Θεοῦ καὶ δημιουργὸν πάσης τῆς κτίσεως· ἀλλότριος γενέσθω τῆς μελλούσης ζωῆς ὁ ἀρνούμενος τὸν σταυρὸν τοῦ Χριστοῦ· ἐκπέσοι τῶν μελλόντων ἀγαθῶν ὁ κοινωνῶν σοι, βασιλεῦ, καὶ πᾶσι τοῖς ὁμόφροσί σου ἰουδαίοις· ἔσται ὡς Δαθὰν καὶ Ἀβειρὼν (3), οὓς χάνασα ἡ γῆ τὸ στόμα κατέπιεν. Ἰδοὺ γὰρ λέγω σοι· ὥσπερ ἐν τῷ ἀνακλίνεσθαί με μετὰ τῶν ἀδελφῶν μου, ἐμοὶ πρότερον τὸ ποτήριον ἐπεδίδοτο, καὶ νῦν τὸ ποτήριον τοῦ μαρτυρίου πρῶτον ἐγὼ πίνω. Σφραγίζω οὖν τὸν λαὸν τοῦ Χριστοῦ τὸν μετ' ἐμοῦ ἐν τῷ σημείῳ τοῦ σταυροῦ, ἐν ὀνόματι Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος. »

(1) A, παλαιάν. B, πάλαι ἠθισμένην. Symeon Metaphr.: ἐπαινῶ σε μακροθυμήσαντα, βασιλεῦ, καὶ μὴ συγχάντά μου τοὺς λόγους ἢ διακόψαντα, κατὰ τὸ πάλαι τοῖς βασιλεῦσι νενομισμένον.

(2) B, μὴ προσθήσῃς. A, μὴ προσθοῖς. Cf. p. 48, 23. Symeon Met.: τὸ παρεισάμενον ποίει, μὴ τρίβων ἐπὶ πλὺ τὸν καιρόν.

(3) AB, ἀβηρών. De re Numer. XVI.

Καὶ ὕτως ἕκαστος τῶν ἁγίων μαρτύρων κατεσφραγίσατο ἑαυτὸν, καὶ πάλιν ἔκλινουν (1) τὴν κεφαλὴν ἑαυτῶν σταυροειδῶς, ἐπειδὴ αἱ χεῖρες αὐτῶν ἦσαν δεδεμέναι ὀπισθίως. Ἔκραζον· « Προσδεχθείησαν αἱ ψυχαὶ ἡμῶν ὡς μύρον τὸ ἐκχυνόμενον ἐπὶ κεφαλῆς ἱερέων Θεοῦ, καὶ τὸ αἷμα ἡμῶν ὡς θυσία αἰνέσεως ἐπὶ κεράτων θυσιαστηρίου (2). » Καὶ πάλιν ἔκραξαν· « Πάτερ τίμιε καὶ πρόσχες (3) τῆς ἡμῶν ἀθλήσεως, ἰδοὺ ὁ πατριάρχης Ἀβραὰμ ἐκδέχεταί σε. Μὴ γένοιτο ἡμᾶς ζῆν μετὰ θάνατόν σου. »

Ταῦτα ἰδὼν ὁ τύραννος βασιλεὺς, καὶ γνοὺς ὅτι ἀδύνατόν ἐστιν μεταπεισθῆναι αὐτούς, κελεύει ἀπενεχθῆναι αὐτοὺς εἰς τὸν χειμάρρουν ὅπου ὁ βόθυνος ἐσκάφη τῶν προαιρεθέντων ἁγίων μαρτύρων, καὶ τούτων τὰς κεφαλὰς ἐπὶ τὴν γῆν ῥιφῆναι, καὶ τὰ ἅγια αὐτῶν λείψανα ἐαθῆναι πρὸς βορρᾶν τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν θηρίων τῆς γῆς (4).

Ὅτε δὲ παρεγένοντο κατὰ τὸν τόπον οἱ ἅγιοι τοῦ Χριστοῦ μάρτυρες, ἵσταντο εἰς ὕψος αἴροντες ὄμματα καὶ διάνοιαν πρὸς τὸν Θεὸν, βοῶντες καὶ λέγοντες· « Ἰησοῦ Χριστὲ, δυνάμωσον ἡμᾶς τελειῶσαι τὸ μαρτύριον τοῦτο. Ἰησοῦ Χριστὲ, γενηθήτω τὸ αἷμα τῶν δούλων σου ἱλασμὸς τῶν δεδιωγμένων καὶ ἄνεσις τῶν πεφονευμένων χριστιανῶν ὑπὸ τοῦ παρανόμου. Ἰησοῦ Χριστὲ, ἰδοὺ ὡμολογήσαμέν σε ἔμπροσθεν τῶν ἀνθρώπων· ὁμολόγησον καὶ αὐτὸς ἡμᾶς ἔμπροσθεν τῶν ἐκλεκτῶν Ἀγγέλων. Ἰησοῦ Χριστὲ, ὕψωσον τὸν ναόν

(1) A, ἐκίνων. B, ἑαυτὸν πάλιν κλίνων.
(2) Respectu, puto, ad Levit. IV, 18; VIII, 15; IX, 9; &c.
(3) Sic A.
(4) Conf. Jerem. VII, 31; &c.

σου τὸν κατασφαγέντα καὶ κατακαέντα ὑπὸ τοῦ τυράννου. Ἰησοῦ Χριστὲ, ποίησον ἔλεος μετὰ τῶν μνημονευόντων ἡμῶν (1), καὶ εὐλόγησον πάντας τοὺς τιμῶντας τὴν ἡμῶν μαρτυρίαν, δωρούμενος αὐτοῖς ἄφεσιν ἁμαρτιῶν. Ἰησοῦ Χριστὲ, ὕψωσον τὸ κέρας χριστιανῶν (2), καὶ κράτυνον τὰς βασιλείας αὐτῶν, Ῥωμαίων καὶ Αἰθιόπων, καὶ τὴν βασιλείαν ταύτην παράδος χριστιανοῖς, οἱ ποιήσουσι (3) τὸ θέλημά σου. Ἰησοῦ Χριστὲ, πάταξον τὸν παράνομον τοῦτον καὶ τὴν ῥίζαν αὐτοῦ (4), ὡς τὸν Φαραὼ καὶ τὸν Ἀμαλὴκ καὶ τὸν Σηὼν καὶ τὸν Ὼγ. Ἰησοῦ Χριστὲ, ἀξίωσον ἡμᾶς ἰδεῖν τὴν θέαν τῆς δόξης σου, καὶ εὐαγγελισθῆναι ὑπὸ τῶν ἁγίων Ἀγγέλων σου τὴν ταχίστην μέλλουσαν ἔκπλωσιν τοῦ παρανόμου καὶ ἐξολόθρευσιν τῆς ὑπερηφανίας τῶν ἰουδαίων. »

Καὶ μετὰ τὸ εὔξασθαι ταῦτα ἐκραύγασαν πάντες πρὸς ἀλλήλους, λέγοντες μετὰ κλαυθμοῦ· « Εἰρήνη ὑμῖν ἐν φιλήματι ἁγίῳ (5). » Καὶ ὁ ἅγιος Ἀρέθας εἶπεν αὐτοῖς· « Ἡ εἰρήνη, δοθεῖσα παρὰ τοῦ σταυρωθέντος Χριστοῦ τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς, εἴη μεθ' ὑμῶν, ἀδελφοί. Ἀμήν. »

Καὶ κλίνας τὴν κεφαλὴν, πάντων τῶν ἁγίων μαρτύρων κλινάντων, τεσσάρων δὲ ἐξ αὐτῶν ὑποστηριζόντων καὶ διαβαστάζοντων τὰ σήθη αὐτοῦ καὶ τὸς βρα-

(1) Est loquutio biblica ποιῆσαι ἔλεος μετά τινος.

(2) Conf. t. IV, p. 385, n. 4. Ibi hoc ipso loco usus scripsi τῶν χρ. In codice A non est articulus. B, ὕψ. τῶν χριστ. ῥωμαίων τὸ κέρας.

(3) A, ποιήσωσι.

(4) Numer. XXI, 35 : καὶ ἐπάταξεν αὐτὸν (τὸν Ὼγ) καὶ τοὺς υἱοὺς αὐτοῦ.

(5) A, ἡμῖν, et mox ἡμῶν. De formula dandæ pacis conf. t. IV, p. 326, n. 3. Epist. I ad Thessal. V, 26 : ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν φιλήματι ἁγίῳ.

χίονας, ὥσπερ οἱ δύο (1) τὸν Μωϋσέα ἐπὶ τοῦ ὄρους, περισελθών τις τῶν δορυφόρων ἀπέτεμεν αὐτοῦ τὴν κεφαλήν. Συνέδραμεν δὲ τὸ πλῆθος τῶν ἁγίων μαρτύρων, καὶ περιέχριον τὰ ἑαυτῶν σώματα ἐκ τοῦ αἵματος τοῦ ἁγίου Ἀρέθα, ὡς θαυμάζειν καὶ δακρύειν ἐπὶ πολλὴν ὥραν (2) τοὺς ἐπιτραπέντας ἀνελεῖν αὐτούς. Καὶ οὕτως οἱ ἅγιοι, κλίναντες τοὺς αὐχένας αὐτῶν, ἐτελειώθησαν πάντες (3), μηνὶ ὑπερβερεταίῳ ἰνδικτιῶνος δευτέρας (4).

Μία δὲ γυνὴ τῶν χριστιανῶν ἔχουσα τὸν ἴδιον υἱὸν ὡς ἐτῶν τεσσάρων ἢ πέντε, ἑστῶσα καὶ θεασαμένη πῶς εὐλογοῦντο οἱ ἅγιοι καὶ περιέχριον τὰς ὄψεις αὐτῶν ἐκ τοῦ αἵματος τοῦ ἁγίου Ἀρέθα, συνδραμοῦσα ἔλαβεν τοῦ αἵματος αὐτοῦ, καὶ κατασφραγισαμένη ἑαυτὴν καὶ τὸν ἑαυτῆς υἱόν, ἔκραζεν λέγουσα· «Ἑστῶ τῷ βασιλεῖ τῶν Ἑβραίων ὡς τῷ Φαραώ!» Καὶ, εὐθὺς κρατήσαντες αὐτήν, ἤγαγον πρὸς τὸν βασιλέα. Καὶ εὐθέως ἐκέλευσεν ὄρυγμα γενέσθαι, καὶ ἐμβαλεῖν εἰς αὐτὸ ξύλα καὶ θεῖον καὶ πίσσαν, καὶ ὑφάψαι πῦρ, καὶ ἀποτελέσαι κάμινον, καὶ οὕτως ῥιφῆναι τὴν γυναῖκα. Ὡς οὖν οἱ ὑπηρέται ἐδέσμουν αὐτήν, τὸ νήπιον θεασάμενον τὸν βασιλέα καθήμενον ἐφ' ὑψηλοῦ τόπου, δρομαῖον (5) παρεγένετο πρὸς αὐτόν· καὶ περιπλέκεται τοῖς ποσὶν αὐτοῦ καταφιλῶν. Ὁ δὲ, ἐκτείνας τὰς χεῖρας αὐτοῦ, ἐνηγκαλίσατο αὐτὸ εἰς τὸν ἴδιον κόλπον, καὶ κολακεύων λέγει αὐτῷ· «Εἰπὲ, παιδίον·

(1) Aaron scilicet et Or. Vide Exod. XVII, 12.

(2) Cf. n. ad Andreop. p. 191.

(3) Hæc verba protuli t. IV, pag. 2, n. 1, de verbo πλειῶσθαι agens : conf. ibid. pag. 128, 22.

(4) Conf. p. 2, n. 1. B, ὑπερβ. ὅς ἐστιν ὀκτώβριος.

(5) Adverbiascit δρομαῖον. Cf. p. 35, 1. Melius B, δρόμῳ.

τί συμφέρει σοι, πορευθῆναι μετὰ τῆς μητρός σου ἢ μεῖναι (1) μετ' ἐμοῦ; καὶ τεκνοποιοῦμαί σε. »

Τὸ παιδίον λέγει· « Μετὰ τῆς μητρός μου συμφέρει μοι· τούτου γὰρ χάριν ἦλθον ἐγγύς σου. Εἰρηκυίας μοι· « Δεῦρο, τέκνον· μαρτυρήσωμεν καθὼς » πάντες· » καὶ λέγω αὐτῇ· Μῆτερ, τί ἐστι μαρτυρῆσαι; λέγει μοι· « Ἀποθανεῖν καὶ πάλιν ζῆσαι. » Καὶ πάλιν τὸ παιδίον λέγει· « Ἔασόν με ἀπελθεῖν πρὸς τὴν τεκοῦσάν με, ἐπειδὴ βλέπω αὐτοὺς δεσμοῦντας αὐτήν. » Καὶ ἔκραζεν· « Ἀμμά! ἀμμά! » Λέγει αὐτῷ ὁ βασιλεύς· « Γινώσκεις τὸν λεγόμενον Χριστόν »; Ὁ δὲ λέγει· « Ναί. » Καὶ εἶπεν· « Πόθεν γνωρίζεις αὐτόν »; Λέγει τὸ παιδίον· « Ἀληθῶς καθ' ἑκάστην ἡμέραν ἑώρων αὐτὸν ἐν τῇ ἐκκλησίᾳ, ἡνίκα ἀπῄειν (2) μετὰ τῆς μητρός μου· καὶ, εἰ βούλει, ἐλθὲ μετ' ἐμοῦ, κἀγώ σοι ὑποδείξω αὐτόν. » Πάλιν εἶπεν αὐτῷ ὁ βασιλεύς· « Ἐμὲ ἀγαπᾷς, ἢ ὃν καλεῖτε Χριστόν (3) »; Τὸ παιδίον λέγει· « Ἀληθῶς τὸν Χριστόν, ἐπειδὴ αὐτὸν

(1) A, πορευθῆναι ἢ μεῖναι. B, πορευθῆναι μετὰ τῆς μητρός σου ἢ εἶναι. Et p. 34, 8, B, εἶναι ἐγγύς μου.

(2) B, ὅτε ἀπηρχόμην. A, ἡνίκα ἀπέειν. In scriptura temporis præteriti verbi εἶμι sæpe peccatum fuit: vide Notit. Mss. t. XII, part. II, pp. 18, 71. Symeon Sethi Ichnel. p. 270: ταύτην τὴν παραβολὴν διεξείην ἡμῖν. Leg. διεξῄειν. Idem p. 486: τοῦτό σοι διεξείην. Et hic διεξῄειν reponam. Libanius t. IV, p. 221: ἐπὶ τὴν μακαρίαν ἐπανίην τράπεζαν. Codex 3017, ἐπανῄειν. Idem p. 406: ἆρ' οὐκ ἂν ἐπὶ τοῦτο εἴης; codex, ᾔεις. Idem p. 224: ὁ δ' ἐπὶ τὴν οἰκίαν ἴη, τῶν κυνῶν δεῖπνον αἱρούμενος. Codex, ᾔει, τῶν κυνῶν ἐλεεινότερος καὶ φαυλότερον ἐκείνων δεῖπ. . . . Julianus p. 253: καί μοι. . . . φρίκη τις προσείη. Velim προσῄει. Joannes Hierosol. Vita Joannis Damasc. pag. 238: οὕτως ἔνδακρυν τὸν ἄνδρα ἑωρακὼς, προσείη παρακαλέσων τῆς συμφορᾶς. Lego, προσῄει. Idem p. 239: πᾶσαν μετείην ἀνθρωπίνην σοφίαν. . . . τὴν ἠθικὴν μετείην. Bis lego μετῄειν.

(3) A, καλεῖτε λέγετε χρ. B sine superfluo illo λέγετε.

προσκυνοῦμεν. » Καὶ πάλιν λέγει· « Ἐμὲ ἀγαπᾷς, ἢ τὴν μητέρα σου » ; Τὸ παιδίον λέγει· « Τὴν μητέρα μου. Ἔασόν με λοιπὸν ἀπελθεῖν πρὸς τὴν μητέρα μου. » Λέγει αὐτῷ ὁ βασιλεύς· « Καὶ διὰ τί, ἐάσας αὐτὴν, ἦλθες καταφιλῶν τοὺς πόδας μου » ; Καὶ εἶπεν· « Ἐνόμιζόν σε εἶναι χριστιανόν· καὶ ἵνα ἀπολύσῃς τὴν μητέρα μου. » Καὶ λέγει αὐτῷ· « Ἐγὼ ἰουδαῖος εἰμί· ἀλλ', ἐὰν θέλῃς μένειν ἐγγύς μου, δίδω σοι (1) κάρυα καὶ θάσια καὶ σῦκα, καὶ εἴ τι ἄλλο θέλεις. » Τὸ παιδίον λέγει· « Ἔασόν με ἀπελθεῖν πρὸς τὴν μητέρα μου. Οὐδὲν λαμβάνω ἀπὸ σοῦ, ὅτι ἰουδαῖος εἶ. » Καὶ λέγει ὁ βασιλεὺς τοῖς μεγιστᾶσιν αὐτοῦ· « Βλέπετε τὴν καλὴν ῥίζαν, πῶς μετὰ συνέσεως ἀποκρίνεται » ; Τότε λέγει αὐτῷ εἷς τῶν παεισταμένων· « Ἐλθὲ μετ' ἐμοῦ, καὶ ἀποφέρω σε πρὸς τὴν βασίλισσαν. » Ὁ δὲ « Οὐκ » ἀπεκρίθη. Ἰδὼν δὲ μακρόθεν ὅτι ἔρριφη ἡ μήτηρ αὐτοῦ εἰς τὴν κάμινον, ἔκλαιεν λέγων· « Τὴν μητέρα μου θέλω· » καὶ παρεβιάζετο ἀναστῆναι. Ὁ δὲ βασιλεὺς ἐπεῖχεν αὐτόν. Τότε θράσσεται τοῦ μηροῦ τοῦ βασιλέως καὶ δάκνει αὐτόν. Ὁ δὲ παρέδωκεν αὐτὸν ἑνὶ τῶν μεγιστάνων αὐτοῦ, λέγων· « Παράλαβε καὶ ἀνάτρεφε αὐτὸ, καὶ δίδασκε ἰουδαΐζειν. » Ἦγετο οὖν τὸ παιδίον χειραγωγούμενον ὑπ' αὐτοῦ. Ὡς δὲ συνέβη αὐτὸν ἀπαντῆσαι ἑτέροις ἄρχουσι, καὶ διηγεῖτο αὐτοῖς τὰ ῥήματα ἃ ἔλεγεν τὸ παιδίον καὶ ὡς ἔδακεν τὸν βασιλέα, ἰσταμένων αὐτῶν οὐ μακρὰν τῆς καμίνου, κλέψαι (2) αὐτὸν τὸ

(1) B, *δίδωμί σοι.*

(2) A, *ῥίψαι.* B, *τὸ παιδίον ῥεῦσαν ἀπ' αὐτῶν, ἀπῆλθε καὶ μετὰ θρόμου ἔρριψεν ἑαυτὸ εἰς τὴν κάμινον.* Scripto κλέψαι, lectio codicis A potest servari. Symeon Metaphr.

παιδίον, δρομαῖον ἀπελθὼν ἔῤῥιψεν ἑαυτὸν εἰς τὴν κάμινον. Καὶ οὕτως ἐτελειώθη μετὰ τῆς μητρὸς αὐτοῦ.

Τότε πάντες οἱ μεγιστᾶνες καὶ οἱ δυνατοὶ προσέπεσον τῷ βασιλεῖ, αἰτούμενοι ἄνεσιν τοῖς ὑπολοίποις χριστιανοῖς, καὶ μετ' ὀλίγον χρόνον, εἰ ἠβούλετο (1), κινῆσαι πάλιν ἐπὶ τοὺς ὑπολειφθέντας διωγμόν.

Συνάξας οὖν τὰ παιδία τῶν τε πολιτῶν καὶ ἀγοραίων, εὐγενῶν τε καὶ δούλων, καὶ χειροτεχνῶν καὶ γεωργῶν, ἀπὸ δεκαπέντε ἐτῶν καὶ κατωτέρω, εἴτε ἀῤῥένας εἴτε θηλείας, πάντων χριστιανῶν, τὸν ἀριθμὸν χιλίων διακοσίων ἑνενηκονταεπτὰ, διεμερίσατο αὐτὰ καὶ ἐχαρίσατο εἰς δουλείαν πᾶσι τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ λοιποῖς τοῖς ὑπουργήσασιν αὐτῷ ἐν τῷ διωγμῷ. Καὶ (2) καταδικοῖ ὁ καταδεδικωμένος τῇ ἁμαρτίᾳ καὶ χαείζεται τὰ τέκνα τῆς πίστεως τοῦ πατριάρχου Ἀβραὰμ εἰς δουλείαν, ἅπερ ἠλευθέρωσεν ὁ Χριστὸς ἐξαγοράσας ἐκ τῆς κατάρας τοῦ νόμου τῷ τιμίῳ αὐτοῦ αἵματι (3).

Ὡς μεγάλα (4) καὶ θαυμαστὰ τὰ ἔργα Κυρίου! καὶ τίς ἱκανὸς ἐξιχνιάσαι τὴν αὐτοῦ μακροθυμίαν; Παραυτίκα γὰρ τὸ τοὺς ἁγίους τελειωθῆναι καὶ τοὺς παῖδας διαπεμφθῆναι, καὶ τὸν υἱὸν τῆς ἀνομίας, τὸν ἐπαιρόμενον κατὰ τοῦ δημιουργοῦ καὶ ζωοποιοῦ Θεοῦ, ἐν χρίσει

διαλαβὼν ἑκεῖνο εἶθι πρὸς τὴν μητέρα. In masculinis αὐτὸν et ἀπελθὼν non fit solœcismus. Δρομαῖον est adverbium : cf. p. 32, n. 5.

(1) A, χρόνον ἠβούλετο. B, αἰτούμενοι ἄνεσιν δοθῆναι τοῖς ὑπολειφθεῖσι χριστιανοῖς, καὶ εἰ βούλοιτο πάλιν μετ' ὀλίγον χρόνον κινῆσαι διωγμόν.

(2) Ex B καὶ accessit.

(3) Petr. I Epist. I, 18 : οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς, ἀλλὰ τιμίῳ αἵματι. . . . Χριστοῦ. Cf. tom. IV, pag. 219, 7 ; p. 310, not. 1.

(4) A, ὡς μέγα. B, ὡς ἀληθῶς μεγάλα καὶ φοβερὰ τὰ θαυμάσιά σου, Κύριε· καὶ τίς ἱκ. . . .

φοβερᾷ ληφθῆναι. Ὡς γὰρ ὑπέστρεφεν ἐπὶ τὴν βασιλεύουσαν πόλιν, ἄφνω πῦρ οὐράνιον ἐφάνη πολὺ πλῆθος ἐπὶ τὴν ἐπιάσιον ἄρκτον (1), καὶ ἐπλήρου τὸν οὐρανόν, ἐκφοβοῦν καὶ ἐλέγχον πάντας τοὺς πολεμοῦντας τὸν Κύριον, ἐπὶ ἡμέρας τεσσαράκοντα ἀπὸ ὀψὲ (2) μέχρι μεσονυκτίου, ᾗ ἔωθεν εὐρίσκετο τὸ πυρινὸν ἐκεῖνο νέφος ποιούμενον κονιορτὸν ᾗ αἰθάλην καμινείαν ζέουσαν ἐπὶ πρόσωπον πάσης τῆς γῆς.

Ὦ πόλις ἐπίγειος, ἔχουσα τὸ ὕψος οὐράνιον καὶ τοὺς λογικοὺς ἀστέρας τῶν ἀθλοφόρων μαρτύρων ᾗ ὁμολογητῶν! ὦ πόλις μὴ διαλυομένη, πολεμουμένη ὑπὸ τοῦ ἄρχοντος τῶν πνευμάτων τῆς ἐξουσίας τοῦ ἀέρος τοῦ σκότους (3), σοῦ οἱ νοεροὶ ἀστέρες εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα ὑψιπετοῦσιν (4). Ὦ πόλις μιμουμένη τὴν ἐπίγειον (5) Ἱερουσαλήμ, ἧς ὄρη κύκλῳ αὐτῆς· σὲ δὲ ᾗ τὸν ἐν σοὶ λαὸν τῶν ἀθλοφόρων Κύριος κυκλώσει ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος (6). Ὦ πόλις ἀκρόπολις, Σιὼν ἡ δευτέρα, καλασκοπευτήριον ἐγένου τῶν εἰς ἀγαθὰ εὐαγγελιζομένων τὸν λόγον τοῦ Θεοῦ, καὶ ὑπὲρ αὐτοῦ μέχρι θανάτου παθεῖν ἑλομένων. Νεφὲλη ἐκλήθης, κατὰ τὴν τῶν Ἑβραίων διάλεκτον (7), ἐπεὶ ἐβρύητησε μέχρις ὑρανῶν ἡ ἄθλησις

(1) A, πολὺ πλῆθος ἐπὶ τὴν γῆν ἐπὶ τὴν ἐ. ἄρρητον. B, ἄφνω πῦρ οὐράνιον πολὺν (cf. t. IV, p. 384, n. 2, de ea neutri forma) ἐφάνη εἰς πλῆθος ἐπὶ τὴν ἐπιάσιον ἄρκτον. Pro πολὺ πλῆθος legendum forsan πολυπληθές.

(2) B, ἀπὸ ἑσπέρας.

(3) Epist. ad Ephes. II, 2: κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος.

(4) 1 Epist. ad Thessal. IV, 17: ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα.

(5) B, τὴν ἐπουράνιον.

(6) Psalm. CXXIV, 2: Ἱερουσαλήμ· ὄρη κύκλῳ αὐτῆς, ᾗ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

(7) Conf. p. 6, n. 1.

τῶν ἁγίων τῶν ἐν σοὶ μιμησαμένων τὸ μαρτύριον τοῦ Χριστοῦ· Νεγρὰν σκληθῆς ἀληθῶς καὶ δικαίως, ὅτι τοὺς μοχλοὺς καὶ τὰς πύλας σου καὶ τὰς νοερὰς σήλας τῶν ἀθλοφόρων σου καὶ ὁμολογητῶν οὐ συνέτριψεν ὁ ἀπλικείμενος κῆ ἀλάστωρ τύραννος! Ὦ πόλις πηγάζουσα ὕδατα διαφορὰ λογικὰ ζῶντα (1), δόξαντα ἐν ὀφθαλμοῖς ἀνθρώπων τεθνάναι· τὰ δὲ εἰς τὸν αἰῶνα ζῶσι λιμναζόμενα μεταξὺ τοῦ δήμου τῶν μαρτύρων τῷ πλήθει· παράδεισόν σε καλέσω· ἔχεις γὰρ τὰς τροφοφόρους διδασκαλίας τῶν μέλεις αἵματος (2) ἀντικαθισταμένων πρὸς τὴν παρανομίαν! Ὦ πόλις, ἡ λυπήσασα ἐν τῇ θλίψει αὐτῆς πάσας τὰς βασιλείας τῆς γῆς, καὶ χαροποιήσασα ἐν τῇ ἀνακαινίσει αὐτῆς τὰ πλήθη τῶν ὑρανίων δυνάμεων.

Ὡς φησὶν ὁ προφήτης ἐπὶ ταῖς τρισὶν ἀσεβείαις (3), καὶ ἐνταῦθα μιμεῖται ὁ παμμίαρος τὴν καὶ δευτέραν καὶ τρίτην ἀσέβειαν, καὶ ἐργάζεται ἐξ ἧς οὐκ ἀπεστράφη ὁ θεὸς, ἀλλ' ἐν αὐτῇ ἐπάλαξεν τὸν ἀσεβῆ καθὼς καὶ τὸν Φαραώ.

Γράφει οὖν ὁ δεύτερος Φαραὼ πρὸς τὸν βασιλέα τῶν Περσῶν, αἰτούμενος αὐτὸν πάντας τοὺς ἐκεῖσε χριστιανοὺς ἀποκταθῆναι, καθ' ὃν τρόπον πεποίηκεν, εἰπὼν ἔχειν τὸν Ἥλιον εὐμενῆ, καὶ τὸν πατέρα τοῦ Ἡλίου, ὃν ἔφασκεν θεὸν εἶναι τῶν Ἑβραίων. Ἔτι δὲ καὶ πρὸς Ἀλαμούνδαρον, τὸν βασιλίσκον πάντων τῶν ὑπὸ Πέρσας Σαρακηνῶν (4), ἀποστέλλει πρέσβεις,

(1) Conf. t. IV, p. 315, n. 1.

(2) B, μέλεις αἵματος καὶ σαρκός. Sæpe jungunt scriptores Novi Testamenti αἷμα καὶ σάρκα.

(3) Amos I, 3 : ἐπὶ τρισὶν ἀσεβείαις Δαμασκοῦ καὶ ἐπὶ τρισὶ πεσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν.

(4) Mox p. 38, 12, Σακικὰς cognomine dicetur. Ἀλαμούνδαρος ὁ Σικικὰς, ὁ βασιλίσκος τῶν Σαρακη-

γνωρίσας καὶ αὐτῷ πάντα τὰ ὑπ' αὐτοῦ πραχθέντα εἰς τοὺς χριστιανοὺς, καὶ προτρέπεται αὐτὸν τὰ ὅμοια ποιῆσαι, ὑποσχόμενος ὁλκὴν δηναρίων τρισχιλίων διδόναι, εἴπερ διωγμὸν ἐπαγάγοι ἐπὶ τοὺς χριστιανοὺς τοὺς ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ (1).

Ὁ δὲ θαυμαστὸς ἐν τοῖς ἁγίοις αὐτοῦ (2), ὁ βασιλεὺς πάντων τῶν αἰώνων, καὶ ἔχων ἐναντίον διὰ παντὸς τὸν θάνατον τίμιον τῶν ὁσίων αὐτοῦ, ἐνέβαλεν Ἰουστίνῳ τῷ θειοτάτῳ, τηνικαῦτα βασιλεύοντι τῶν Ῥωμαίων, πέμψαι Ἀβράμιον (3) τὸν εὐλαβέστατον πρεσβύτερον πρὸς τὸν αὐτὸν Ἀλαμούνδαρον τὸν λεγόμενον Σακικὰς (4), καὶ προτρέψαι αὐτὸν σπονδὰς εἰρηνικὰς ποιῆσαι πρὸς τοὺς Ῥωμαίων Σαρακηνούς (5).

Καὶ τῶν τοῦ μιαροῦ γραμμάτων ἀναγινωσκομένων, παρόντος τοῦ αὐτοῦ θεοφιλεστάτου Ἀβραμίου καὶ τῶν ἀπὸ Περσίδος ἀποσταλέντων παρὰ τοῦ βασιλέως

νῶν, Theophanes ait apud Sammartinum ad Hist. Infimi Imp. t. VII, p. 419, ubi de eo regulo docte agitur. Adde t. VIII, p. 56. Rex fuit urbis *Hirah*, in Babylonia sitæ: vide Sammart. ibid. t. V, p. 484; t. VIII, p. 58.

(1) B, προτρέπεται αὐτοὺς .... ὑποσχόμενος αὐτοῖς ὁλκὴν.... ἐὰν εἴπερ... ἐπαγάγωσιν ... ἐξουσίαν αὐτῶν. Symeon Metaphr.: ἐπὶ τοσούτῳ γὰρ μανίας ἐξήφθη κατὰ χριστιανῶν, ὡς καὶ πρεσβείαν ἐξαποστεῖλαι τῷ τῶν Περσῶν βασιλεῖ, τοῦ καὶ αὐτὸν τὰ ὅμοια δράσαντα πάντας ἀφανίσαι τοὺς ὑπ' αὐτὸν εὑρισκομένους χριστιανοὺς, εἴγε τὸν Ἥλιον εὐμενῆ, φησὶ, βούλοιτο ἔχειν καὶ τὸν τούτου πατέρα, ὡς ἐκεῖνος ἀπεφλυάρει, τὸν τῶν Ἑβραίων θεόν. Τὰ αὐτὰ δὲ καὶ Ἀλαμουνδάρῳ τῷ ἐξηγουμένῳ τῶν ὑπὸ Πέρσαις Σαρακηνῶν ἐπέστειλεν, ὑποσχνούμενος διδόναι καὶ χρήματα, εἰ κατὰ τῶν ὑπὸ χεῖρα χριστιανῶν κινήσειε διωγμόν.

(2) Psalm. LXVII, 35: θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ὁσίοις αὐτοῦ.

(3) Res nota ex Nonnoso Photii: vide Sammart. t. VIII, p. 56, n. 4. Symeon Metaphr.: πρὸς τὴν πρεσβείαν Ἀβράμιος ἀνὴρ θεοφιλὴς καὶ πρεσβύτερος ἐξεπέμπετο.

(4) B, σακικάν. Cf. p. 42, 6.

(5) B, πρὸς τοὺς ὄντας ὑπὸ τὴν αὐτοῦ ἐξουσίαν χριστιανούς. Symeon Metaphr.: εἰρηνικὰς διαθεῖναι σπονδὰς πρὸς τοὺς ὑποφόρους Ῥωμαίων Σαρακηνούς. Et in A omissum fuisse ὑποφόρους opinor.

Περσῶν, Συμεωνίτȣ πρεσβυτέρου καὶ ἀποκρισιαρίου τῶν ὀρθοδόξων χριστιανῶν τῶν ἐν τῇ Περσίδι, καὶ Ἰωάννȣ ὑποδιακόνȣ τȣ̃ λεγομένου Μανδίνȣ, παρόντος καὶ Ἀγγείȣ (1) κόμητος υἱοῦ Ζῆδ καὶ υἱοῦ Ἰὼβ, ἐθνάρχȣ χριστιανȣ̃ πάσης τῆς παρεμβολῆς· παρεγένετο δὲ, ταύτης ἕνεκα τῆς ὑποθέσεως, Σίλας ὁ ἐπίσκοπος τῶν νεστοριανῶν Περσίδος (2) μετὰ πλήθȣς, ὑποκροῦσαι βȣλόμενος καὶ ἀντιδογματίσαι τοῖς ἀπὸ Ῥωμαίων καὶ Περσῶν ὀρθοδόξοις, ἀρέσαι βουλόμενος Ἕλλησί τε καὶ Ἑβραίοις.

Καὶ ἔλεγον· « Δεόμεθα τῆς βασιλείας σου ὅπως συμπράξῃς τῷ ἀδελφῷ σου τῷ βασιλεῖ τῶν Ὁμηριτῶν· καὶ γὰρ ἡμεῖς Πέρσαι ἐσμὲν, καὶ ἔγνωμεν ὅτι ὁ βασιλεὺς τῶν Ῥωμαίων (3) καὶ οἱ ἱερεῖς αὐτῶν ἔμαθον νῦν ὅτι ἄνθρωπον ἐσταύρωσαν καὶ οὐ θεόν. Ἡμεῖς γὰρ, οἱ πεπαιδευμένοι ἐκ τῶν θείων διδασκαλιῶν Νεστορίȣ τȣ̃ πατριάρχȣ, ȣ̃τω δοξάζομεν καὶ φρονȣ̃μεν, ὅτι ὁ σταυρωθεὶς ἄνθρωπος τέλειος δυνατὸς (4) ὑπῆρχεν, οὐ θεός. »

(1) B, ἀγγαίου : sed mox p. 40, A B, ἀγγείας. Sunt in B aliæ varietates, quas non omittam ut in loco historico : καὶ τῶν τοῦ μυσαρȣ̃ γραμμάτων ἀναγ. παρ. τȣ̃ θεοφ... συμεωνίου πρ. κ. ἀπ. τῶν ὀρθ. τῶν ἐν περσ. χριστιανῶν, καὶ ἰωάννου μανδινοῦ, παρ. κόμητος ἀγγαίου υἱοῦ ζὴτ ἐθνάρχου ὄντος χρ. τῆς πάσης παρ. Symeon Metaphr. : παρῆσαν δέ τινες καὶ ἀπὸ τοῦ Περσῶν βασιλέως ἐκεῖ, Ἰσάκιος πρεσβύτερος καὶ τῶν ἐν Περσίδι χριστιανῶν ὀρθοδόξων ἀποκρισιάριος, καὶ ἕτεροι.

(2) B, καὶ σίλας ὁ ἐπ. τ. νεστ. ἀπὸ περσίδος. Symeon Metaphr. : ἦν δὲ καὶ Σίλας ὁ τῶν νεστοριανῶν ἐπίσκοπος μετὰ καί τινων, ἅμα μὲν τὴν τȣ̃ Ἑβραίȣ πρεσβείαν ἀναπληρῶν, ἅμα δὲ καὶ τοῖς ὀρθοδόξοις εἰς λόγους ἐθέλων ἐλθεῖν καὶ ἀντιδογματίσαι. Καὶ τῶν γραμμάτων τȣ̃ Ὁμηρίτȣ βασιλέως ὑπαναγινωσκομένων...

(3) A, ἑβραίων. B, ῥωμαίων. Symeon Met. : τȣ̃ Σίλα συνευδοκοῦντος τῷ τοῦ γεγραφότος σκοπῷ καὶ ψιλὸν ἄνθρωπον λέγοντος καὶ οὐ θεὸν τὸν Χριστὸν, ὃ καὶ πεπληροφορῆσθαι καὶ αὐτὸν βασιλέα Ῥωμαίων.

(4) B, sine τέλειος.

Καὶ ὡς μυκτηρίζοντες ἔκραζον ἔμπροσθεν τῶν εἰδωλομανῶν ἐθνῶν· « Εἰ θεὸς, τικτόμενος ἐκ γυναικὸς, ἢ συμφυρόμενος αἵματι γυναικείῳ, ἢ ἐν σπαργάνοις εἱλισσόμενος, ἢ πεινῶν, ἢ ἐκφοβούμενος, ἢ κοπτόμενος, ἢ ἀποθνήσκων, ὥσπερ οὗτοι ὁ Ἀγγείας καὶ Ἀβράμιος καὶ Ἰσάκιος καὶ Ἰωάννης, καὶ οἱ σὺν αὐτοῖς Ῥωμαῖοι καὶ Πέρσαι πλανῶνται; σιωπάτωσαν· θεὸς γὰρ τελευτῶν μὴ ἀνίσταται (1) » ; τότε Ἀβράμιος ὁ θεοφιλέστατος καὶ οἱ σὺν αὐτῷ Ῥωμαῖοι, καὶ Ἰσάκιος ὁ θεοσεβέστατος καὶ οἱ σὺν αὐτῷ Πέρσαι ὄντες ὀρθόδοξοι, διασχίσαντες τὰ ἱμάτια αὐτῶν (2), ἐβόων· « Μὴ γένοιτο! ἡ γὰρ πίστις τῶν Ῥωμαίων βεβαία ἐστίν· καὶ κατὰ τὴν παράδοσιν τῶν ἁγίων ἀποστόλων καὶ συνόδων βεβαίαν ἔχομεν τὴν πίστιν. Διδάσκουσι γὰρ ἡμᾶς τῆς θείας οἰκονομίας (3) τὸ μυστήριον, ὅτι ὁ Θεὸς Λόγος, ἐνοικήσας ἐν τῇ μήτρᾳ τῆς ἀχράντου Θεοτόκου, ἥνωσεν ἑαυτῷ ἐξ αὐτῆς τῆς συλλήψεως σῶμα νοερὸν ἔμψυχωμένον, καὶ γέγονε τέλειος ἄνθρωπος, εἷς καὶ ὁ αὐτὸς ὁμοιοπαθὴς ἡμῖν κατὰ πάντα, χωρὶς ἁμαρτίας (4)· καὶ ἐν μὲν τῇ σαρκὶ αὐτοῦ ἰσταῖμεν τὸ πάθος, ἐν δὲ τῇ θεότητι αὐτοῦ ὁμολογοῦμεν τὸ κράτος. Οὗτοι δὲ νεστοριανοί (5) εἰσιν, ἐκβληθέντες

(1) B, σιωπησάτωσαν· θ. γ. τ. μὴ ἀνασήτω. Symeon Metaphr.: « πῶς γὰρ ἄν τις φησί, « πεπόμενος ἐκ γυναικὸς καὶ τῷ ἐκείθεν αἵματι συμφυρόμενος, εἱλισσόμενός τε σπαργάνοις καὶ κατὰ μικρὸν δεχόμενος αὔξησιν, εἶτα κοπιῶν καὶ πεινῶν, καὶ τὸ τελευταῖον σταυρούμενος καὶ ἀποθνήσκων, θεὸς εἶναι λέγοιτο, ὡς οἱ περὶ Ἀβραμιόν φασι καὶ Ἰσάκιον ; »

(2) B, ἱμάτια αὐτῶν, καὶ γῆν καταπασάμενος ἐπὶ τὰς κεφαλὰς αὐτῶν.

(3) Conf. tom. IV, pag. 61, 16; pag. 474, 5.

(4) Cf. t. IV, p. 3, n. 4.

(5) A, ἔχομεν τὴν πίστιν· οὗτοι γάρ Νεστορ. Inserui quæ pleniora B obtulit. Non potuerunt orthodoxi nestorianorum blasphemata melioris doctrinæ expositione

μετὰ τοῦ ἀνοσίου αὐτῶν διδασκάλου ἀπὸ τῆς καθολικῆς ἐκκλησίας· καὶ ἀναθεματισθέντες περιέρχονται πλαζόμενοι ἀπὸ τόπου εἰς τόπον, ὑποφθεῖραι βουλόμενοι τὰς ψυχὰς τῶν ἁπλουστέρων. »

Τότε οἱ δοῦλοι τοῦ Θεοῦ, ποιήσαντες εἰρηνικὰς συνθήκας πρὸς Ἀλαμούνδαρον, ὑπέστρεψαν, καὶ τὴν δύναμιν τῶν ἀπὸ τοῦ Ὁμηρίτου (1) ἀνήγαγον καὶ τὰ πραχθέντα εἰς τὰς εὐσεβεῖς ἀκοὰς τοῦ δούλου τοῦ Θεοῦ Ἰουστίνου τοῦ βασιλέως, ὃς παραυτίκα γράμματα πεποίηκε πρὸς Τιμόθεον (2) ἐπίσκοπον Ἀλεξανδρείας, ὅπως γράψῃ ἡ αὐτοῦ ὁσιότης καὶ ὑπόλογον ποιήσῃ Ἐλεσβὰν τὸν βασιλέα τῶν Αἰθιόπων, ἵνα στρατοπεδαρχήσας ἐξαλείψῃ πάντας τοὺς παρανομοῦντας μετὰ τοῦ βασιλέως αὐτῶν.

Γέγραφε δὲ ἡ αὐτοῦ εὐσέβεια καὶ τῷ αὐτῷ Ἐλεσβᾷ τάδε· « Οἶδα τὸ χριστιανικώτατον τῆς σῆς ἀδελφότητος· καὶ ἦλθεν εἰς ἡμᾶς ὅτι ὁ ἀντάρτης, ᾧτινι ἐπιστεύσατε (3) τὴν βασιλείαν τῶν Ὁμηριτῶν, δραξάμενος καιροῦ, πάντας τοὺς ὑφ' ὑμῶν ἐλθόντας (4)

non redarguere. Symeon Met.: οἱ θεοφιλεῖς οὗτοι, μὴ στέγοντες καθυβρίζεσθαι τὸν θεὸν, τὰς ἑαυτῶν ἐσθῆτας διέρρηξαν, αἱρετικοὺς ἀποκαλοῦντες καὶ ἀποκηρύκτους τῆς καθολικῆς ἐκκλησίας αὐτούς τε καὶ Νεστόριον τὸν διδάσκαλον αὐτῶν καὶ τῶν τοιούτων σπορέα βλασφημιῶν· καὶ διεξήρχοντο τὰ τῆς οἰκονομίας πλατύτερον, καὶ ὡς, τοῖς τῶν θείων ἀποστόλων καὶ τῶν πατέρων ὀρθοδόξοις ἑπόμενοι δόγμασι, θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον ὁμολογοῦσι Χριστὸν, ἐν ὑποστάσει μιᾷ τὰς δύο φύσεις ἀσυγχύτως συνάπτοντες.

(1) B, nitidius : τὴν δύν. τῶν γραφέντων ὑπὸ τοῦ ὁμηρίτου.

(2) Symeon Metaphr. : ὁ δὲ μὴ ἀναμείνας Ἀστερίῳ τῷ Ἀλεξανδρείας ἐπέστελλεν ἐπισκόπῳ παρορμῆσαι τὸν βασιλέα τῶν Αἰθιόπων ὅπλα κινεῖν κατὰ τῶν Ὁμηριτῶν. Alexandriæ episcopum tunc fuisse Timotheum dictum est p. 2, 5; sed et ab aliis Asterius fuit nominatus : vide Sammart. ad t. VIII Hist. Infimi Imperii, p. 59.

(3) B, ἐπίστευσας.

(4) B, τοὺς ὑφ' ἡμῶν σταλέντας. Symeon Metaphr. : τοὺς ὑπ' αὐτὸν

Αἰθίοπας χειλιανούς, μετὰ τῶν εὑρεθέντων ἐν τῇ αὐτῇ χώρᾳ Ῥωμαίων καὶ Περσῶν χειλιανῶν, φόνῳ μαχαίρας ἀνεῖλεν, μὴ ἑλομένων (1) ἀρνήσασθαι Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ. Ἀλλὰ δὴ καὶ Νεγρὰν τὴν πόλιν ἔρημον καὶ ἀοίκητον κατέστησεν. Γεγράφηκε δὲ καὶ ἐν Περσίδι Ἀλαμουνδάρῳ τῷ λεγομένῳ Σακικὰς (2), ἐξαιτούμενος καὶ αὐτοὺς (3) τὰ ὅμοια διαπράξασθαι εἰς τοὺς ὑπ' αὐτὸν χειλιανούς. Περτρεπόμεθα τοίνυν καὶ ἐνορκοῦμεν κατὰ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος τὴν σὴν ἀδελφότητα, χεῖρα βοηθείας ἔχουσαν τὴν τῶν ἁγίων Ἀγγέλων καὶ Ἀρχαγγέλων δύναμιν (4), ἐξελθεῖν εἴτε πλῷ (5) εἴτε πεζῇ κατὰ τοῦ μυσαροῦ καὶ παρανόμου ἐβραίου. Εἰ γὰρ τοῦτο ὀκνήσει ἡ σὴ γνησιότης (6) ποιῆσαι, οὐρανόθεν ὀργίζεται αὐτῇ ὁ Θεὸς καὶ τῇ ὑμετέρᾳ πολιτείᾳ· ἡμεῖς δὲ διὰ Κόπλου καὶ Βεργνίκης καὶ τῶν λεγομένων Βλεμμύων καὶ Νοβάδων (7) πλῆθος στρατευμάτων ἐκπέμ-

πλοῦντας Αἰθίοπας χριστιανοὺς ἅπαντας ἐξηφάνισεν.

(1) B, *μὴ ἑλομένους.*

(2) B, *ἀλαμουνδάρῳ σακίκα* : conf. p. 37, n. 4.

(3) Omissa fuit mentio regis Persidis ad quem Dunaan etiam miserat literas de necandis christianis: conf. p. 37, 20. B, *ἐξαιτούμενος τὰ ὅμοια διαπράξασθαι εἰς τοὺς ἐκεῖσε ὄντας χριστιανούς.* Symeon Metaphr. : *καὶ ὅπως τὰ ὅμοια καὶ τὰ τῶν Περσῶν βασιλέα ὁ Ἀλαμούνδαρος ποιήσασθαι παρορμᾷ.*

(4) Accessit *δύναμιν* ex codice B.

(5) B, πλοῖ : imo πλοΐ. Est dativus πλοΐ ab πλοῦς, ut νοΐ ab νοῦς. Iotacismus scripturam πλοῖ peperit. Et forsan etiam πλεῖ ex A legendum fuerit in quo πλῷ εἴτε πεζῇ. Sed quum prius εἴ folium 38 rectum finiat, posterius εἴ versum inchoet, videbatur pravam inesse syllabæ prioris vocis εἴτε repetitionem.

(6) B, ἡ σὴ ὁσότης. Erit ἡ σὴ γνησιότης « vestra *legitimitas* » ; quod notabile.

(7) B, νομάδων. A, τῶν λεγομένων βλεμμάδων. Symeon Met. : τὰ δὲ Ῥωμαϊκὰ... φαπύμαπα ὁ ἡμέτερος διά τι Κόπλου καὶ Βεργνίκης καὶ Βλεμμύων τῶν νομάδων πρὸς ἅμιλλαν ἐκπεμπόμενα κατὰ πάρδον βλάψαι μὲν τὴν ὑμετέραν, τὴν δὲ

ψαντες, παρόδῳ χρησάμενα τὰ σέρατόπεδα ἡμῶν διὰ τῆς σῆ (1) συντείψωσι πάντας, τὸν δὲ Ὀμπρίτην καὶ τὴν αὐτοῦ χώραν πᾶσαν εἰς τέλειον ἀφανισμὸν κατασήσωσιν. Ἔρρωσο (2). »

Ὦ τῆς μεγάλης χρίσεως τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ! Ἐκεῖ μὲν γὰρ Φαραὼ σκληρύνας τὴν καρδίαν (3) μετὰ τὴν δεκάπληγον, καταδιώξας τὸν Ἰσραὴλ, εἰς θάλασσαν κατεπόντίσθη· ὧνταῦθα δὲ, σπουδάσας τὰ χείρονα διαπράξασθαι εἰς τοὺς καλὰ τόπον λαοὺς τοῦ Θεοῦ, ὁ δεύτερος Φαραὼ ἔγραψε τοῖς κατὰ τόπον βασιλεῦσι (4), καὶ εὑρέθη ὀρύζας λάκκον εἰς ὃν ἐνέπεσεν (5). Οἶδεν γὰρ ὁ Θεὸς ἡμῶν ῥύσασθαι ἐκ θανάτου εὐσεβεῖς, ἀσεβεῖς δὲ εἰς ἡμέραν κολάσεως (6) τηρεῖν.

Ἐν Ἀλεξανδρείᾳ γοῦν τῇ καθ' Αἴγυπτον, ἀπελλίῳ μηνὶ, ἰνδικτιῶνος τρίτης (7), συνάξας Τιμόθεος ὁ ὁσιώτατος ἐπίσκοπος πάντας τοὺς ὀρθοδόξους καὶ πλῆθος τῶν ἐν Νιτρίᾳ καὶ Σκήτει (8) μοναχῶν εἰς τὸ ἀγιώ-

Ὀμπρίτην πολίχνην παραδόσει ἀφανισμῷ. De urbe Copto vide Steph. Quatremer. Memor. geograph. t. I, p. 149; Schol. Luc. Philops. 33; Geographum Arabem in Notit. Mss. tom. I, p. 450: de Blemmyis Quatrem. ibid. tom. II, p. 127; Sammartin. Hist. Infimi Imperii t. I, pagg. 291, 438.

(1) B, διὰ τῆς γῆς σου.

(2) Poterit addi ἔρρωσο Epistolæ Theanonis Callist. e cod. 3054.

(3) Cf. Exod. XIV, 4, 8.

(4) A, ἔγραψε κατὰ τόπον.

(5) Psalm. VII, 15 : λάκκον ὤρυξε καὶ ἐτοίμασεν αὐτὸν, καὶ ἡμπίπτην εἰς βόθρον ὃν ἐποίησατο.

(6) Job. XXI, 30: ὅτι εἰς ἡμέραν ἀπωλείας κουφίζεται ὁ πονηρός.

(7) Anno 525.

(8) A, ἐν νητρίᾳ καὶ σκήτῃ. B, ἐν τῇ νητρίᾳ καὶ σκήτει. Symeon Metaphr. : ὁ μέντοι Ἀλεξανδρείας σὺν τοῖς ἐν Νισρίᾳ καὶ Σκήτει μοναζουσιν ὀρθοδόξοις πανύχιον πρὸς Θεὸν ἱκετείαν πεποιήμενος.... De Nitria et Scete, quorum locorum tam frequens fit mentio in Ægyptiorum historia monachorum, vide St. Quatremer. Memor. geograph. tom. I, pp. 452, 481.

τατον μαρτύριον τοῦ ἁγίου ἀποστόλου Μάρκου (1), ἐκήρυξε λιτὴν (2), καὶ ἀγρυπνίαν ἐποίησεν, καὶ, τῇ ἐπιούσῃ, τελέσας τὴν σύναξιν (3), τὴν θείαν προσφορὰν (4) ἐν σκεύει ἀργυρῷ πέμπει πρὸς τὸν βασιλέα τῶν Αἰθιόπων διὰ πρεσβυτέρων (5), προλρεπόμενος αὐτὸν διὰ λόγου διδασκαλίας σλρατοπεδαρχῆσαι, ὥσπερ Σαμουὴλ καὶ Δαυὶδ κατὰ τοῦ Ἀμαλὴκ, καὶ ἀναθεματισμῷ τῷ διὰ ξίφους καὶ πυρὶ παραδοῦναι.

Ἔτυχεν δὲ πρώην τὸν θεράποντα τοῦ Θεοῦ Ἐλεσβὰν συνάξαι ἀπὸ πάσης τῆς βασιλείας αὐτοῦ καὶ ἐξ ἄλλων ἐθνῶν πλῆθος χιλιάδων ρκ' (6). Καλ' οἰκονομίαν δὲ (7) τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰσῆλθον πλοῖα τῶν ἐμπόρων Ῥωμαίων τε καὶ Περσῶν καὶ Ἰνδῶν καὶ ἐκ τῶν νήσων Φαρσὰν ἑξήκοντα· ἀπὸ μὲν Ἰλὰ (8)

(1) Μαρτύριον hic est ecclesia martyri dicata: vide Cangii Glossarium. Peculiarem apud Ægyptios cultus honorem obtinuit S. Marcus, qui primus in Ægypto evangelium prædicavit, et in ipsa Alexandria constituit ecclesias: vide Euseb. Hist. eccles. II, 16. Ejus successor habebatur patriarcha Alexandrinus.

(2) Λιτὴ est processio. B, ἐκήρυξε λιταντίαν: sensu eodem.

(3) « Celebrato officio », missa celebrata?

(4) « Divinam hostiam »? B, τ. θ. πρ. ἐαλὼν ἐν σκ.

(5) B, διὰ πρεσβυτέρου.

(6) Symeon Metaphr.: ἐπίσκοπον ἡθροικὼς ἀξιόλογον φασὶν ἔκ τε τῆς οἰκείας καὶ συμμαχίδος ἄχρι τῶν δυοκαίδεκα μυριάδων· ἦν δὲ καὶ πλοῖα κατεσκευασμένα Ἰνδικὰ ἑβδομήκοντα ἐν αὐτῷ τῷ χειμῶνι· εὑρὲ δὲ καὶ ἐκ τῶν ἐμπόρων Περσῶν τε καὶ Αἰθιόπων καὶ τῶν νήσων, ἐμπορείας χάριν ἐκεῖσε καταφορτία, περί που ἑξήκοντα. Vide Sammart. ad Hist. Infimi Imp. t. VIII, p. 60.

(7) Loquutio ecclesiasticæ orationis. Jo. Moschus in Monum. Coteler. t. I, p. 355, narrat Batylam mimum die quadam fuisse in ecclesiam ingressum, quando κατ' οἰκονομίαν Θεοῦ ἠναγινώσκετο τὸ εὐαγγέλιον. Conf. p. 50, 14, et supra t. IV, p. 21, 24.

(8) B, ἑξήκοντα οὕτως· ἀπὸ μὲν αἰτλὰ τῆς πόλεως. Verius hoc nomen esse videtur. Idem locus memoratur in Ammonii monachi narratione de monachis Sinaïtis p. 107: τῶν Βλεμμύων πλῆθος ἐπιδραμὸν τὸ παραθαλάσσιον τῷ τόπῳ ἐκείνῳ πλοῖον ἀπὸ Αἰλὰ ὑπάρχον

ιέ, ἀπὸ τοῦ Κλύσματος (1) κ', ἀπὸ Βερενίκης ζ', ἀπὸ Ἰωταβὶς β' (2), ἀπὸ Φαρσὰν ζ', ἀπὸ Ἰνδίας θ'.

Ταῦτα συνάξας ὁ βασιλεὺς Ἐλεσβὰς ἐν ὅρμῳ τινὶ λεγομένῳ Γαβαζὰν (3), ὑπὸ τὴν ἐνοικίαν ὄντι Ἀδουλὶν πόλιν τὴν παρὰ θάλασσαν (4), ἐκέλευσεν ἐνολκηθῆναι (5) ἐπὶ τῆς γῆς. Πεποίηκε δὲ καὶ αὐτὸς Ἰνδικὰ δέκα πλοῖα· καὶ ἐν τῷ αὐτῷ χειμῶνι τῆς αὐτῆς τρίτης ἰνδικτιῶνος περιλοχάληνα τὰ ἑβδομήκοντα πλοῖα.

Ἐν τοσούτῳ ὧν δεκαπέντε χιλιάδας Αἰθιόπων τῶν βαρβάρων πέμπει διὰ ξηρᾶς, ὀφείλοντας ἐκ νότου τῆς Αἰθιοπίας διαπερᾶσαι καὶ μέχρις ἀνατολῆς καὶ εὐτρεπισθῆναι εἰς μέρη τινὰ τοῦ Ὁμηρίτου, ὅπως, τῶν πλοίων μετὰ τῶν στρατοπέδων παραγινομένων ὡς ἐκ δυσμῶν διὰ θαλάσσης, ἐκεῖνοι ἐξ ἀνατολῶν ἐπεμβαίνωσιν (6).

Ὁδεύσασαι δὲ αἱ δεκαπέντε χιλιάδες μονὰς τριάκοντα, καὶ ἐστὶ ἐπὶ ἄλλας ἡμέρας ὁδεύσασαι δι'

καπόζαν, βουλόμενοι ἀπελθεῖν εἰς τὸ Κλύσμα διὰ τῆς θαλάσσης. Est Αἰλὰ vel Ἀειλὰ portus in ora Arabiæ.

(1) De Clysmate erudite disseruit St. Quatrem. Mem. geogr. t. I, p. 151.

(2) B, ἀπὸ ἰωταβῆς ἑπτὰ, ἀπὸ βιρωνίκης δύο.

(3) B, γαβαζά. Cf. p. 49, n. 1.

(4) B, ὅτι ἀδουλὶς τῆς πόλεως τῆς παραθαλασσίας. De Aduli urbe vide Fabric. Biblioth. Gr. t. IV, p. 251, n.

(5) B, ἐνολκιαθῆναι.

(6) B, ὀφειλόντων πεζοὺς ἐκ τ. τ. Αἰθιόπων χώρας καὶ μέχρις ἀνατολῆς εὐτρεπισθῆναι, εἰς μ. τ. τ. ὁ. ὅ., τ. πλ. μ. τ. ςρ. ἐκ δυσμῶν θαλάσσης ἐρχομένων, ἐκεῖνοι ἐξ ἀνατολῶν παρεμβάλωσιν. Symeon Metaphr.: καὶ δι' ἠπείρου μὲν ὡς ἐκ νότου τῆς Αἰθιόπων ἐξέπεμπέ τινας τῶν βαρβάρων Αἰθιόπων, μυρίους καὶ πεντακισχιλίους, ὡς τὰ τοῦ Ὁμηρίτου ἀναπλικώτερα, ὡς ἂν αὐτὸς μὲν μετὰ πλοίων ἐκ δυσμῶν διὰ θαλάσσης, ἐκεῖνοι δὲ ἐξ ἀνατολῶν διὰ γῆς ἐμβαλόντες τοὺς πολεμίους εἰς μέσον ἐναποκλείσωσιν. Imperfecta codicis A oratio collatione alterius ac Symeonis fit intellectu facilis.

ἀνύδρων καὶ ἀβάτων ὀρέων (1), διεφθάρησαν καὶ οὐ διήρκεσαν πρὸς τὸν Ὁμηρίτην ἀπελθεῖν, οὐδὲ ἐπὶ Αἰθιοπίαν ὑποστρέψαι.

Καὶ μετὰ τὴν ἁγίαν Πεντηκοστὴν ἤδη μέλλων κινῆσαι καὶ εὐτρεπισμένος ὤν, πρόκενσον (2) ἐπὶ τὴν ἁγιωτάτην τοῦ Θεοῦ ἐκκλησίαν ἐποίησεν, ὅπου οἱ βασιλεῖς καὶ οἱ ἱερεῖς τῆς χώρας θάπτονται· καὶ κατελθὼν ἐν τῷ νάρθηκι τῆς ἐκκλησίας, ἀπέθετο τὴν ἐσθῆτα καὶ τὸν κόσμον ὃν εἰώθασιν οἱ βασιλεῖς ἐνδιδύσκεσθαι (3), καὶ μετὰ παγανῆς (4) φορεσίας εἰσελθὼν, καὶ στὰς μεταξὺ τῶν κεράτων τοῦ θυσιαστηρίου, ὑψώσας τὰς χεῖρας εἰς τὸν οὐρανὸν, ἔλεγεν· « Δέσποτα, Θεὲ παντοκράτορ (5), δημιουργὲ τῶν ἁπάντων οὐρανίων δυνάμεων ὁρατῶν τε καὶ ἀοράτων, ὁ ὑπὸ μυριάδων Ἀγγέλων λειτουργούμενος (6), ᾧ παρίστανται Χερουβὶμ τὰ πολυόμματα καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ ᾄδοντα ἀσιγήτοις χείλεσιν « Ἅγιος ἅγιος ἅγιος κύριος σαβαὼθ (7) », τρισάγιε θεὲ τῶν θεῶν, καὶ κύριε τῶν κυριευόντων (8), ὁ πατὴρ τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ,

(1) B, χιλ. τῶν βαρβάρων μονὰς δεκαπέντε καὶ ἐπὶ ἄλλας ἑπτὰ διοδεύσασαι δι' ἀβάτων καὶ ἀνύδρων ὀρέων.

(2) « Processionem ». Vide Glossarium Cangii, qui hunc ipsum locum inter exempla apposuit.

(3) A, ἐνδεδυσκεσθαι.

(4) B, παγανικῆς. Symeon Metaphr.: ὁ δὲ βασιλεὺς περὶ τὸν ἔκπλουν ἤδη ὤν, ἀφίκετο εἰς τὸ ἱερὸν, καὶ πρὸ τῆς εἰσόδου, ἐν τῷ προνάῳ τὴν βασίλειον ἐσθῆτα ἐκδὺς καὶ τἄλλα παράσημα ἀποθεὶς, εἰσῆλθεν ἐν τῷ ἰδιωτικῷ σχήματι, καὶ στὰς τοῦ θυσιαστηρίου κατέναντι....

(5) Dan. VII, 10: χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ.

(6) Apocal. XI, 17: κύριε ὁ θεὸς ὁ παντοκράτωρ.

(7) Isai. VI, 2: καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἐξ πτέρυγες τῷ ἑνί... καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· « ἅγιος ἅγιος ἅγιος κύριος σαβαώθ. » Conf. Apocal. IV, 8.

(8) Cf. I Epist. ad Tim. VI, 15; Apocal. XIX, 16.

φοβερὲ (1), νικητὰ, τερπαιοῦχε, σταδιάρχα, σὺ εὐδόκησας ἐξαποστεῖλαι τὸν Υἱόν καὶ Λόγον σου τὸν ἐκ τῆς σῆς οὐσίας σῶσαι τὸ ἀπολωλὸς τῆς ἀνθρωπίνης ἑκατοντάδος πρόβατον (2), ὃς, κατελθὼν, καὶ σαρκωθεὶς ἐκ τοῦ Ἁγίου Πνεύματος καὶ τῆς ἁγίας παρθένου Μαρίας, πάντα πρὸς σωτηρίαν ἡμῶν εἰργάσατο, φωτίσας ἡμᾶς τοὺς ἐν σκότει τῆς ἀθεΐας (3) ὄντας γνῶναί σε τὸν τῶν πατέρων θεὸν, καὶ τὸν μονογενῆ σου Υἱὸν καὶ Λόγον, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Καὶ ἰδοὺ ὡς ἡ ἡμέρα αὕτη ἡ ἄνομος γῆ καὶ σποδὸς (4) ἐπάταξε μητέρα ἐπὶ τέκνοις καὶ τοὺς ἱερεῖς σου καὶ πρόβατα νομῆς σου ἐξωλόθρευσεν καὶ κατὰ τοῦ μονογενοῦς σου υἱοῦ καὶ τοῦ κέρατος τοῦ ἁγιωτάτου θυσιαστηρίου καθωπλίσθη. Καὶ νῦν, δέσποτα θεὲ τῶν ἁπάντων, πιστεύων ἐν τῷ ὑβρισθέντι ὑπὸ τοῦ ἀνόμου σημείῳ τοῦ Χριστοῦ σου, παραλάτομαι αὐτῷ. Μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου (5), μή ποτε εἴπωσιν οἱ ἀγνοοῦντές σου τὸ ὄνομα· « Ποῦ ἐστιν ὁ θεὸς » αὐτῶν (6) » ; Εἰ δὲ τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἀνταίτησαι ταῖς ἐμαῖς προσευχαῖς, πάταξόν με σὺ, δέσποτα, καὶ μὴ παραδῷς τὴν κληρονομίαν σου εἰς χεῖρας ἀνόμων τῶν βλασφημούντων τὴν ἁγίαν Τριάδα· ἡμεῖς γὰρ (7) λαός σου καὶ πρόβατα νομῆς σου (8), καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν εἰς τοὺς αἰῶνας. Ἀμήν. »

(1) B, φωσφόρε. Conf. t. IV, p. 461, n. 6.

(2) Respectu ad Luc. XV, 4.

(3) B, τῆς ἀγνοίας.

(4) Est hic vel biblicus locus, vel imitatio saltem biblica.

(5) Psalm. CXVIII, 116.

(6) Cf. Psalm. CXIII, 10.

(7) A, ἡμεῖς δέ. B, ἡμ. γάρ. Sophocles Antig. 668 : Ἀναρχίας γὰρ μεῖζον οὐκ ἔστιν κακόν. Ex Stobæo tit. 43, 26, scripsit δέ, quod hic est aptius, Hermannus. Accedat nunc codicum quos vidi duorum, 2884, 2886, auctoritas.

(8) Cf. Psalm. XCIX, 3.

Καὶ οὕτως ἐκπορεύεται ἀπὸ τῆς βασιλευούσης, καὶ εὑρέθη μετὰ τριακοσίων δέκα χιλιάδων τῶν προσρυέντων αὐτῷ πεζῶν πολεμιστῶν.

Ἐν πόλει δὲ τῆς Αἰθιοπίας Σαβὶ (1) λεγομένη ὑπῆρχέν τις Ῥωμαῖος ἐκ. τόλεως Ἀϊλὰ (2), μοναχὸς ἀσκητὴς καὶ προγνώστης θεοφόρος, οὗ τὸ ὄνομα ἀββᾶ Ζωναῖνος (3), πρὸς ὃν ὁ βασιλεὺς σὺν ἄλλοις πέντε σχήματι παγανῷ πεζῶν (4) πορεύεται, ἐρωτῶν αὐτὸν διὰ τοῦ Θεοῦ. Ἦν δὲ οὗτος ἀπὸ τεσσαράκοντα ἐτῶν ἱσταμένος (5) ἐν πυργίῳ μὴ ἔχοντι μήτε θύραν μήτε θυρίδα, ἔχοντι ἔξωθεν σὺν τῇ οἰκοδομῇ πλάτος πήχεων δύο, ὕψος ἔξωθεν σὺν τῇ οἰκοδομῇ πήχεων πέντε· τρυμαλὶς (6) δὲ μικρὰ πρὸς τὰ θεμέλια τοῦ πύργου ὑπῆρχεν, δι' ἧς τις ἤκουεν τὰ λαλούμενα ὑπ' αὐτοῦ.

Καὶ προσφέρει αὐτῷ ὁ βασιλεὺς θυμιάματα συνθετὰ ἑπτὰ (7), ἔχοντα ἕκαστον ἔσωθεν ἀνὰ δηνάρια δέκα· καὶ λέγει αὐτῷ· « Εὐλόγησόν με, ἀββᾶ, καὶ εὖξαι τῷ Θεῷ κατευοδῶσαι τὴν ὁδὸν ἡμῶν καὶ συμπρᾶξαι ἡμῖν. » Ὁ δὲ δοῦλος τοῦ Θεοῦ ἀπεκρίθη· « Ἔσομαι σὺν σοὶ ὁ συμβασιλεύων σοι. Πλὴν ἄφελε τὸν δόλον, καὶ ἀφαιρεθήσεται (8) ἀπὸ σοῦ. » Λέγει ὁ βασιλεὺς τῷ γέροντι· « Καὶ τίς εἰμὶ, ἀββᾶ; » Λέγει αὐτῷ ὁ γέρων· « Μὴ προσθῇς τοῦ ἐπερωτᾶν με. » Τότε συνῆκεν ὁ βασιλεὺς, ὅτι διὰ τὸ χρυσίον εἶπεν ὁ γέρων. Καὶ λέγει

(1) Nomen non est in B. Videtur esse urbs Σαβαὶ Stephani Byzantini.

(2) B, αἰίλα. Cf. p. 44, n. 8.

(3) A, ζοναῖνος. B, ζώνινος.

(4) Forsan, πιζῶς. B, παγανῶ καὶ πιζῶ.

(5) Vide Sammart. Histor. Infimi Imperii, tom. VIII, p. 60, n. 3.

(6) B, πρυμαλία.

(7) A, συνθεπὰ, sic. — B, θυμιάματα σύνθετα μαζία ἑπτά.

(8) B, ἀφιθήσεται.

πάλιν ὁ γέρων· « Ἡ εὐχὴ τοῦ ἀρχιποίμενος Ἀλεξανδρείας, καὶ τὰ δάκρυα Ἰουσίνου, καὶ ἡ θυσία ἡ εὐωδεστάτη τῶν μαρτύρων ἀνέβη ἐπὶ τοῦ νοερροῦ θυσιαστηρίου. »

Καὶ εὐλογηθεὶς παρ' αὐτοῦ ὁ βασιλεὺς κατέβη εἰς Ἄδουλιν (1) τὴν πόλιν, κακεῖθεν εἰς Γαββαζάν. Καὶ κελεύει μόνον εἴκοσιν ἡμερῶν ἐπισιτισμὸν βαστάσαι πάντα τὸν στρατόν. Καὶ οὗτοι ἐνεβάλοντο εἰς τὰ πλοῖα (2).

Τότε, μεμαθηκὼς τὴν φθορὰν τῶν δεκαπέντε χιλιάδων, ὁ βασιλεὺς τῶν Ὁμηριτῶν ἔγνω τοῦ λοιποῦ μὴ δύνασθαι Αἰθίοπας διὰ γῆς ἐπελθεῖν αὐτῷ, καὶ ἀνθιμηχανᾶται καλὰ τῆς δικαιοχρισίας τοῦ Θεοῦ. Ἔστιν γὰρ ἐν τῇ θαλάσσῃ τῇ μεταξὺ Αἰθιόπων καὶ Ὁμηριτῶν στενὸς τόπος τῆς θαλάσσης (3) ἔχων πλάτος σταδίων δύο· ἔστιν δὲ ὁ τόπος εἰς φανερὸς τόπους κατάβραχος (4). Κελεύει οὖν πλῆθος σιδήρου ἀναριθμήτου συνάξαι καὶ ἅλυσιν ποιῆσαι. Ἔσχεν δὲ ὁ σταθμὸς ἑκάστου γναττίου ἀνὰ λιτρῶν τετρακισχιλίων ἑκατὸν ὀγδοήκοντα (5). Καὶ συζευγνύει ἀνὰ γναττία πεντήκοντα, καὶ παρεισφέρει (6) ξύλον ἐλαφρὸν ἀγριοφοινίκιον (7) μεταξὺ τῆς ἀρχῆς τῶν πεντήκοντα γναττίων. Καὶ οὕτως ἀπ' ἄκρου τῆς γῆς ἕως τοῦ ἑτέρου διέφραξεν τὴν θάλασσαν. Καὶ ὅπου μὲν βάθος ἦσαν μετὰ μολίβδου

(1) B, ἀδουλήν : mox γάβαζαν. Conf. p. 45, nn. 3, 4.

(2) B, καὶ οὕτως ἐνεβάλοντο τὰ ἑβδομήκοντα πλοῖα.

(3) A, τῇ θαλάσσῃ.

(4) B, ἔστι δὲ τὸ στενὸν εἰς πινας τόπους κατάβραχον.

(5) B, εἶχε δὲ ὁ σταθμὸς τοῦ ἑνὸς γναπίου λίτρας ἑκατὸν ὀγδοήκοντα.

(6) A, ὀγδοήκοντα καὶ παρεισφέρει.

(7) Ex hoc loco vocabulum ἀγελοφοινίκιος inseruit in Glossarium Cangius. B, ἀγελοφοινίκιον.

ἐπόντισεν (1) τοὺς πιαστῆρας καὶ κρίκους τῆς ἁλύσεως· ὅπου δὲ βάθη, ἐβάσταζον τὰ κορμία (2) τῶν ξύλων τὴν ἅλυσιν.

Καὶ μετὰ πλήθους ἀναριθμήτου παραγίνεται κατάφρακτος ὁ ἀλιτήριος εἰς τὸν τόπον ὃν ἔλεγεν (3) καταντῆσαι αὐτόθι τὸν τῶν Αἰθιόπων βασιλέα Ἐλεσβὰν, μὴ καθορῶν τὴν ἐπηρτημένην αὐτῷ παρὰ τοῦ δικαίου κριτοῦ ἐπὶ τῇ παραβάσει καὶ πάσῃ ἀσεβείᾳ ἣ ἐποίησεν ἔνδικον μισθαποδοσίαν, ὁ ἀνομήσας διακενῆς ὅπως γινώσκηται Κύριος κρίματα ποιῶν (4).

Ἀγνοούντων οὖν τῶν ἀπὸ τῶν πλοίων (5) ὅτι ἅλυσίς ἐστιν διὰ μέσου ἐμποδίζουσα, παραγίνονται ἐπὶ τῷ τόπῳ τῶν στενῶν. Καὶ ἄφνω τὸ πρῶτον πλοῖον περῶν, κατὰ κυβέρνησιν τοῦ ἀπολλύντος (6) τὰς βουλὰς

(1) B, ἐποίησεν.

(2) Vide p. 51, n. 3.

(3) B, εἰς τὸν ποταμὸν ὅπου ἔλ.— Sed digna est quæ describatur Symeonis Metaphrastæ narratio: Οὐ μὴν οὐδὲ ὁ τῶν Ὁμηριτῶν ἡμέλει βασιλεύς· ἀλλὰ καὶ αὐτὸς ὅσον οἰκεῖον καὶ ὅσον συμμαχικὸν συλλέξας, καὶ κατὰ γῆν ἐφρούρει καὶ κατὰ θάλασσαν. Ἐπεὶ δὲ τὴν κατὰ γῆν στρατιὰν τοῦ Ἐλεσβαὰν διεφθάρθαι ὑπὸ κακοπαθείας ἐπύθετο, μηκέτι πολέμιον ἐκ τῆς ἠπείρου δεδιὼς, περὶ μόνην τὴν τῆς θαλάσσης ἐγίνετο φυλακήν. Καὶ δὴ σκοπήσας ὅτι στενότατος ὁ μεταξὺ τῆς Αἰθιόπων καὶ Ὁμηριτῶν θαλάσσης τόπος, μὴ πλέον δύο σταδίους ἔχων τὸ εὖρος, ἄλλως τε καὶ ὑφάλων πετρῶν εὐπορῶν ἐν ἐνίοις τῶν τόπων, ἐκ σιδήρου βαρεῖαν κατασκευασάμενος ἅλυσιν καὶ οἵαν πνευμάτων βίας καὶ κῦμα θαλάσσης ἀγριαῖνον ὑπενεγκεῖν, δι' αὐτῆς ἐνέδει τὴν θάλασσαν. Καὶ, ἔνθα μὲν ὕφαλοι πέτραι, μόλυβδον τοῖς κρίκοις ἐγχέων, τὸν σίδηρον προσανέπαυεν· ἔνθα δὲ βύθιον, τοῖς ἐλαφροτάτοις τῶν ξύλων συνδέων, τὴν ἅλυσιν ὑπεκούφιζε. Καὶ βαρὺν στρατὸν ἐπαγόμενος, ἀφικνεῖται ὅπη προσδόκιμος ἦν ὁ τῶν Αἰθιόπων ἀφίξεσθαι βασιλεύς.

(4) Psalm. IX, 17.

(5) A, ἀπὸ τοῦ πλοίου.

(6) B, ἀπόλλοντος. Verbo ἀπέλλειν usus est Georgius Lapitha non uno loco, ex. c., v. 459: Ποιεῖς γὰρ τούτους χείρονας καὶ τὸ δοθὲν ἀπόλλεις. Ubi quod putavi reponi posse, non ἀπολλυς, male deperdito accentu, sed ἀπόλλυς, ipse jam non reponam. Sua sunt cuique relinquenda.

τῶν πανούργων μόνου δυνατοῦ Θεοῦ, κουφισθὲν ὑπὸ τοῦ ῥεύματος ὑπεράνω τῆς ἁλύσεως ἐπὶ ἑνὶ κέκλικεν (1), ὥστε νομίζειν τοὺς ἀπὸ τῶν ἄλλων πλοίων ὅτι εἰς βράχος κεκάθικεν (2). Ὁμοίως τὸ αὐτὸ πάσχουσι καὶ ἄλλα ἐννέα πλοῖα. Γίνεται οὖν ζάλη καὶ τρικυμία ἐν τῇ θαλάσσῃ, καὶ ἀγριοῦνται τὰ κύματα, καὶ κουφίζονται τὰ πλοῖα μετὰ τῶν κορμίων (3), καὶ ἐχάλων ἐπάνω τῆς ἁλύσεως. Καὶ, ὡς ἐγένετο δὶς καὶ τρὶς τοῦτο, ἐκόπη ἡ ἅλυσις· καὶ οὕτως ἐπέρασαν τὰ δέκα πλοῖα ἐπὶ τὸν Ὁμηρίτην ἀβλαβῶς. Τὰ δὲ ἄλλα ἑξήκοντα πλοῖα ἐν οἷς ἦν ὁ βασιλεὺς ἐκ τῆς ζάλης καὶ τῶν σφοδρῶν ἀνέμων ὑπέστρεψαν εἰς τὰ ὀπίσω ἐπὶ ἄλλους σταδίους δεκαπέντε (4). Τὰ δὲ δέκα πλοῖα, τῷ ῥοιζήματι (5) τοῦ ἀνέμου ὀρθὸν πλοῦν τελέσαντα, ἦλθον

(1) B, ἐπὶ ἑνὶ μέρει κέκλικεν.

(2) A B, κεκάθηκεν, permutatis η et ι. Sophocles Antig. 770: Κρύψω πετρώδει ζῶσαν ἐν κατώρυχι. Codex 2886, κατωρυχῇ. Præferenda vulgata, quum sit κατώρυξ locus ipse excavatus, κατωρυχὴ excavandi actio. Scholiastes Gregor. Naz. p. 54 Mont.: διώρυξ ἐστὶν αὐτὸς ὁ πορθμός· διωρυχὴ δὲ αὐτὸ τὸ διορύσσειν, ἵνα διώρυξ ᾖ πορθμός. Forsan, ἵνα διώρυξ ᾖ, πορθμὸς, vel, quod malim, διώρυξ ᾖ ἢ π. Alio modo locum tentavit Lobeck., videndus omnino ad Phrynich. p. 230. Et editam lectionem Sophoclis firmat v. 1088: Ἐλθὼν κορὴν μὲν ἐκ κατώρυχος στέγης Ἄνες.

(3) Hoc loco usus est Cangius Glossar. in Κορμὴ, imo κορμί: quum sit κορμὶ pro κορμίον. Sic sæpe fœminina nomina fecit Cangius quæ nulla sunt, pronunciatione deceptus malisque usus codicibus. Adde Coray. Atact. t. II, pag. 204, et supra p. 50, 2. Sunt hic κορμία arborum trunci. Nitidius Symeon Metaphr.: εἶτα θύελλά τις διεγερθεῖσα, καὶ διαταράξασα τὴν θάλασσαν καὶ κύματα διεγείρασα ὄρεσιν ὅμοια, τὰ προσδεδεμένα τῇ ἁλύσει ξύλα ὑπεκούφιζε καὶ δι' ἐκείνων τὰ πλοῖα, ὡς ἅπαντα μετεωρισθέντα προσκαθίσαι ἄνωθεν τῆς ἁλύσεως, τὴν δὲ, ὑπό τε τῆς τοῦ σφοδροῦ πνεύματος βίας, ὑπό τε τῶν προσαρασσομένων κυμάτων διακοπεῖσαν, ἀβλαβῆ τὴν πρὸς τὸν Ὁμηρίτην εἴσοδον αὐτοῖς παρασχεῖν.

(4) B, δεκαδύο.

(5) Cod. A, ῥυζήματι. Cod. B, ῥεύματι.

ἐν τόπῳ ἀπέχοντι τοῦ αἰγιαλοῦ, ἔνθα ἦν ὁ βασιλεὺς τῶν Ὁμηριτῶν, μίλια πεντεκαίδεκα (1).

Πέμπει οὖν εἰς ἀπάντησιν τούτων στρατηγοὺς μετὰ τριάκοντα χιλιάδων καταφράκτων σεσιδηρωμένων πάντων καβαλλαρίων.

Μετὰ δὲ τρεῖς ἡμέρας πάλιν ἄλλα τεσσαράκοντα πλοῖα ἐφάνησαν κατωτέρω οὗ ἦν (2) ὁ βασιλεὺς, μονὰς τρεῖς· τὰ δὲ ἄλλα εἴκοσι πλοῖα, ἔνθα ἦν ὁ τῶν Αἰθιόπων βασιλεὺς, ὥρμησαν ἐν ᾧ ὁ βασιλεὺς τῶν Ὁμηριτῶν ὑπῆρχεν τόπῳ.

Καὶ νομίσας ὁ Ὁμηρίτης ὅτι ἐν τοῖς τεσσαράκοντα πλοίοις ἔστιν ὁ βασιλεὺς Ἐλεσβὰς, τὸ πολὺ μέρος τοῦ μετ' αὐτοῦ λαοῦ λαβὼν, ἀπῆλθεν ἐν τῷ τόπῳ ὅπου ὥρμησαν τὰ τεσσαράκοντα πλοῖα.

Ἐξέλιπεν δὲ τὰ σιτία καὶ τὸ ὕδωρ ἀπὸ τῶν πλοίων· ἐκαίοντο καὶ οἱ κατάφρακτοι τῶν Ὁμηριτῶν ἐκ τοῦ καύματος τοῦ ἡλίου, ἱστάμενοι ἀπὸ πρωῒ ἕως ἑσπέρας ἄχρι γονάτων τῶν ἵππων παρὰ τὸ χεῖλος (3) τῆς θαλάσσης. Πάλιν οὖν εὑρίσκει μηχανᾶσθαι ὁ υἱὸς τοῦ Διαβόλου· καὶ καλύβας μεγάλας ἐκέλευσε γενέσθαι καὶ βαστάζεσθαι ὑπὸ καμήλων. Ὑψοῦτο οὖν ἡ σκηνὴ ἐπὶ κοντῶν ἐπάνω τεσσάρων καμήλων, ἐπὶ ἄλλων πηχῶν πέντε (4). Καὶ εὑρίσκοντο ἐκ πλαγίου καὶ ὕψους

(1) Symeon Met. : προσέσχε τῷ αἰγιαλῷ διακοσίους ἀπέχοντι σταδίους, οὗ ἦν μετὰ τῶν στρατευμάτων ὁ βασιλεύς.

(2) A, οὐκ ἦν. « Inferius loco quem Homeritarum rex occupabat. »

(3) A, χίλος. B, ἐν τῷ χείλει. Mox οὖν accessit ex B.

(4) B, βαστάζεσθαι ὑπὸ καμήλων· ἐπὶ ἄλλους πήχεις πέντε : mediis omissis. Symeon Metaphr. : τοῖς μὲν οὖν ἔξω σκηνὰς διαμηχανησάμενος ὁ Δουναὰν μεγάλας, καὶ τέσσαρσι καμήλοις ἀλλήλαις συνεζευγμέναις ἑκάστην τῶν σκηνῶν ἄνωθεν κοντοῖς φερομένην προσδήσας, ὡς δοκεῖν τὰ ὄρη κινεῖσθαί τισι μηχαναῖς καὶ

κεκαλυμμένοι. Ταῦτα πεποιήκασιν εἰς τοὺς τρεῖς δρόγγους (1) ἔνθα διεμερίσθησαν τὰ πλοῖα.

Ἐκ τῆς ἀθυμίας οὖν τῆς πείνης καὶ τοῦ καύσωνος ἐδειλίων οἱ ἐν τοῖς πλοίοις· καὶ ἐνόμιζον, βλέποντες τὰς σκηνὰς μακρόθεν περιπαλύσας, καὶ ὑφὲν (2) ἔλεγεν γενταία τινὶ τὰ ὄρη σαλεύεσθαι καὶ πάσας τὰς νάπας περιπατεῖν, ὡς φοβεῖσθαι αὐτοὺς καταλθεῖν, μή πως μεταξὺ αὐτῶν καταποντισθῶσιν.

Ἀλλ' ὅμως οὐδὲ ἐν τούτῳ ἐξέφυγεν ὁ ἀντικείμενος. Ἕνα γὰρ τῶν συγγενῶν αὐλοῦ πέμψας μετὰ εἴκοσι χιλιάδων καβαλλαρίων πρὸς τὸ σκυλκεῦσαι (3) τὸ μέρος ὅπου ἦν ὁ βασιλεὺς τῶν Αἰθιόπων. Ἀγνοῶν δὲ εὐνοῦχός τις τοῦ βασιλέως τῶν Ὁμηριτῶν, καὶ νομίζων ὅτι πρὸς γυμνασίαν ἐξελεύσεται ὁ συγγενὴς τοῦ βασιλέως, λαβὼν πέντε κόντους χρυσοῦς διαλίθους εἰς σκευοθηκάριον (4) κρεμάμενον ἐν τῷ αὐτοῦ τραχήλῳ, ἠκολούθει τοῖς σκουλκεύουσι. Καὶ ἐλθόντες εἰς τὸν τόπον εὗρον τὸν σλεατηγὸν (5) ἐν πάσῃ παραφυλακῇ καὶ γρηγορήσει.

φέρεσθαι κατὰ τῶν πλοίων, τῇ σωᾷ τὸ λυπεῖν τοῦ καύματος ἀπεκρούετο.

(1) Δρόγγος, aliis δρουγγος, est turma, caterva militum. B, παῦτα ἐποίησαν ἐν τοῖς πρισὶ συσήμασιν, ἔνθα διεμερίσθησαν ἐν τοῖς πλοίοις.

(2) A, οἰφ' ἑν. B, ὑφ' ἑν.

(3) Hoc loco usus est Cangius Glossar. in Σκοῦλκαι, *excubiæ*, omisso articulo ante συγγενῶν. A, πὸν, quod in τῶν mutavi. Mox idem verbum scriptum est in A sine σ, τοῖς κολκεύουσι, quod et inde sumsit Cangius ibid. Ni et aliunde κουλκεύειν fuisset notum, facile quis crediderit esse τοῖς σκουλκεύουσι unice scribendum; quod ex B recepi constantiæ causa. Ceterum vacillat loci syntaxis.

(4) Hinc recepit id nomen Cangius, scripsitque πεπκόπους, de more non satis diligens. Symeon Metaphr.: καί τις τῶν εὐνούχων τοῦ βασιλέως, ὑπολαβὼν τοῦτον ἐξέρχεσθαι εἰς γυμνάσιον, δορκάδα πέντε χρύσια λαβών, συνεξῆλθεν αὐτῷ.

(5) Ducem scilicet Æthiopum. Symeon: ὡς δὲ εὗρεν ἐπαγρυπνοῦντας τοὺς περὶ Ἐλεσβαάν.

Καὶ διασκέπτονται ὅ τε συγγενὴς τοῦ βασιλέως καὶ ὁ εὐνοῦχος μόνοι μετὰ τριῶν παιδῶν πορρωτέρω πορεύεσθαι τοῦ (1) θηρεῦσαι ἄγραν. Παῖδες δὲ τοῦ βασιλέως τῶν Αἰθιόπων, ἐκλείποντες ἀπὸ πείνης καὶ δίψης, σχεδίαν κλέψαντες, ἐξίεσαν ἐπὶ τὴν γῆν. Καὶ εὑρίσκουσιν ἐν τῷ αἰγιαλῷ ὑπὸ κόλπον ὀρεινὸν αἰφνίδιον τὸν συγγενῆ (2) τοῦ βασιλέως καὶ τὸν εὐνοῦχον καὶ τοὺς ἄλλους τρεῖς, καὶ ἐπέβησαν αὐτοῖς. Καὶ τὸν μὲν εὐνοῦχον καὶ τοὺς ἄλλους ἀνεῖλον, τὸν δὲ συγγενῆ τοῦ βασιλέως ὑπέστρεψαν ἔχοντες εἰς τὰ πλοῖα. Ὁ δὲ βασιλεὺς Ἐλεσβὰν ἀνέθετο τοὺς πέντε κόντους (3) τοὺς χρυσοῦς τῷ Θεῷ.

Καὶ οὕτως κατῆλθον καὶ οἱ (4) σὺν αὐτῷ ἀπὸ τῶν πλοίων εἰς τὰ καράβια (5). Καὶ ὁ μὲν ἀρχηγὸς τῶν Ὁμηριτῶν καὶ τὸ πλῆθος τῶν μετ' αὐτοῦ ἕως τῶν γονάτων τῶν ἵππων ἵσταντο εἰς τὸ ὕδωρ· οἱ δὲ Αἰθίοπες καὶ ὁ βασιλεὺς αὐτῶν ἀπέβησαν ἀπὸ τῶν καραβίων καὶ ἕως τραχήλου ὄντες ἐν τῇ θαλάσσῃ περιεπάτουν. Καὶ, συγκρουσμοῦ μεγάλου γενομένου, ἡττήθησαν

(1) Ex B τοῦ. Articulus non videbatur negligendus: cf. p. 55, 2. Lucianus D. Mar. x, 1: τὴν νῆσον τὴν πλανωμένην, ὦ Πόσειδον, ἀποσπασθεῖσαν τῆς Σικελίας, ὕφαλον ἐπινήχεσθαι συμβέβηκε. Codex 1310, τὴν ἀποσπ., quod placet. Libanius, t. IV, p. 37: ὡς οὖν πολλοὶ πολλαχόθεν οἱ κράτιστοι συνῆλθον μνηστεύοντες, ἔδοξεν, ἀδήλου τοῦ μέλλοντος ὄντος, πίστιν ποιήσασθαι καὶ ὅρκους ἰσχυροὺς, ἦ μὴν ἀποτυγχάνοντας βοηθήσειν τῷ ληψομένῳ κατὰ τῶν ἀδικούντων. Optime codex 3017, τοὺς ἀποτυγχ., qui et habet ἔτι ἀδήλου, idque bene. Epistolæ Socrat. 5: ὧν ἀμφοτέρων οἰκεῖα ἔχεις παραδείγματα. Bene codex 3054, τὰ παραδ., quod aliunde cognitum Schæferus probabat.

(2) B, συγγενέα: et sic infra.

(3) A B, κόνδους. Mendum ex pronunciatione ortum: cf. t. IV, p. 479, add. ad p. 406.

(4) B, καὶ μετὰ ταῦτα κατῆλθεν ὁ βασιλεὺς καὶ οἱ.

(5) Herodianus Epim. p. 116: πλοῖον, τὸ καράβιον. Cf. Cangii Glossar.; Reisk. ad Constant. De ceremon. p. 274 A. Symeon

πάντες οἱ παράνομοι, καὶ ἐν φόνῳ μαχαίρας ἔπεσον, καὶ εἷς ἐξ αὐτῶν οὐ διεσώθη τοῦ πορευθῆναι καὶ ἀναγγεῖλαι τῷ βασιλεῖ τῶν Ὁμηριτῶν ὄντι κατέναντι τῶν ἄλλων τεσσαράκοντα πλοίων.

Τότε ἔχων ὁ βασιλεὺς Ἐλεσβὰν τὸν συγγενῆ τοῦ Ὁμηρίτου δεδεμένον καὶ ὁδηγοῦντα αὐτὸν, ἀπῆλθεν ἐπὶ τὴν βασιλεύουσαν πόλιν Ταφὰρ (1), καὶ παρέλαβεν αὐτὴν καὶ τὰς βασιλίσσας, καὶ τὴν δύναμιν τῶν χρημάτων.

Ἐφθάρησαν δὲ ἀπὸ πείνης καὶ δίψης ἐκ τῶν τεσσαράκοντα πλοίων πεντακόσια ὀνόματα (2), καὶ ἐρρίφησαν εἰς τὴν θάλασσαν. Καὶ συσχεθέμενοι οἱ λοιποὶ Αἰθίοπες εἶπον· « Ἐν Αἰθιοπίᾳ ὑποστρέψαι οὐ δυνάμεθα· ὧδε λιμώττομεν (3)· κάτω θάνατος· τί γέγονεν τῷ βασιλεῖ (4) ἡμῶν ἀγνοοῦμεν. Μή πως ἐκ βερέδους (5) συμβῇ φθαρέντας, καὶ ῥιφέντας πάντας ἡμᾶς εἰς τὴν θάλασσαν, κατάγελος (6) ποιήσωμεν τὰ χριστιανῶν ἑβραίοις· ἀλλὰ μᾶλλον ἐπικαλεσώμεθα κύριον τὸν Θεὸν τὸν δυνατὸν ἐν πολέμῳ. »

Καὶ συναγαγόντες πάντα τὰ πλοῖα, λύσαντες τὰ

Metaphr.: αὐτὸς δὲ τὴν σφαγὴν ἀπλισμένην ἐν ταῖς βεχυτίοις τῶν πλοίων ἐμβαλών, ἐξῆλθε. Infra p. 56, utetur nomine κάεφβος.

(1) Symeon Met.: ἔχων δὲ τὸν τῆς βασιλέως συγγενῆ δεικνύοντα τὴν πρὸς Ταφαρὴ τὴν πόλιν ὁδὸν, ἔνθα ἦν τὰ βασίλεια, ἔπεσι. Est hodiernum urbi nomen *Dhafar*: vide Sammart. ad Hist. Inf. Imper. t. VIII, p. 61, n. 1.

(2) Sunt ὀνόματα *homines*. Quem sensum illustravit Raphel. ad Act. Apost. I, 15; ubi ὄχλος ὀνομάτων. Adde Cangium Gloss. Ammonius monachus de monachis Sinaïtis p. 93: πύεσμαι δὲ ἀποθανόντας τριακονταοκτὼ ὀνόματα. Combefisius, non satis latine: « invenimus occisorum nomina » ad triginta et octo. »

(3) B, ἐνταῦθα λιμώττομεν.

(4) B, καὶ θάνατος γέγονε τῷ β., et alia quæ negligo.

(5) B, ἐκ βερεδυπῆτος....

(6) B, καταγέλωτα.

καταρτίδια (1) καὶ τὰς κεραταίας καὶ τοὺς αὐχένας, καὶ τὰ εὐμήκη λοιπὰ ξύλα, διεστοίβασαν δήσαντες σχοινίοις ὑπεράνω πάντων τῶν πλοίων, ὡς νομίζειν ἐν θαλάσσῃ βλέπειν πόλιν μίαν· καὶ οὐ διεσαλεύετο πλοῖον τοῦ ἑτέρου. Τὰ δὲ καράβια ἐπισυνάξαντες, ἔδησαν κάραβον καράβῳ εἰς εὖρος τῶν πλοίων. Καὶ ποιήσαντες ὑποσκίους ἐμβόλους δύο δι' ἁρμένων ἄνωθεν τῶν πλοίων, καὶ συναχθέντες πάντες ἐπὶ τῇ ἡτοιμασμένῃ τῶν πλοίων πλατείᾳ, ἐκέκραγον πρὸς τὸν Θεὸν, θυσίας πνευματικὰς ἐπιτελοῦντες. Καὶ μεταλαβόντες τῶν θείων μυστηρίων, κατῆλθον ὁμοθυμαδὸν ἔνοπλοι εἰς τὰ καράβια. Καὶ ἔστησαν ἑαυτοὺς ἐκ πλαγίου ἑκάστου τῶν καραβίων, ὡς ὑποκλίνειν ἕκαστον (2) τὸ ἕτερον ἑαυτοῦ μέρος, καὶ τειχίζειν αὐτοὺς (3) πρὸς τὸ μὴ βλαβῆναι ὑπὸ τῶν βελῶν τῶν πολεμίων. Δεδεμένα οὖν τὰ καράβια ἀλλήλοις καὶ τετειχισμένα ὠθοῦντο ὑπὸ τῶν ναυτῶν καὶ ὑπὸ τῶν συνελθόντων μοναχῶν ἄχρις οὗ ἐκάθισαν αἱ πλευραὶ αὐτῶν ἐπὶ τὴν γῆν. Καὶ τεῖχος τῶν καράβων ἦν ἀνάμεσον τῶν Αἰθιόπων καὶ τῶν Ὁμηριτῶν (4).

(1) Hinc receptum καταρτίδιον in Cangii Glossarium. Mali sunt navium. B, καὶ συναγαγόντες πάντα τὰ πλοῖα, καὶ δήσαντες πλοῖον πρὸς πλοῖον, λύσαντες καὶ τοὺς ἱστοὺς καὶ τὰ κεραταίαι καὶ τοὺς αὐχένας.

(2) B, ἕκαστον καράβιον. A sine ἑαυτοῦ.

(3) A, αὐτόν. B, αὐτούς.

(4) Id quo fuerit modo à Symeone Metaphr. narratum audire est operæ pretium : Οἱ μέντοι Αἰθίοπες, οἱ ἐν τοῖς πλείοσι πλοίοις, μηδὲν περὶ Ἐλεσβαὰν τοῦ αὐτῶν βασιλέως ἢ τῶν ὑπ' αὐτοῦ πεπραγμένων πεπυσμένοι, σπάνει τε τῶν ἀναγκαίων διαφθειρόμενοι, καὶ ἐν ἀπόρῳ ὄντες, ἀπογνόντες, ἐτράποντο πρὸς ἱκετείαν τοῦ θείου. Καὶ τὰ μεγάλα τῶν πλοίων ἐνδήσαντες κυκλόθεν πρὸς ἑαυτὰ, ἄνωθέν τε τὰ εὐμήκη ξύλα καὶ ἱστία προσεπιδήσαντες, καὶ ὥσπερ τινὰ πόλιν ἐν τῇ θαλάσσῃ διαμηχανησάμενοι, ἐν δὲ ταῖς πλαγίαις ἔξωθεν τὰ βραχύτερα τῶν πλοίων προτείχιόν τι μιμούμενα παραζεύξαντες,

Πρὸ δὲ μιᾶς ἡμέρας ἔγνω ὁ Ὁμηρίτης ὅτι παρελήφθη Ταφὰρ ἡ βασιλεύουσα πόλις, καὶ φοβηθεὶς ἵνα μὴ προσρυῶσι τινὲς τῶν ἑπτὰ συγγενῶν αὐτοῦ τῷ βασιλεῖ Ἐλεσβᾷ, ἐποίησεν ἅλυσιν σιδηρᾶν (1) καὶ ἑαυτὸν καὶ αὐτοὺς συνέδησεν. Ἐκάθητο δὲ ἐν τῇ λαμπίνῃ (2) αὐτοῦ ἐπὶ κλίνην χρυσῆν, καὶ οἱ ἑπτὰ συνδέται αὐτοῦ ἐπὶ ἑπτὰ σέλλας χρυσᾶς.

Καὶ οἱ πολεμοῦντες τοῖς κόντοις (3) καὶ τοῖς δόρασιν ἔκλανον (4) τὰς πλευρὰς τῶν τετειχισμένων καράβων. Καὶ οἱ Αἰθίοπες στενωθέντες ἔκλαυσαν πρὸς τὸν Θεόν. Καὶ ἄφνω γίνεται οὐρανόθεν ἦχος φωνῆς λαμπρᾶς λεγούσης· « Γαβριὴλ, Γαβριὴλ, Γαβριήλ. » Οὕτως ἐξελθὼν εἷς τῶν κολυμβώντων (5) καὶ ὠθούντων, ἔχων ῥάβδον σιδηρᾶν, ἄνωθεν ἔχουσαν τὸ σημεῖον τοῦ σταυροῦ, κάτωθεν δὲ λόγχην, διακύψας μεταξὺ δύο καβαλλαρίων (6), καὶ ἐπιλαβόμενος μιᾶς οὐρᾶς ἵππου, ἔπηξεν τὴν λόγχην ἐν τῇ πλευρᾷ αὐτοῦ. Ὁ δὲ, διαλακτίσας, κατέῤῥηξεν τὸν ἐπιβάτην, ὡς φοβηθῆναι τοὺς Ὁμηρίτας πάντας καὶ φυγεῖν ἐπὶ τὴν ξηράν. Οὕτως ἐκπηδήσαντες οἱ Αἰθίοπες, πάντας τοὺς πολεμίους ἀνεῖλον, καὶ συλλαμβάνονται τὸν βασιλέα

ἀθρόοι γενόμενοι, μετὰ δακρύων ἱκετηρίαν πρὸς Θεὸν ἐποιοῦντο μακράν· καὶ τῶν θείων ἀπογευσάμενοι μυστηρίων, καὶ ὁπλισάμενοι κατέβαινον ἐπὶ τὰ βραχύτερα πλοῖα, καὶ στάντες ἐκ πλαγίου τῷ μὴ βλάβην τινὰ ὑπὸ τῶν βελῶν ὑπομένειν τῶν πολεμίων, ὤθουν αὐτὰ πρὸς τὴν γῆν αὐτοί τε καὶ ἅπαν τὸ ναυτικόν. Τὰ δὲ τοῖς μεγάλοις συνδεδεμένα καὶ αὐτὰ συνεφεῖλκον, ἄχρις ἂν αἱ πλευραὶ αὐτῶν ἐποκείλασαι προσήρεισαν τῇ γῇ, ὡς γενέσθαι τεῖχος αὐτοῖς τε καὶ τοῖς Ὁμηρίταις τὰ πλοῖα.

(1) Auream fuisse catenam tradit Metaphrastes.

(2) B, λαπίνῃ. Hoc loco usus est Cangius in Λαμπήνη. Currus est superne tectus.

(3) A, κοντοῖς: cf. pp. 52, 53.

(4) Frangebant.

(5) B, εἶθ' οὕτως ἐξελθὼν μοναχός τις τῶν κολ...

(6) A, δύο καραβίων.

δεδεμένον μετὰ τῶν ἑπτὰ συγγενῶν αὐτοῦ. Καὶ γέγονε σωτηρία μεγάλη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶσι τοῖς χριστιανοῖς οὐρανόθεν βοῶσα φωνή· «Γαβριὴλ, Γαβριὴλ, Γαβριήλ.»

Ταῦτα ἐμηνύθη τῷ βασιλεῖ Ἐλεσβὰν, ὃς παραγενόμενος καὶ λαβὼν ἰδίαις χερσὶν ἀνεῖλεν παράνομον βασιλέα καὶ τοὺς ἑπτὰ συγγενεῖς αὐτοῦ, κράζων καὶ λέγων· «Ἀναστήτω (1) ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ.» Καὶ ἐπὶ τῷ τόπῳ ἔστησεν θυσιαστήριον καὶ ἔσπεισεν τὸ αἷμα αὐτῶν τῷ Χριστῷ (2). Καὶ παραγενόμενος εἰς τὴν βασιλεύουσαν πόλιν θανάτῳ καὶ (3) ἀναθεματισμῷ παρέδωκεν τοὺς ἀπὸ τοῦ παλατίου. Τινὲς δὲ τῶν ἀρχόντων φυγόντες ὑπέστρεψαν (4) καὶ γεγόνασι χριστιανοί.

(1) Conf. Psalm. LXVII, 1.

(2) A, εὔπεισεν. B, καὶ ἐπὶ τῷ τόπῳ ἐκείνῳ στήσας θυσιαστήριον, ηὔξατο τῷ θεῷ. Symeon Metaphr.: ὁ δὲ, φρουρὰν ἐν τῇ πόλει καταλιπὼν, ἀπῄει μετὰ σπουδῆς· καὶ τὸν Δουναὰν ἀνευρὼν, ἀνεῖλεν αὐτόν τε καὶ τοὺς συγγενεῖς, ἐπιθειάζων καὶ ἐφηδόμενος ἐπὶ τοῖς ἐχθροῖς τοῦ Χριστοῦ δίκην διδοῦσι τῶν τετολμημένων· μηδὲ γάρ τι ἄλλο κάλλιστον εἶναι θεαμάτων καὶ ἥδιστον ἀνδρὶ χρηστῷ καὶ δικαίῳ κολαζομένους ἰδεῖν πονηρούς· ὧν καὶ τὸ αἷμα ἔσπεισε τῷ θεῷ.

(3) Accessit καὶ ex B. Chion Epist. 3, 14: μάλιστα γὰρ δὴ μετασχὼν τῶν Σωκράτους λόγων ἀρκεῖ στρατεύματα καὶ πόλεις σώζειν. Codex regius 3054 et Mazarineus A 87, καὶ στρατ. non sine vi quadam. Julianus Epist. 35, p. 57: ἀλλὰ δὴ τὰ τοιαῦτα.... Codex 2964: ἀλλὰ δὴ καὶ τὰ τ. Estque copula et in Spanhemiana. Julianus rursus Misop. p. 343: εἰ δὲ καὶ τοῦτό τις ἔργον θοῖτο σωφροσύνης, ἀπέχεσθαι πάσης ἡδονῆς, οὐ λίαν ἀπρεποῦς οὐδ' ἐπονειδίστου δοκούσης. Videtur sententia postulare καὶ οὐ λίαν ἀπρεποῦς. Varietas θεῖτο codicis 2964 non erit præferenda.

(4) A, ἐπέστρεψαν. B, φανεροὶ δὲ τῶν ἀρχ. ὑπέστρ. Præpositiones ὑπὸ ἐπὶ nonnunquam sunt permutatæ. Nicephorus Basilacas Narratione de Achille, in Allatii Excerptis p. 138: Ὀδυσσεὺς, καὶ πρὶν ἥκειν εἰς Τροίαν, τοῖς Ἕλλησι τὸ σοφὸν ὑπεδείξατο. Cod. 2720, qui Nicolao Sophistæ nomen, non Basilacæ, exhibet, ἐπεδείξατο, melius. Alcinous c. 32: αὕτη δὲ (ἡ φιλία) ἐφίσταται, ὅταν ἐπίσης ἐκά-

Τότε ἰδιάις χερσὶ σκάψας (1) ὁ βασιλεὺς ἐν τῷ παλατίῳ ἐπὶ ἡμέρας ἑπτὰ ἐποίησεν τὴν οὖσαν νῦν ἁγιωτάτην ἐκκλησίαν.

Ἐμήνυσεν δὲ (2) ταῦτα παραχρῆμα τῷ ἁγιωτάτῳ πατριάρχῃ Ἀλεξανδρείας, καὶ δι' αὐτοῦ τῷ εὐσεβεστάτῳ βασιλεῖ Ἰουστίνῳ.

Ὁ δὲ ἀρχιεπίσκοπος χειροτονήσας ὅσιον καὶ ὀρθόδοξον ἐπίσκοπον, ἔπεμψεν ἐν τῷ Ὁμηρίτῃ πρὸς (3) Ἐλεσβὰν τὸν βασιλέα. Καὶ ἁγιάζει τὸν ναὸν ὃν ἔκτισεν ὁ βασιλεὺς, καὶ βαπτίζει πάντας τοὺς ἐν ταῖς πόλεσι καὶ τῇ περιχώρῳ εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, καταστήσας ἑκάστῳ (4) τόπῳ πρεσβυτέρους καὶ διακόνους καὶ λοιποὺς ὑπηρέτας ἐκκλησιῶν.

Καὶ οὕτως παραλαβὼν ὁ βασιλεὺς τὸν σταλέντα (5) ὅσιον ἐπίσκοπον, παρεγένετο καὶ εἰς Νεγρὰν τὴν πόλιν τῶν ἁγίων μαρτύρων (6), καὶ κτίζει αὐτὴν καὶ τὴν ἁγιωτάτην ἐκκλησίαν. Καὶ ποιεῖ τὸν υἱὸν τοῦ ἁγίου Ἀρέθα ἡγέμονα τῶν ἐκεῖσε καὶ ἐθνάρχην. Καὶ δωρεῖται

τερος βούληται τὸν πλησίον καὶ ἑαυτὸν εὖ πράττειν. Codex 1962, ὑφίσταται, aptius, scilicet *existit*.

(1) A, σκεψάμενος.

(2) A, ἐμήνυσεν τε.

(3) B, πρὸς τοὺς ὁμηρίτας καὶ πρός. — Episcopus ille Gregentius fuit, cujus exstat Disputatio cum Herbano judæo, pars majoris operis quo Homeritarum ad christianismum conversio totumque illud bellum fuse narratum fuisse videtur. Cujus historiæ ineditum fragmentum, quo leges a christiano Homeritarum rege latæ recensentur, post Acta martyrii S. Arethæ infra describam.

(4) B, ἐν ἑκάστῳ.

(5) B, ἀποσταλέντα. Sæpe præpositione librarii vocabula truncaverunt. Socrates in Epist. Socrat. 6, p. 12: οὐδὲν ἔχω πρέπον ἀντάλλαγμα φιλοσοφίας ἄλλο, πλὴν φιλίαν. Codex 3054, ἀντικατάλλαγμα, quam optimam varietatem, sibi aliunde notam, qui præferebat Orellius, cur in textum non recepit?

(6) Cf. p. 5, n. 5.

ἀπὸ τῶν βασιλικῶν τῇ ἁγίᾳ ἐκκλησίᾳ κτήματα πέντε, καὶ, κατὰ τὴν ἐντολὴν τοῦ ἁγίου Ἀρέθα, ἐκ τῆς ὑπάρξεως αὐτοῦ κτήματα τρία (1). Καὶ τὸν τόπον ὅπου ἦσαν τὰ σώματα τῶν ἁγίων μαρτύρων κλέντα καὶ ῥιφέντα ἐποίησεν σεβάσμιον τόπον καὶ ἅγιον.

Καὶ οὕτω μετὰ πολλῆς χαρᾶς καὶ εὐφροσύνης ὑποστρέψας ἐν τῇ βασιλευούσῃ πόλει τῶν Ὁμηρητῶν, πρεσβάλλεται τοῖς ἐκεῖσε βασιλέα Ἀβραάμιόν τινα (2) συνετὸν, θεόφοβον καὶ χριστιανικώτατον. Καὶ παρέδωκεν αὐτῷ καὶ τῷ ὁσίῳ ἐπισκόπῳ δέκα χιλιάδας Αἰθιόπων (3) χριστιανῶν. Καὶ ὑπέστρεψεν μετὰ πλήθους λαφύρων ἐν τῇ ἰδίᾳ βασιλείᾳ.

Ἄξιον μὲν οὖν τῆς εὐχαριστίας τῷ Θεῷ εἶπεν Ἐλεσβὰς ὁ βασιλεὺς μὴ δύνασθαι ἀνταποδοῦναι· ἀλλὰ τοῦτο μόνον συνεῖδεν, ἀποθέσθαι τὴν βασιλείαν καὶ τὸ σχῆμα τῶν μονήρων βίου ἐνδύσασθαι. Καὶ πορευθεὶς ὑπὸ νύκτα (4) μοναχὸς, ἀνῆλθεν εἰς ὀρεινὸν ὑψηλὸν, ἐν ᾧ ἔστιν μοναστήριον ἀγωνιστῶν ἀνδρῶν, καὶ, εἰσελθὼν εἰς κελλίον, ἀπέκλεισεν ἑαυτὸν, δοὺς συνταγὰς ὅτι ζῶν οὐκ ἐξελεύσεται ἀπ' αὐτοῦ, ἀλλ' ἐν αὐτῷ καρτερήσας (5) ἄχρις ἡμέρας θανάτου αὐτοῦ. Οὐδὲν

(1) Conf. p. 28, 23.

(2) B, προσβάλλεται δὲ τοῖς ἐκεῖσε βασιλέα πατὰ Ἀβραὰμ καλούμενον. Symeoni Met. Ἀβραάμιος dicitur; Procopio Ἐσμαφαῖος. Videatur omnino Sammart. ad Histor. Inf. Imp. t. VIII, p. 63, n. 1.

(3) Accessit Αἰθιόπων ex codice B. Symeon Metaphr.: τῷ πανοσιωτάτῳ ἐπισκόπῳ παραδοὺς χριστιανῶν Αἰθιόπων περὶ που μυρίους.

(4) A, ὑπὸ νύκταν, superscripto ν. Etsi accusativus νύκταν non dedeceat tale opusculum, quum dubitarem, abstinui. Vide not. ad Nicetam Eugen. p. 339; Notit. Mss. t. XI, II, p. 197.

(5) Forsan διάξει excidit; vel καρπήσει legendum. B non potest nunc legi.

δὲ περαιτέρω ὑπῆρχεν ἐν τῷ κελλίῳ αὐτοῦ, εἰ μὴ ψίαθος καὶ βαυκάλλιον (1) ὕδατος, καὶ σπυρίδιον, καὶ ἅπερ ἐνεδύετο μοναχικὰ περιβόλαια. Ἡ δὲ τροφὴ αὐτοῦ ἦν ξηρὰ παξαμάτια (2) ἡμερούσια (3) τρία, οἴνου καὶ ἐλαίου χωρὶς καὶ παντοίας ὀπώρας. Εἰ δέ ποτε αὐτῷ ἤνεγκέν τις λάχανα χλωρὰ, ταῦτα ἤσθιεν ὠμά. Οὐδεὶς δὲ λαϊκῶν τὸν πάντα χρόνον τῆς ζωῆς αὐτοῦ ἐτόλμησε λαλῆσαι αὐτῷ ἢ ἰδεῖν αὐτόν.

Τὸ δὲ βασίλειον ὅπερ λέγεται στέμμα, τὸ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἐκ χρυσίου καὶ λίθων τιμίων, ἀνέθηκεν τῷ Χριστῷ, πέμψας εἰς τὰ Ἱεροσόλυμα, αἰτησάμενος διὰ γραμμάτων Ἰωάννην τὸν ἁγιώτατον

(1) Nobis *bocal.* Melior est Symeonis Met. oratio: μηδὲν τῶν τοῦ κόσμου κτησάμενος, ἢ μόνην ψίαθον, καὶ κωθώνιον εἰς μετάληψιν ὕδατος. Locum excitavit Cangius Gloss. in Βαυκαλία, et scripsit male παρ' ἑτέρῳ, quum sit in codice παιρ' ἑτέρω, quod, usus nota vocalium αι et ε permutatione, in περαιτέρω aptissime mutavi. Ex B nihil præsidii. Habet Cangius et καυκάλλιον, an calami lapsu nescio. Certe et καυκάλιον invenitur. In Apophthegmatis Patrum apud Cotel. Monum. t. I, p. 470, § 7, καυκάλιον τοῦ νεροῦ et βαυκάλιον synonymice usurpata sunt; esse tamen discriminis aliquid doceor ab Corayo Atact. t. I, p. 246. Elegans est sententia abbatis Pœmenis Cotel. ibid. p. 636, § 183: ἡ φύσις τοῦ ὕδατος ἀπαλή ἐστιν, ἡ δὲ λίθου σκληρά· τὸ δὲ βαυκάλιον, ἐπάνω κρεμάμενον τοῦ λίθου, στάζον στάζον πτρᾷ τὸν λίθον· οὕτως καὶ ὁ λόγος τοῦ Θεοῦ ἁπαλός ἐστιν, ἡ δὲ καρδία ἡμῶν σκληρά..... Dialecto sua barbarescente adagium expressit optimus abbas, sic olim a Chœrilo redditum: Πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείῃ· ad quem vide Nækium p. 169. Ipse multa congessi ad Aristænetea I, Ep. 17, p. 474: ῥανὶς γὰρ ὕδατος ἐνδελεχῶς ἐπιστάζουσα καὶ πέτραν οἶδε κοιλαίνειν. Gregorius Presbyter Vita Gregorii Naz. p. 19: ἀεὶ οὖν τῷ δήμῳ προσκαθεζομένων τῶν φοιτητῶν Ἀπολιναρίου καὶ ταῦτα (fors. ταυτά) τοῦ ὁσίου κατηγορούντων, ἴσχυσεν ἡ ἐπήρεια· ῥανὶς γὰρ ἐνδελεχοῦσα κοιλαίνει πέτραν. Symeon Sethi De Ichnel. p. 112: ῥανὶς γὰρ, φασὶν, ἐνδελεχοῦσα κοιλαίνει πέτραν.

(2) Cf. t. I, p. 413, n. 3; Coray. Atact. t. III, p. 62. Nobis *biscuits secs.*

(3) B, ἡμερούσιον.

θοῦσα ἥρπασεν ἐπὶ τὸ ἀέρος τὸν ἄξιον, καὶ ἤγαγεν κὴ ἔσῆησεν αὐτὸν κατέναντι τοῦ δικαίου (1) κὴ Ἐλεσβαᾶ βασιλέως. Θεασάμενοί τε πάντες τὸ παράδοξον τοῦτο σημεῖον, ἐξέσῆησαν, καὶ ἀνεβόων ἐκπλησσόμενοι τὸ « Κύριε, ἐλέησον. »

Ὁ δὲ τιμιώτατος ἐπίσκοπος ἀποκριθεὶς εἶπεν τῷ βασιλεῖ· « Τοῦτον ὃν σοι ὑπέδειξεν ὁ Κύριος, εὐσεβέσῆατε, δεξιᾷ σου τιμήσας, ἀπόδος μοι, καὶ ἐσόμεθα ἅμα ἐπὶ τὸ αὐτό, ὡς ὁ Κύριος εὐοδώσει καὶ ἡ φιλόχρισῆος σου πραότης συνεργήσει. »

Ὁ δὲ βασιλεὺς, μηδὲν μελλήσας, παραχρῆμα ἐνέγκας σολὴν βασιλικὴν, ἐνέδυσεν αὐτὸν, κὴ διάδημα βασιλείας ἐπέθηκεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, κὴ ὑποδήμασι τοὺς πόδας αὐτοῦ (2). Ἐν τῇ μεγάλῃ δὲ ἐκκλησίᾳ αὐτῶν παραγενόντων, τῇ ἐπ' ὀνόματι τῆς Ἁγίας Γελάδος οἰκοδομηθείσῃ (3), καὶ τῆς ἱερᾶς λειτουργίας ἐπιτελεσθείσης, μέτοχος τῆς προελεύσεως κὴ τῆς ἐν τῷ θείῳ θυσιασῆηρίῳ θείας εἰσόδου καὶ ὁ νέος βασιλεὺς ἅμα τῷ εὐσεβεσῆάτῳ βασιλεῖ Ἐλεσβαᾶ ἐγεγόνει.

Μετὰ δὲ τὴν συμπλήρωσιν εὐφήμησε τὸ σεγατόπεδον οὕτως· « Ἐλεσβαᾶ τοῦ ἁγιωτάτου βασιλέως Αἰθιοπίας πολλὰ καὶ ἀγαθὰ τὰ ἔτη! » Εἰρήκασι δὲ

(1) Si perierit nihil, est ὁ δίκαιος episcopus ille Gregentius de quo pag. præced. n. 1.

(2) Omisit librarius verba necessaria, τῆς βασιλικῆς ἐκόσμησεν, vel alia in eum sensum. Sic sæpissime peccatum fuit. Psellus in orac. p. 74 : ἡ δὲ Ἑκάτη θεός ἐστι παρὰ Χαλδαίοις, ἡ δικαίᾳ μὲν αὐτῆς ἔχουσα τὴν πηγὴν τῶν ἀρετῶν. Quid autem in parte sinistra? tacet editio. Supplementum inveni in codice 2109 : ἐν δὲ τῇ ἀριστερᾷ τῶν ψυχῶν. Minucius Octav. c. 28, 8 : « nisi quod vos et totos » asinos in stabulis cum vestra » vel Epona consecratis ». Quum emphasi particulæ *vel* locus non esse videatur, forsan periit nomen, verbi causa *Hippona* : « cum » vestra Hippona vel Epona. »

(3) Codex, τῆς.. οἰκοδομηθήσης.

τοῦτο ἐπλάχις (1). Ἔπειτα εὐφήμησαν· « Ἀβραὰμ φιλοχείσιε βασιλέως τῶν Ὁμηριτῶν (2) χρησὲ καὶ εὐσεβῆ καὶ ἀγαθὲ πολλὰ τὰ ἔτη! » Εἰρήκασι δὲ αὐτὸ (3) ὡς νέῳ βασιλεῖ δεκάκις. Καὶ πάλιν εὐφήμησαν ἀμφοτέρως, εἰπόντες· « Ἐλεσβαᾶ καὶ Ἀβραὰμ τῶν εὐσεβεσέατων βασιλέων πολλὰ τὰ ἔτη! Γρηγεντίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν καὶ ποιμένος εἰρηνικὰ καὶ ὑγιῆ καὶ ὁλόκληρα πολλὰ καὶ ἅγια καὶ ἀγαθὰ τὰ ἔτη! »

Ταῦτα τοῦ στρατοπέδου εὐφημήσαντος, ὑποστρεφάντων τῶν βασιλέων ἐν τῷ παλατίῳ, πρὸς τὸ ἄριστον ἐτράπησαν, πλουσίως τὰ ἀγαθὰ (4) καὶ τῷ στρατῷ καὶ τοῖς λοιποῖς ἐπιχορηγοῦντες.

Ἐποίησεν (5) οὖν Ἐλεσβαὰ ὁ δικαιόταλος, μετὰ τὸ

(1) Acclamationes sic numero finito factas in Historia Augusta legere est. Locus insignis præ aliis est Trebellii Pollionis in Claudio pag. 203 : « hæc in » Claudium dicta sunt : *Auguste* » *Claudi, dii te nobis servent!* » dictum sexagies..... *Claudi* » *Auguste, tu nos ab Aureolo* » *vindicas!* dictum quinquies..... » *Claudi Auguste, tu nos a* » *Zenobia et a Victoria libera!* » dictum septies..... » Acta S. Silvestri p. 286 : πότε σχεδὸν πᾶς ὁ δῆμος τῶν Ῥωμαίων ἅμα τῇ συστάσει ἐβόησαν· Ἰησοῦς Χριστὸς θεός ἐστιν ἀληθινός· ἔκραξαν πεντακοσίαν. ....Exempla collegit acclamationum Leichius ad Constant. Porphyrog. p. 28, inter quas est et ea qua Homeritæ sunt usi, πολλὰ ἔτη.

(2) De Abramio isto p. 60.

(3) Codex, αὐτῷ. Modo εἰρήκασι πάπα.

(4) De πῖς ἀγαθοῖς, nunc σιτίοις καὶ ποτῖς, vide Pric. ad Lucæ verba 1, 53 : πεινῶντας ἐνέπλησεν ἀγαθῶν· Fisch. ad Anacreontea Fr. 39 : τράπεζαι κατηφεῖς πατρίων ἀγαθῶν.

(5) Ποιεῖν de tempore non rarum, apud recentiores inprimis. Vide Abresch. post Æschylea t. 1, p. 611; Valcken. Schol. in N. F. t. 1, p. 530; Lambec. Animadv. in Codin. § 20; Jacobs in Anal. t. x, p. 44. Nilus Cabasilas Epist. ad Nic. Cabasilam : τὸν ὀλίγον χρόνον, ὃν μέλλεις ποιήσειν αὐτόθι, ἡγοῦ γυμνάσιον γνώμης. Theophil. Alex. Homilia « Cujus » rei homo similis », pag. 6 : ἐποίησεν ὁ ἄνθρωπος καιρόν. Vertit

Καὶ διασχέπτονται ὅ τε συγγενὴς τοῦ βασιλέως καὶ ὁ εὐνοῦχος μόνοι μετὰ τριῶν παιδῶν πορρωτέρω τοῦ πορεύεσθαι τοῦ (1) θηρεῦσαι ἄγραν. Παῖδες δὲ τοῦ βασιλέως τῶν Αἰθιόπων, ἐκλείποντες ἀπὸ τοῦ εἶνης καὶ δίψης, σχεδίαν κλέψαντες, ἐξίεσαν ἐπὶ τὴν γῆν. Καὶ εὑρίσκουσιν ἐν τῷ αἰγιαλῷ ὑπὸ κόλπον ὀρεινὸν αἰφνίδιον τὸν συγγενῆ (2) τοῦ βασιλέως καὶ τὸν εὐνοῦχον καὶ τοὺς ἄλλους τρεῖς, καὶ ἐπέβησαν αὐτοῖς. Καὶ τὸν μὲν εὐνοῦχον καὶ τοὺς ἄλλους ἀνεῖλον, τὸν δὲ συγγενῆ τοῦ βασιλέως ὑπέστρεψαν ἔχοντες εἰς τὰ πλοῖα. Ὁ δὲ βασιλεὺς Ἐλεσβὰν ἀνέθετο τοὺς πέντε κόντους (3) τοὺς χρυσοῦς τῷ Θεῷ.

Καὶ οὕτως κατῆλθον καὶ οἱ (4) σὺν αὐτῷ ἀπὸ τῶν πλοίων εἰς τὰ καράβια (5). Καὶ ὁ μὲν ἀρχηγὸς τῶν Ὁμηριτῶν καὶ τὸ πλῆθος τῶν μετ' αὐτοῦ ἕως τῶν γονάτων τῶν ἵππων ἴσαλτο εἰς τὸ ὕδωρ· οἱ δὲ Αἰθίοπες καὶ ὁ βασιλεὺς αὐτῶν ἀπέβησαν ἀπὸ τῶν καραβίων καὶ ἕως τραχήλου ὄντες ἐν τῇ θαλάσσῃ περιεπάτουν. Καὶ, συχρισμοῦ μεγάλου γενομένου, ἠττήθησαν

(1) Ex B τοῦ. Articulus non videbatur negligendus: cf. p. 55, 2. Lucianus D. Mar. x, 1 : τὴν νῆσον τὴν πλανωμένην, ὦ Πόσειδον, ἀποσπασθεῖσαν τῆς Σικελίας, ὕφαλον ἐπιτήδειον συμβῆναι. Codex 1310, τὴν ἀποσπ., quod placet. Libanius, t. IV, p. 37 : ὡς οὖν πολλοὶ πολλαχόθεν οἱ κράσπεδοι συνῆλθον μηνυόντος ὄντος, ἔδοξεν, ἀδήλου τοῦ μέλλοντος ὄντος, πίστιν ποιήσασθαι καὶ ὅρκους ἰσχυροὺς, ἢ μὴν ἀποτυγχάνοντας ξυνθησειν τῷ ληφομένῳ κατὰ τῶν ἀδικούντων. Optime codex 3017, τοὺς ἀποτυχ., qui et habet ἔτι ἀδήλου, idque bene. Epistolæ Socrat. 5 : ὧν ἀμφοτέρων οἰκεῖα ἔχεις παραδείγματα. Bene codex 3054, τὰ παραδ., quod aliunde cognitum Schæferus probabat.

(2) B, συγγενία : et sic infra.

(3) A B, κόνδους. Mendum ex pronunciatione ortum : cf. t. IV, p. 479, add. ad p. 406.

(4) B, καὶ μετὰ ταῦτα κατῆλθον ὁ βασιλεὺς καὶ οἱ.

(5) Herodianus Epim. p. 116 : πλοῖον, τὸ καράβιον. Cf. Cangii Glossar.; Reisk. ad Constant. De ceremon. p. 274 A. Symeon

πάντες οἱ παράνομοι, καὶ ἐν φόνῳ μαχαίρας ἔπεσον, καὶ εἷς ἐξ αὐτῶν οὐ διεσώθη τοῦ πορευθῆναι καὶ ἀναγγεῖλαι τῷ βασιλεῖ τῶν Ὁμηριτῶν ὄντι κατέναντι τῶν ἄλλων τεσσαράκοντα πλοίων.

Τότε ἔχων ὁ βασιλεὺς Ἐλεσβὰν τὸν συγγενῆ τοῦ Ὁμηρίτου δεδεμένον καὶ ὁδηγοῦντα αὐτὸν, ἀνῆλθεν ἐπὶ τὴν βασιλεύουσαν πόλιν Ταφὰρ (1), καὶ παρέλαβεν αὐτὴν καὶ τὰς βασιλίσσας, καὶ τὴν δύναμιν τῶν χρημάτων.

Ἐφθάρησαν δὲ ἀπὸ πείνης καὶ δίψης ἐκ τῶν τεσσαράκοντα πλοίων πεντακόσια ὀνόματα (2), καὶ ἐρρίφησαν εἰς τὴν θάλασσαν. Καὶ συσκεψάμενοι οἱ λοιποὶ Αἰθίοπες εἶπον· « Ἐν Αἰθιοπίᾳ ὑποστρέψαι οὐ δυνάμεθα· ὧδε λιμώττομεν (3)· κάτω θάνατος· τί γέγονεν τῷ βασιλεῖ (4) ἡμῶν ἀγνοοῦμεν. Μή πως ἐκ βράδους (5) συμβῇ φθαρέντας, καὶ ῥιφέντας πάντας ἡμᾶς εἰς τὴν θάλασσαν, κατάγελος (6) ποιήσωμεν τὰ χριστιανῶν ἑβραίοις· ἀλλὰ μᾶλλον ἐπικαλεσώμεθα κύριον τὸν Θεὸν τὸν δυνατὸν ἐν πολέμῳ. »

Καὶ συναγαγόντες πάντα τὰ πλοῖα, λύσαντες τὰ

Metaphr.: αὐτὸς δὲ τὴν στρατιὰν ὡπλισμένην ἐν τοῖς βραχυτέροις τῶν πλοίων ἐμβαλὼν, ἐξῆλθε. Infra p. 56, utetur nomine κάραβος.

(1) Symeon Met.: ἔχων δὲ τὸν τοῦ βασιλέως συγγενῆ δεικνύντα τὴν πρὸς Ταφαρῆ τὴν πόλιν ὁδὸν, ἔνθα ἦν τὰ βασίλεια, ἄνεισι. Est hodiernum urbi nomen *Dhafar*: vide Sammart. ad Hist. Inf. Imper. t. VIII, p. 61, n. 1.

(2) Sunt ὀνόματα *homines*. Quem sensum illustravit Raphel. ad Act. Apost. 1, 15, ubi ὄχλος ὀνομάτων. Adde Cangium Gloss. Ammonius monachus de monachis Sinaitis p. 93: ηὕραμεν δὲ ἀποθανόντας τριακονταοκτὼ ὀνόματα. Combefisius, non satis latine: « invenimus occisorum nomina » ad triginta et octo. »

(3) B, ἐνταῦθα λιμώττομεν.

(4) B, κἂν θάνατος γέγονε τῷ β., et alia quæ negligo.

(5) B, ἐκ βραδυτῆτος....

(6) B, καταγέλωτα.

καταρτίδια (1) καὶ τὰς κεραταίας καὶ τοὺς αὐχένας, καὶ τὰ εὐμήκη λοιπὰ ξύλα, διεστοίβασαν δήσαντες σχοινίοις ὑπεράνω πάντων τῶν πλοίων, ὡς νομίζειν ἐν θαλάσσῃ βλέπειν πόλιν μίαν· καὶ οὐ διεσαλεύετο πλοῖον τοῦ ἑτέρου. Τὰ δὲ καράβια ἐπισυνάξαντες, ἔδησαν κάραβον καράβῳ εἰς εὖρος τῶν πλοίων. Καὶ ποιήσαντες ὑποσκίους ἐμβόλους δύο δι' ἀρμένων ἄνωθεν τῶν πλοίων, καὶ συναχθέντες πάντες ἐπὶ τῇ ἡτοιμασμένῃ τῶν πλοίων πλατείᾳ, ἐκέκραγον πρὸς τὸν Θεὸν, θυσίας πνευματικὰς ἐπιτελοῦντες. Καὶ μεταλαβόντες τῶν θείων μυστηρίων, κατῆλθον ὁμοθυμαδὸν ἔνοπλοι εἰς τὰ καράβια. Καὶ ἔστησαν ἑαυτοὺς ἐκ πλαγίου ἑκάστου τῶν καραβίων, ὡς ὑποκλίνειν ἕκαστον (2) τὸ ἕτερον ἑαυτοῦ μέρος, καὶ τειχίζειν αὐτοὺς (3) πρὸς τὸ μὴ βλαβῆναι ὑπὸ τῶν βελῶν τῶν πολεμίων. Δεδεμένα οὖν τὰ καράβια ἀλλήλοις καὶ τετειχισμένα ὠθοῦντο ὑπὸ τῶν ναυτῶν καὶ ὑπὸ τῶν συνελθόντων μοναχῶν ἄχρις οὗ ἐκάθισαν αἱ πλευραὶ αὐτῶν ἐπὶ τὴν γῆν. Καὶ τεῖχος τῶν καράβων ἦν ἀνάμεσον τῶν Αἰθιόπων καὶ τῶν Ὁμηριτῶν (4).

(1) Hinc receptum καταρτίδιον in Cangii Glossarium. Mali sunt navium. B, καὶ συναγαγόντες πάντα τὰ πλοῖα, καὶ δήσαντες πλοῖον πρὸς πλοῖον, λύσαντες καὶ τοὺς ἱστοὺς καὶ τὰ κεραταίρια καὶ τοὺς αὐχένας.

(2) B, ἕκαστον καράβιον. A sine ἑαυτοῦ.

(3) A, αὐτόν. B, αὐτούς.

(4) Id quo fuerit modo à Symeone Metaphr. narratum audire est operæ pretium : Οἱ μέντοι Αἰθίοπες, οἱ ἐν τοῖς πλείοσι πλοίοις, μηδὲν περὶ Ἐλεσβαὰν τοῦ αὐτῶν βασιλέως ἢ τῶν ὑπ' αὐτοῦ πεπραγμένων πεπυσμένοι, σπάνει τε τῶν ἀναγκαίων διαφθειρόμενοι, καὶ ἐν ἀπόρῳ ὄντες, ἀπογνόντες, ἐτράποντο πρὸς ἱκετείαν τοῦ θείου. Καὶ τὰ μεγάλα τῶν πλοίων ἐνδήσαντες κυκλόθεν πρὸς ἑαυτὰ, ἄνωθέν τε τὰ εὐμήκη ξύλα καὶ ἱστία προσεπιδήσαντες, καὶ ὥσπερ τινὰ πόλιν ἐν τῇ θαλάσσῃ διαμηχανησάμενοι, ἐν δὲ ταῖς πλαγίαις ἔξωθεν τὰ βραχύτερα τῶν πλοίων προτείχιόν τι μιμούμενα παραζεύξαντες,

Πρὸ δὲ μιᾶς ἡμέρας ἔγνω ὁ Ὁμηρίτης ὅτι παρελήφθη Ταφὰρ ἡ βασιλεύουσα πόλις, καὶ φοβηθεὶς ἵνα μὴ προσρυῶσι τινὲς τῶν ἑπτὰ συγγενῶν αὐτοῦ τῷ βασιλεῖ Ἐλεσβᾷ, ἐποίησεν ἅλυσιν σιδηρᾶν (1) καὶ ἑαυτὸν καὶ αὐτοὺς συνέδησεν. Ἐκάθητο δὲ ἐν τῇ λαμπίνῃ (2) αὐτοῦ ἐπὶ κλίνην χρυσῆν, καὶ οἱ ἑπτὰ συνδέται αὐτοῦ ἐπὶ ἑπτὰ σέλλας χρυσᾶς.

Καὶ οἱ πολεμοῦντες τοῖς κόντοις (3) καὶ τοῖς δόρασιν ἔκλανον (4) τὰς πλευρὰς τῶν τετειχισμένων καράβων. Καὶ οἱ Αἰθίοπες στενωθέντες ἔκλαυσαν πρὸς τὸν Θεόν. Καὶ ἄφνω γίνεται οὐρανόθεν ἦχος φωνῆς λαμπρᾶς λεγούσης· « Γαβριὴλ, Γαβριὴλ, Γαβριήλ. » Οὕτως ἐξελθὼν εἷς τῶν κολυμβώντων (5) καὶ ὠθούντων, ἔχων ῥάβδον σιδηρᾶν, ἄνωθεν ἔχουσαν τὸ σημεῖον τοῦ σταυροῦ, κάτωθεν δὲ λόγχην, διακύψας μεταξὺ δύο καβαλλαρίων (6), καὶ ἐπιλαβόμενος μιᾶς οὐρᾶς ἵππου, ἔπηξεν τὴν λόγχην ἐν τῇ πλευρᾷ αὐτοῦ. Ὁ δὲ, διαλακτίσας, κατέῤῥηξεν τὸν ἐπιβάτην, ὡς φοβηθῆναι τοὺς Ὁμηρίτας πάντας καὶ φυγεῖν ἐπὶ τὴν ξηράν. Οὕτως ἐκπηδήσαντες οἱ Αἰθίοπες, πάντας τοὺς πολεμίους ἀνεῖλον, καὶ συλλαμβάνονται τὸν βασιλέα

ἀθρόοι γενόμενοι, μετὰ δακρύων ἱκετηρίαν πρὸς Θεὸν ἐποιοῦντο μακράν· καὶ τῶν θείων ἀπογευσάμενοι μυστηρίων, καὶ ὁπλισάμενοι κατέβαινον ἐπὶ τὰ βραχύτερα πλοῖα, καὶ στάντες ἐκ πλαγίου τῷ μὴ βλάβην τινὰ ὑπὸ τῶν βελῶν ὑπομένειν τῶν πολεμίων, ὤθουν αὐτὰ πρὸς τὴν γῆν αὐτοί τε καὶ ἅπαν τὸ ναυτικόν. Τὰ δὲ τοῖς μεγάλοις συνδεδεμένα καὶ αὐτὰ συνεφεῖλκον, ἄχρις ἂν αἱ πλευραὶ αὐτῶν ἐποκείλασαι προσήρεισαν τῇ γῇ, ὡς γενέσθαι τεῖχος αὐτοῖς τε καὶ τοῖς Ὁμηρίταις τὰ πλοῖα.

(1) Auream fuisse catenam tradit Metaphrastes.

(2) B, λαπίνῃ. Hoc loco usus est Cangius in Λαμπήνη. Currus est superne tectus.

(3) A, κοντοῖς: cf. pp. 52, 53.

(4) Frangebant.

(5) B, εἶθ' οὕτως ἐξελθὼν μοναχός τις τῶν κολ...

(6) A, δύο καραβίων.

δεδεμένον μετὰ τῶν ἑπτὰ συγγενῶν αὐτοῦ. Καὶ γέγονε σωτηρία μεγάλη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶσι τοῖς χριστιανοῖς οὐρανόθεν βοῶσα φωνή· «Γαβριὴλ, Γαβριὴλ, Γαβριήλ.»

Ταῦτα ἐμηνύθη τῷ βασιλεῖ Ἐλεσβὰν, ὃς παραγενόμενος καὶ λαβὼν ἰδίαις χερσὶν ἀνεῖλεν παράνομον βασιλέα καὶ τοὺς ἑπτὰ συγγενεῖς αὐτοῦ, κράζων καὶ λέγων· «Ἀναστήτω (1) ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ.» Καὶ ἐπὶ τῷ τόπῳ ἔστησεν θυσιαστήριον καὶ ἔσπεισεν τὸ αἷμα αὐτῶν τῷ Χριστῷ (2). Καὶ παραγενόμενος εἰς τὴν βασιλεύουσαν πόλιν θανάτῳ καὶ (3) ἀναθεματισμῷ παρέδωκεν τοὺς ἀπὸ τοῦ παλατίου. Τινὲς δὲ τῶν ἀρχόντων φυγόντες ὑπέστρεψαν (4) καὶ γεγόνασι χριστιανοί.

(1) Conf. Psalm. LXVII, 1.

(2) A, εὔπεισεν. B, καὶ ἐπὶ τῷ τόπῳ ἐκείνῳ στήσας θυσιαστήριον, ηὔξατο τῷ θεῷ. Symeon Metaphr.: ὁ δὲ, φρουρὰν ἐν τῇ πόλει καταλιπὼν, ἀπῄει μετὰ σπουδῆς· καὶ τὸν Δουναὰν ἀνευρὼν, ἀνεῖλεν αὐτόν τε καὶ τοὺς συγγενεῖς, ἐπιθειάζων καὶ ἐφηδόμενος ἐπὶ τοῖς ἐχθροῖς τοῦ Χριστοῦ δίκην διδοῦσι τῶν τετολμημένων· μηδὲ γάρ τι ἄλλο κάλλιστον εἶναι θεαμάτων καὶ ἥδιστον ἀνδρὶ χρηστῷ καὶ δικαίῳ κολαζομένους ἰδεῖν πονηρούς· ὧν καὶ τὸ αἷμα ἔσπεισε τῷ θεῷ.

(3) Accessit καὶ ex B. Chion Epist. 3, 14: μάλιστα γὰρ δὴ μετασχὼν τῶν Σωκράτους λόγων ἀρκεῖ στρατεύματα καὶ πόλεις σώζειν. Codex regius 3054 et Mazarineus A 87, καὶ στρατ. non sine vi quadam. Julianus Epist. 35, p. 57: ἀλλὰ δὴ τὰ τοιαῦτα.... Codex 2964: ἀλλὰ δὴ καὶ τὰ τ. Estque copula et in Spanhemiana. Julianus rursus Misop. p. 343: εἰ δὲ καὶ τοῦτό τις ἔργον θοῖτο σωφροσύνης, ἀπέχεσθαι πάσης ἡδονῆς, οὐ λίαν ἀπρεποῦς οὐδ' ἐπονειδίστου δοκούσης. Videtur sententia postulare καὶ οὐ λίαν ἀπρεποῦς. Varietas θεῖτο codicis 2964 non erit præferenda.

(4) A, ἐπέστρεψαν. B, φανεροὶ δὲ τῶν ἀρχ. ὑπέστρ. Præpositiones ὑπὸ ἐπὶ nonnunquam sunt permutatæ. Nicephorus Basilacas Narratione de Achille, in Allatii Excerptis p. 138: Ὀδυσσεὺς, καὶ πρὶν ἥκειν εἰς Τροίαν, τοῖς Ἕλλησι τὸ σοφὸν ὑπεδείξατο. Cod. 2720, qui Nicolao Sophistæ nomen, non Basilacæ, exhibet, ἐπεδείξατο, melius. Alcinous c. 32: αὕτη δὲ (ἡ φιλία) ἐφίσταται, ὅταν ἐπίσης ἑκά-

Τότε ἰδιάις χερσὶ σκάψας (1) ὁ βασιλεὺς ἐν τῷ παλατίῳ ἐπὶ ἡμέρας ἑπτὰ ἐποίησεν τὴν οὖσαν νῦν ἁγιωτάτην ἐκκλησίαν.

Ἐμήνυσεν δὲ (2) ταῦτα παράχρημα τῷ ἁγιωτάτῳ παπιάρχῃ Ἀλεξανδρείας, καὶ δι' αὐτοῦ τῷ εὐσεβεστάτῳ βασιλεῖ Ἰουστίνῳ.

Ὁ δὲ ἀρχιεπίσκοπος χειροτονήσας ὅσιον καὶ ὀρθόδοξον ἐπίσκοπον, ἔπεμψεν ἐν τῷ Ὁμηρίτῃ πρὸς (3) Ἐλεσβὰν τὸν βασιλέα. Καὶ ἁγιάζει τὸν ναὸν ὃν ἔκτισεν ὁ βασιλεὺς, καὶ βαπτίζει πάντας τοὺς ἐν ταῖς πόλεσι καὶ τῇ περιχώρῳ εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, καταστήσας ἐκάστῳ (4) τόπῳ πρεσβυτέρους καὶ διακόνους καὶ λοιποὺς ὑπηρέτας ἐκκλησιῶν.

Καὶ ὕτως παραλαβὼν ὁ βασιλεὺς τὸν σαλέντα (5) ὅσιον ἐπίσκοπον, παρεγένετο κὰ εἰς Νεγρὰν τὴν πόλιν τῶν ἁγίων μαρτύρων (6), καὶ κτίζει αὐτὴν καὶ τὴν ἁγιωτάτην ἐκκλησίαν. Καὶ ποιεῖ τὸν υἱὸν τοῦ ἁγίου Ἀρέθα ἡγέμονα τῶν ἐκεῖσε κὰ ἐθνάρχην. Καὶ δωρεῖται

πρὸς βέλτιον τὸν πλησίον καὶ ἑαυτὸν τοῦ φρέατος. Codex 1962, ὑφίσταται, aptius, scilicet *existit*.

(1) A, σκελάμενος.

(2) A, ἐμήνυσεν π.

(3) B, πρὸς τοὺς ὁμηρίτας κὰ πρός. — Episcopus ille Gregentius fuit, cujus exstat Disputatio cum Herbano judæo, pars majoris operis quo Homeritarum ad christianismum conversio totumque illud bellum fuse narratum fuisse videtur. Cujus historiæ ineditum fragmentum, quo leges a christiano Homeritarum rege latæ recensentur, post Acta martyrii S. Arethæ infra describam.

(4) B, ἐν ἑκάστῳ.

(5) B, ἀποστολικὸν τόπον. Sæpe præpositione librarii vocabula truncaverunt. Socrates in Epist. Socrat. 6, p. 12: οὐδὲν ἔχω πρέπον ἀπάλαγμα φιλοσοφίας ἄλλο, πλὴν φιλίαν. Codex 3054, ἀπακαπάλασμα, quam optimam varietatem, sibi aliunde notam, qui præferebat Orellius, cur in textum non recepit?

(6) Cf. p. 5, n. 5.

ἀπὸ τῶν βασιλικῶν τῇ ἁγίᾳ ἐκκλησίᾳ κτήματα πέντε, καὶ, κατὰ τὴν ἐντολὴν τοῦ ἁγίου Ἀρέθα, ἐκ τῆς ὑπάρξεως αὐτοῦ κτήματα τρία (1). Καὶ τὸν τόπον ὅπου ἦσαν τὰ σώματα τῶν ἁγίων μαρτύρων κρύπτα καὶ ῥιφέντα ἐποίησεν σεβάσμιον τόπον καὶ ἅγιον.

Καὶ οὕτω μετὰ πολλῆς χαρᾶς καὶ εὐφροσύνης ὑποστρέψας ἐν τῇ βασιλευούσῃ πόλει τῶν Ὁμηρειτῶν, πρεσβεύεται τοῖς ἐκεῖσε βασιλέα Ἀβραάμιόν τινα (2) συνετὸν, θεόφοβον καὶ χριστιανικώτατον. Καὶ παρέδωκεν αὐτῷ καὶ τῷ ὁσίῳ ἐπισκόπῳ δέκα χιλιάδας Αἰθιόπων (3) χριστιανῶν. Καὶ ὑπέστρεψεν μετὰ πλήθους λαφύρων ἐν τῇ ἰδίᾳ βασιλείᾳ.

Ἄξιον μὲν οὖν τῆς εὐχαριστίας τῷ Θεῷ εἶπεν Ἐλεσβὰς ὁ βασιλεὺς μὴ δύνασθαι ἀνταποδοῦναι· ἀλλὰ τοῦτο μόνον συνεῖδεν, ἀποθέσθαι τὴν βασιλείαν καὶ τὸ σχῆμα τῶν μονήρων βίου ἐνδύσασθαι. Καὶ πορευθεὶς ὑπὸ νύκτα (4) μοναχὸς, ἀνῆλθεν εἰς ὄρεινὸν ὑψηλὸν, ἐν ᾧ ἐστὶν μοναστήριον ἀγωνιστῶν ἀνδρῶν, καὶ, εἰσελθὼν εἰς κελλίον, ἀπέκλεισεν ἑαυτὸν, δοὺς συνταγὰς ὅτι ζῶν οὐκ ἐξελεύσεται ἀπ' αὐτοῦ, ἀλλ' ἐν αὐτῷ καρτερήσας (5) ἄχρις ἡμέρας θανάτου αὐτοῦ. Οὐδὲν

(1) Conf. p. 28, 23.

(2) B, προσεβάλετο δὲ πῖς ἐκεῖσι βασιλέα πινὰ Ἀβραὰμ καλούμενον. Symeoni Met. Ἀβράμιος dicitur; Procopio Ἐσμαραῖος. Videatur omnino Sammart. ad Histor. Inf. Imp. t. VIII, p. 63, n. 1.

(3) Accessit Αἰθιόπων ex codice B. Symeon Metaphr.: τῷ τε ὁσιοτάτῳ ἐπισκόπῳ παραδοὺς χριστιανῶν Αἰθιόπων πρὸ τοῦ μυρίους.

(4) A, ὑπὸ νύκταν, superscripto ν. Etsi accusativus νύκταν non dedeceat tale opusculum, quum dubitarem, abstinui. Vide not. ad Nicetam Eugen. p. 339; Notit. Mss. t. XI, II, p. 197.

(5) Forsan διάξει excidit; vel καρτηρήσει legendum. B non potest nunc legi.

δὲ περαιτέρω ὑπῆρχεν ἐν τῷ κελλίῳ αὐτοῦ, εἰ μὴ ψίαθος καὶ βαυκάλλιον (1) ὕδατος, καὶ σπυρίδιον, καὶ ἅπερ ἐνεδύετο μοναχικὰ περιβόλαια. Ἡ δὲ τροφὴ αὐτοῦ ἦν ξηρὰ παξαμάτια (2) ἡμερούσια (3) τρία, οἴνου καὶ ἐλαίου χωρὶς καὶ παντοίας ὀπώρας. Εἰ δέ ποτε αὐτῷ ἤνεγκέν τις λάχανα χλωρὰ, ταῦτα ἤσθιεν ὠμά. Οὐδεὶς δὲ λαϊκῶν τὸν πάντα χρόνον τῆς ζωῆς αὐτοῦ ἐτόλμησε λαλῆσαι αὐτῷ ἢ ἰδεῖν αὐτόν.

Τὸ δὲ βασίλειον ὅπερ λέγεται στέμμα, τὸ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἐκ χρυσίου καὶ λίθων τιμίων, ἀνέθηκεν τῷ Χριστῷ, πέμψας εἰς τὰ Ἱεροσόλυμα, αἰτησάμενος διὰ γραμμάτων Ἰωάννην τὸν ἁγιώτατον

(1) Nobis *bocal.* Melior est Symeonis Met. oratio: μηδὲν τῶν τοῦ κόσμου κτησάμενος, ἢ μόνην ψίαθον, καὶ κωθώνιον εἰς μετάληψιν ὕδατος. Locum excitavit Cangius Gloss. in Βαυκαλία, et scripsit male παρ' ἑτέρῳ, quum sit in codice παιρ' ἑτέρω, quod, usus nota vocalium αι et ε permutatione, in περαιτέρω aptissime mutavi. Ex B nihil præsidii. Habet Cangius et καυκάλλιον, an calami lapsu nescio. Certe et καυκάλιον invenitur. In Apophthegmatis Patrum apud Cotel. Monum. t. I, p. 470, § 7, καυκάλιον τοῦ νεροῦ et βαυκάλιον synonymice usurpata sunt; esse tamen discriminis aliquid doceor ab Corayo Atact. t. I, p. 246. Elegans est sententia abbatis Pœmenis Cotel. ibid. p. 636, § 183: ἡ φύσις τοῦ ὕδατος ἁπαλή ἐστιν, ἡ δὲ λίθου σκληρά· τὸ δὲ βαυκάλιον, ἐπάνω κρεμάμενον τοῦ λίθου, στάζον στάζον τιτρᾷ τὸν λίθον· οὕτως καὶ ὁ λόγος τοῦ Θεοῦ ἁπαλός ἐστιν, ἡ δὲ καρδία ἡμῶν σκληρά..... Dialecto sua barbarescente adagium expressit optimus abbas, sic olim a Chœrilo redditum: Πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείῃ· ad quem vide Nækium p. 169. Ipse multa congessi ad Aristænetea I, Ep. 17, p. 474: ῥανὶς γὰρ ὕδατος ἐνδελεχῶς ἐπιστάζουσα καὶ πέτραν οἶδε κοιλαίνειν. Gregorius Presbyter Vita Gregorii Naz. p. 19: ἀεὶ οὖν τῷ δήμῳ προσκαθεζομένων τῶν φοιτητῶν Ἀπολιναρίου καὶ ταῦτα (fors. ταυτά) τοῦ ὁσίου κατηγορούντων, ἴσχυσεν ἡ ἐπήρεια· ῥανὶς γὰρ ἐνδελεχοῦσα κοιλαίνει πέτραν. Symeon Sethi De Ichnel. p. 112: ῥανὶς γὰρ, φασὶν, ἐνδελεχοῦσα κοιλαίνει πέτραν.

(2) Cf. t. I, p. 413, n. 3; Coray. Atact. t. III, p. 62. Nobis *biscuits secs.*

(3) B, ἡμερούσιον.

ἐπίσκοπον (1) τοῦτο κρεμάσαι εἰς τὴν πρόσοψιν τῆς θύρας τοῦ ζωοποιοῦ μνημείου (2), ὅθεν τὴν ἀπαρχὴν τῆς ἀναστάσεως καὶ τῆς ἀφθαρσίας ἔδειξεν ἡμῖν Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν. Αὐτῷ ἡ δόξα σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) Conf. p. 2, 5.

(2) Sepulcrum Christi simili epitheto ζωηφόρον dicitur in scholio quodam, non Antigenis, ut est apud Cangium Gloss. in Λυχνικὸς, sed Anthigenis, si fides codici 2408, p. 4, 2; quodque hic addam, ut Allatianum apographum in opusculo De Græcorum opinationibus possit corrigi: Ἑρμηνεία τοῦ λυχνικοῦ ὕμνου καὶ ὅθεν γέγονε. Σχόλιον Ἀνθηγένους. [« Φῶς ἱλαρὸν ἁγίας δόξης. »] Οὗτος γὰρ ὁ ὕμνος ὁ ἐν τῷ λυχνικῷ ὑποκείμενος ἐγένετο τρόπῳ τοιῷδε. Ἐπειδὴ συνήθεια ἦν ἐν Ἱερουσαλὴμ, ὅπερ καὶ μέχρι τοῦ νῦν ὁ τύπος κρατεῖται, ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ ἐκκλησίᾳ τῆς ὑπεραγίας Ἀναστάσεως, νέον καὶ οὐράνιον φῶς κατὰ πᾶν ἅγιον Σάββατον δέχεσθαι ἐξαπτόμενον ἐν ταῖς ἐπάνω τοῦ ζωηφόρου καὶ θείου μνήματος κανδήλαις, τοῦτο περιμένοντι ἑνὶ τῶν πατριαρχῶν, λέγω δὴ τῷ κατ' ἐκείνου καιροῦ ἐνυπάρχοντι (οὐ γὰρ ἄρχεται ἡ ἐκκλησία, οὐδὲ ἅπτει τις, ἀλλὰ προσμένει πᾶσα ἡ ἁγία πόλις τὴν ἐπέλευσιν ἐκείνου τοῦ ἁγίου φωτὸς, ὅπως ἐξ αὐτοῦ λάβωσιν)· τούτου δὲ χρονίζοντος, ἐξαίφνης οὐ μόνον ἐκεῖ ἔσω τοῦ τάφου, ἀλλὰ σχεδὸν πᾶσα ἡ ἁγία ἐκκλησία ἐξῆψεν· καὶ εὐθὺς ὁ πατριάρχης ἀγαλλόμενος ἐξεφώνησεν εὐχαρίστως τοῦτον τὸν ὕμνον. Καὶ ἐξ ἐκείνου μέχρι τοῦ δεῦρο, καθὼς καὶ προείπαμεν, εἰς εὐχάριστον ὕμνον καὶ μνήμην τῷ ἁγίῳ Θεῷ παρείληπται πᾶσιν ᾄδεσθαι. Lectionem codicis ἀνυπάρχοντι correxi. Cujus loci e regione margo libri utilem exhibet notulam: λέγεται τὸν μέγαν Σωφρόνιον εἶναι. Unde sequitur miraculum ignis sacri, quo sponte die Sabbati Sancti lucernæ ad Christi sepulcrum Hierosolymis accenduntur, sæculo septimo ineunte cepisse initium. De illo igne nuper scripsit Cor. Atact. t. III.

NOMOI

ΤΩΝ ΟΜΗΡΙΤΩΝ.*

« ..... Θεοῦ σοφία καὶ σύνεσις (1), ὁ ἅγιος, ὁ δυνάσ[της, ὁ ὀφθαλμὸς ὁ εἰς τὸν πένητα ἀποβλέπων, τὸ βλέφαρον τὸ ἅγιον τὸ ἐξετάζον τὸν δίκαιον καὶ τὸν εὐσεβῆ (2), ἰδέτωσαν οἱ ὀφθαλμοί σου οἱ ἀκοίμητοι ἀπὸ τούτων τῶν συνειλεγμένων κατέναντι τοῦ προσώπου σου (3) ὁποῖος ἐστὶν ἄξιος ἐπὶ τὸ προκείμενον, καὶ ποίησον μετ' αὐτοῦ σημεῖον εἰς ἀγαθὸν (4), ὅπως καὶ ἐν τούτῳ δοξασθῇ σου τὸ πανάγιον ὄνομα. »

Καὶ, ὡς ταῦτα προσηύξατο, δύναμις Κυρίου ἐλ-

* E codice Coisliniano 255, membraneo, antiquo; bonæ quidem notæ, si manum librarii spectes; sed fuit homo indoctus, et mendis iis, quæ iotacismus parere solet, librum fœdissime inquinavit.—Hic libellus initio mutilus, cui lemma addidi, pars est majoris operis, quo bellum Æthiopum regis Elesbaæ ac Dunaani Homeritarum regis, conversioque Homeritarum ad christiana sacra, fuse narrabantur. Quam Gulonius edidit Gregentii cum Herbano judæo Disputatio, et capite ipsa truncata, ejusdem est operis pars postrema, et in codice Coisliniano fragmento huic de legibus uno tenore adhæret. Quod ad fragmentum ne accedat imparatior, Arethæ quæ præcedunt acta legat lectorem moneo.

(1) Verba sunt Gregentii episcopi, ab Alexandriæ patriarcha ad Elesbaam missi (vide p. 59), et Deum orantis ut quis sit Homeritarum rex eligendus significare dignetur.—Junguntur non semel σοφία καὶ σύνεσις in Bibliis. Dan. II, 20 : εἴη τὸ ὄνομα τοῦ Θεοῦ εὐλογημένον.... ὅτι ἡ σοφία καὶ ἡ σύνεσις αὐτῶ ἐστι. Epiphanius monachus de Maria Deipara p. 47: ἐθαυμαστώθη ἐπὶ τῇ σοφίᾳ καὶ συνέσει. Conf. t. III, p. 406, 16, verba Niceph. Chumni hinc illustranda.

(2) Psalm. X, 5 : οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς πένητα ἀποβλέπουσιν· τὰ βλέφαρα αὐτοῦ ἐξετάζει πᾶς υἱὸς τῶν ἀνθρώπων· Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ. Cf. Ps. IX, 28.

(3) Loquutio est biblica.

(4) Psalm. LXXXV, 17.

θοῦσα ἥρπασεν ἐπὶ τὸ ἀέρος τὸν ἄξιον, καὶ ἤγαγεν κὴ ἔσῖησεν αὐτὸν κατέναντι τοῦ δικαίου (1) κὴ Ἐλεσβαᾶ βασιλέως. Θεασάμενοί τε πάντες τὸ παράδοξον τοῦτο σημεῖον, ἐξέσῖησαν, καὶ ἀνεβόων ὀκπλητόμενοι τὸ « Κύριε, ἐλέησον. »

Ὁ δὲ τιμιώτατος ἐπίσκοπος ἀποκριθεὶς εἶπεν τῷ βασιλεῖ· « Τοῦτον ὃν σοι ὑπέδειξεν ὁ Κύριος, εὐσεβέσῖατε, δεξιᾷ σου τιμήσας, ἀπόδος μοι, καὶ ἐσόμεθα ἅμα ἐπὶ τὸ αὐτὸ, ὡς ὁ Κύριος εὐοδώσει καὶ ἡ φιλόχρισῖός σου πρᾳότης συνεργήσει. »

Ὁ δὲ βασιλεὺς, μηδὲν μελλήσας, παραχρῆμα ἐνέγκας σολὴν βασιλικὴν, ἐνέδυσεν αὐτὸν, κὴ διάδημα βασιλείας ἐπέθηκεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, κὴ ὑποδήμασι τοὺς πόδας αὐτοῦ (2). Ἐν τῇ μεγάλῃ δὲ ὀκκλησίᾳ αὐτῶν παραγενόντων, τῇ ἐπ' ὀνόματι τῆς Ἁγίας Γειάδος οἰκοδομηθείσῃ (3), καὶ τῆς ἱερᾶς λειτουργίας ἐπιτελεσθείσης, μέτοχος τῆς προελεύσεως κὴ τῆς ἐν τῷ θείῳ θυσιασῖηρίῳ θείας εἰσόδου καὶ ὁ νέος βασιλεὺς ἅμα τῷ εὐσεβεσῖάτῳ βασιλεῖ Ἐλεσβαᾶ ἐγεγόνει.

Μετὰ δὲ τὴν συμπλήρωσιν εὐφήμησε τὸ σρατόπεδον οὕτως· « Ἐλεσβαᾶ τοῦ ἁγιωτάτου βασιλέως Αἰθιοπίας πολλὰ καὶ ἀγαθὰ τὰ ἔτη! » Εἰρήκασι δὲ

(1) Si perierit nihil, est ὁ Δίκαιος episcopus ille Gregentius de quo pag. præced. n. 1.

(2) Omisit librarius verba necessaria, τοῖς βασιλικοῖς ἐκόσμησεν, vel alia in eum sensum. Sic sæpissime peccatum fuit. Psellus in orac. p. 74 : ἡ δὲ Ἑκάτη θεός ἐσι παρὰ Χαλδαίοις, ἡ δεξιᾷ μὲν αὐτῆς ἔχουσα τὴν πηγὴν τῶν ἀρετῶν. Quid autem in parte sinistra? tacet editio. Supplementum inveni in codice 2109 : ἐν δὲ τῇ ἀρισερᾷ τῶν ψυχῶν. Minucius Octav. c. 28, 8 : « nisi quod vos et totos » asinos in stabulis cum vestra » vel Epona consecratis ». Quum emphasi particulæ *vel* locus non esse videatur, forsan periit nomen, verbi causa *Hippona* : « cum » vestra Hippona vel Epona. »

(3) Codex, τῆς.. οἰκοδομηθήσης.

τοῦτο ἑπτάκις (1). Ἔπειτα εὐφήμησαν· «Ἀβραὰμ φιλοχρίστου βασιλέως τῶν Ὁμηριτῶν (2) χρηστὰ καὶ εὐσεβῆ καὶ ἀγαθὰ πολλὰ τὰ ἔτη!» Εἰρήκασι δὲ αὐτὸ (3) ὡς νέῳ βασιλεῖ δεκάκις. Καὶ πάλιν εὐφήμησαν ἀμφοτέρους, εἰπόντες· «Ἐλεσβαᾶ καὶ Ἀβραὰμ τῶν εὐσεβεστάτων βασιλέων πολλὰ τὰ ἔτη! Γρηγεντίου τοῦ ἁγιωτάτου ἀρχιεπισπόπου ἡμῶν καὶ ποιμένος εἰρηνικὰ καὶ ὑγιῆ καὶ ὁλόκληρα πολλὰ καὶ ἅγια καὶ ἀγαθὰ τὰ ἔτη!»

Ταῦτα τοῦ στρατοπέδου εὐφημήσαντος, ὑποστρεψάντων τῶν βασιλέων ἐν τῷ παλατίῳ, πρὸς τὸ ἄριστον ἐτράπησαν, πλουσίως τὰ ἀγαθὰ (4) καὶ τῷ στρατῷ καὶ τοῖς λοιποῖς ἐπιχορηγοῦντες.

Ἐποίησεν (5) οὖν Ἐλεσβαὰ ὁ δικαιότατος, μετὰ τὸ

(1) Acclamationes sic numero finito factas in Historia Augusta legere est. Locus insignis præ aliis est Trebellii Pollionis in Claudio pag. 203: « hæc in » Claudium dicta sunt: *Auguste » Claudi, dii te nobis servent!* » dictum sexagies. .... *Claudi » Auguste, tu nos ab Aureolo » vindicas!* dictum quinquies. .... » *Claudi Auguste, tu nos a » Zenobia et a Victoria libera!* » dictum septies ..... » Acta S. Silvestri p. 286: τότε σχεδὸν πᾶς ὁ δῆμος τῶν Ῥωμαίων ἅμα τῇ συγκλήτῳ ἐβόησαν· Ἰησοῦς Χριστὸς θεός ἐστιν ἀληθινός· ἔκραξαν τεσσαρακοστόν. ....Exempla collegit acclamationum Leichius ad Constant. Porphyrog. p. 28, inter quas est et ea qua Homeritæ sunt usi, πολλὰ ἔτη.

(2) De Abramio isto p. 60.

(3) Codex, αὐτῷ. Modo εἰρήκασι τοῦτο.

(4) De τοῖς ἀγαθοῖς, nunc σιτίοις καὶ ποτοῖς, vide Pric. ad Lucæ verba 1, 53: πεινῶντας ἐνέπλησεν ἀγαθῶν· Fisch. ad Anacreontea Fr. 39: τράπεζαι κατηρεφέες παντοίων ἀγαθῶν.

(5) Ποιεῖν de tempore non rarum, apud recentiores inprimis. Vide Abresch. post Æschylea t. 1, p. 611; Valcken. Schol. in N. F. t. 1, p. 530; Lambec. Animadv. in Codin. § 20; Jacobs in Anal. t. x, p. 44. Nilus Cabasilas Epist. ad Nic. Cabasilam: τὸν ὀλίγον χρόνον, ὃν μέλλεις ποιήσειν αὐτόθι, ἡγοῦ γυμνάσιον γνώμης. Theophil. Alex. Homilia « Cujus » rei homo similis », pag. 6: ἐποίησεν ὁ ἄνθρωπος καιρόν. Vertit

προβάλλεσθαι αὐτὸν βασιλέα τῶν Ὁμηριτῶν τὸν φιλόχριστον Ἀβραάμ, ἐν τῇ χώρᾳ ἐκείνῃ τριάκοντα καὶ τρεῖς ἡμέρας, ἅπαντά τε καλῶς διαθέμενος τὰ ἐκεῖσε, νυθελήσας τε πολλὰ τῷ νέῳ βασιλεῖ Ἀβραάμ, τὸ εὐσεβῶς διοικεῖν τὴν βασιλείαν, ὑπείκειν (1) τε καὶ πάντα ἐν ἅπασι καὶ (2) τῷ ἁγιωτάτῳ πατρὶ Γρηγεντίῳ. Ἐπιλεξάμενος δὲ καὶ ἀπὸ τοῦ στρατοῦ ὡσεὶ πέντε χιλιάδας ἀνδρῶν Αἰθιόπων, κατέλιπεν αὐτὸς χάριν παραφυλακῆς αὐτῶν (3).

Αὐτὸς δὲ ἐπὶ τὴν Αἰθιοπίαν ἀνέζευξεν, ἐν ᾗ καὶ διασωθεὶς ὁ εὐσεβέστατος, χάριν ὀφείλων (4) τῷ ἀγαθῷ Θεῷ, τὸ ἀποδοῦναι οὐ χρυσὸν, οὐκ ἄργυρον, οὐ λίθους τιμίους καὶ μαργαρίτας, ἀλλ' αὐτῷ καὶ μόνον ἐκαρποφόρησεν· ἀλλ' οὖν καὶ ὅλον ἑαυτὸν θυσίαν ἄμωμον καὶ λογικὴν λατρείαν προσήνεγκεν (5) τῷ ποιήσαντι, οὗπερ μεῖζον οὐκ ἴσμεν (6) θεὸν ἀπαιτεῖν ἕτερον τῶν ὑπηκόων αὐτοῦ.

Παραδοὺς γὰρ τὴν βασιλείαν αὐτοῦ τῷ ἰδίῳ υἱῷ Ἀθερφοβάμ, αὐτὸς ἐντείχινον σιχάριον (7) ἀναλαβό-

F. Morellus: « occasionem lucri » captavit. » Vertendum puto: » aliquod tempus fecit homo; » oratione etiam bene latina. Dixit enim Seneca optimus auctor Epist. 66, 4: « quamvis autem pau- » cissimos una fecerimus dies. » Ibi vid. Gronov.

(1) Codex, ὑπήκειν.

(2) Videtur nonnihil hinc excidisse.

(3) Conf. p. 60, n. 3, ubi est in numero varietas.

(4) Codex, ὠφιῆλον. Sed sunt et alia loci vitia. Ad rem ipsam conf. pag. 60, 14.

(5) Similis sententia Gregorii Naz. Orat. XLI, p. 674: καρποφορήσωμεν τῷ ὑπὲρ ἡμῶν παθόντι καὶ ἀνασάντι· χρυσόν με ἴσως οἴεσθε λέγειν ἢ ἄργυρον, ἢ ὑφάσματα, ἢ λίθους τῶν διαφανῶν καὶ τιμίων..... ..... καρποφορήσωμεν ἡμᾶς αὐτούς, τὸ ἡμιώτατον Θεῷ κτῆμα καὶ οἰκειότατον.

(6) Codex, οὐκεῖσμεν.

(7) Forsan ἐν τρίχινον. Est σιχάριον vestis monastica.

μενος (1), ἐπὶ τὸν Ὀφρὰ λεγόμενον βουνὸν (2), τὸν ταῖς νεφέλαις ἀμιλλώμενον τῷ οὐρανῷ μικρῷ δεῖν κατὰ τὸ εἰρημένον (3), ἐν ταῖς ἐρήμοις ὄντα, ἀναδραμὼν, ἐκεῖσε ἑαυτὸν ἐν σκοτεινῷ οἰκίσκῳ τῆς γῆς ἀποκλείσας παντάπασι, καὶ τὴν εἴσοδον τῷ σπηλαίῳ ἀποφράξας, πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῷ μήτε ἑωρακώς τινι, μήτε προσομιλήσας (4), τὸν ἰσάγγελον βίον ἐξετέλεσε, καὶ οὕτως ἐπορεύθη πρὸς Κύριον καθαρός τε καὶ ἄμεμπτος. Τροφὴν δὲ ἐδέχετο δι' ὀπῆς τινος παρὰ τῶν ἐκεῖσε οἰκούντων μοναχῶν, τιθοῦντος ταύτην τῷ ἐνερχομένῳ (5) ἀπὸ τῆς κατωτέρω βάνδ μονῆς καὶ ἑπείτα ὑποστρέφοντος.

Ἐν οἷς φέρεται τοιοῦτο, ὅτι ἐν τῷ μοναστηρίῳ ἐκείνῳ ἦν τις ἀδελφὸς νεώτερος· καὶ, ἀποστελλόμενος εἰς διακονίαν, πορευόμενος καὶ ἀδεῶς τῷ οἴνῳ ἐμφορούμενος, οὕτως εἰς τὸ μοναστήριον ὑπέστρεφεν. Μιᾷ δὲ τῶν ἡμερῶν, ποιήσαντος αὐτῷ κατὰ τὸ ἔθος καὶ διὰ τῆς ἐρήμου ἀπιόντος ἐπὶ τὸ μοναστήριον, ἐπὶ φάραγγά τινα αὐτὸν γενόμενον ὄφις εὐμεγέθης, ἀπὸ τῆς ἄλσους δρόμῳ πολλῷ ἐξελθών, κατεδίωκε τοῦ ἀνελεῖν αὐτόν. Ὁ δὲ, ἔνθεν κἀκεῖθεν φεύγων, λαθεῖν αὐτὸν οὐκ ἠδύ-

(1) Symeon Metaphrast. Actis Arethæ in cod. Coisl. 110 : τὸ μὲν διάδημα τὸ βασίλειον πέμψας (Elesbas rex) ἐν Ἱεροσολύμοις, ἐν τῷ τοῦ Χριστοῦ θείῳ καὶ ζωηφόρῳ ἀνέθετο μνήματι, αὐτὸς δὲ τρίχινον ἐνδὺς ἔνδυμα, καὶ νυκτὸς τῶν βασιλείων καὶ αὐτῆς ὑπεξελθὼν πόλεως, ἐφ' ἑνὶ τῶν ὀρέων ἄντικρυ ὑψηλῷ εἰς ἀνδρῶν ἀσκητῶν μοναστήριον.... Cf. pp. 60, 61, 62.

(2) Herodian. Epim. p. 102: ὄρος, ὁ βουνός. Vid. Salmas. De hellenist. p. 112.

(3) Respectu forsan ad verba Joannis Chrysost. in martyres Ægyptios, de deserto sanctis hominibus referto, p. 40 edit. Ingolst.: πρὸς τὸν οὐρανὸν ἡ ἔρημος ἤμιλλᾶτο, τὸ μὲ ἐκ τῆς ἀρετῆς τῶν οἰκούντων πολιτῶν.

(4) Forsan παρὰ, vel ἑωρακώς, μήτι νὶ προσομ.

(5) Forsan, ταύτην που, ἐπερχ.

νατο. Στενωθέντος δὲ αὐτοῦ, καὶ μὴ ἔχων ὅ τι καὶ δράσειεν (συνεῖχεν γὰρ αὐτὸν τοῦ καταφαγεῖν), εἰς ἔννοιαν ἐλθὼν περὶ τὸν μακάριον Ἐλεσβαὰν, ἐπιστραφεὶς ἔφη τῷ ὄφει· « Τὴν εὐχήν (1) σοι τοῦ ἁγιωτάτου καὶ δικαίου Ἐλεσβαᾶ τοῦ βασιλέως, ἀπόσηθι ἀπ' ἐμοῦ καὶ μηκέτι (2) με διώξῃς. » Ὁ δὲ ὄφις, αἰσχυνθεὶς τὸν λόγον ὃν ὤρκωσεν αὐτὸν ὁ ἀδελφὸς, ἔσπη. Καὶ ἀποκριθεὶς ὁ ὄφις, ἀνθρωπίνῃ φωνῇ λέγει πρὸς αὐτόν· « Ποίῳ τρόπῳ ἄρα καὶ φείσομαί σου, ὅτι ἄγγελος Κυρίου ἐκ τοῦ οὐρανοῦ λελάληκε πρός με τοῦ φαγεῖν σε, διὰ τὴν ἀκαθαρσίαν καὶ πορνείαν σου, καὶ ὅτι, συνθέμενος Κυρίῳ δουλεύειν αὐτῷ, περιάγεις μολύνων τὸ σῶμά σου καὶ παροργίζεις τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ Ἅγιον; » Τοῦ δὲ ἔτι ἑσπῶτος μὲν καὶ ἀκούοντος, καὶ ἐκπλησσομένου ὅτι ὡς ἄνθρωπος ἐλάλει αὐτῷ, αὐτὸς δὲ ὑπότρομος ὤν, ὡς τὸ πρότερον πάλιν ὥρκιζεν αὐτὸν καὶ μεθ' ὅρκου παρεκάλει φείσασθαι αὐτόν (3). Ἀποκριθεὶς δὲ πάλιν, ὁ ὄφις ἔφη πρὸς αὐτόν· « Ὄμοσόν μοι ὅτι οὐκ ἔτι πράξεις τὴν ῥυπαρὰν ἐπιθυμίαν, δι' ἣν ἡ πρώτη πλῶσις τῷ κόσμῳ γέγονεν, καὶ ἀπαλλάσσομαί σου. » Ὁ δὲ ἀδελφὸς ὤμοσεν, εἰπών· « Μὰ τὸν ἐν οὐρανοῖς κατοικοῦντα Θεὸν, καὶ τὴν εὐχὴν τοῦ τιμίου καὶ ἁγίου βασιλέως Ἐλεσβαᾶ, οὐκ ἔτι παροργίζω μου τὸν κύριον, ὃν μέχρι τοῦ νῦν κακῶς ἐπαρώργισα

(1) Ellipsi voculæ μὰ, infra legendæ in eadem formula.

(2) Cod. μὴ κέπ. Et sic sæpius. Elmsleyus ad Med. 406 : « præ- » stare videtur οὐκέτι, nisi scriba- » mus etiam μήκ ἔπ. » Non multum, puto, tribuisset isti librario.

(3) Ita codex. Male abuti recentiores accusativo monui t. III, p. 146, n. 3. Apophth. Patrum in Monum. Cotel. t. I, p. 561 : περίσχε πάντοτε τὰς ἁμαρτίας σου. Quod non tentabo in tali libro. Notandum tamen solœcismo carere codicem 2408, ubi ταῖς ἁμαρτίαις.

πορνεύων ϗ ἀσωτεύων.» Ἐγένετο δὲ ἡνίκα τὸν λόγον τοῦ μοναχοῦ ἤκουσεν ὁ ὄφις, θαῦμά τι γέγονε μέγα ϗ παράδοξον· πῦρ γὰρ πεσὸν ἐκ τοῦ οὐρανοῦ κατέφαγε τὸν ὄφιν ἐνώπιον τοῦ ἀδελφοῦ. Ὁ δὲ φόβῳ ϗ τρόμῳ ληφθεὶς, τρέμων ἀνεχώρησεν εἰς τὸ μοναστήριον αὐτοῦ, ϗ οὐκ ἔτι προσέθετο τοῦ (1) ἁμαρτάνειν ἐνώπιον Κυρίου, ἀλλ' ἐτελεύτησεν ἐν μετανοίᾳ.

Καὶ ταῦτα μὲν περὶ τούτου· ὁ δὲ μακαριώτατος Γρηγέντιος, μετὰ τὸ ἀναχωρῆσαι τὸν εὐσεβέστατον βασιλέα Ἐλεσβαὰν, μεταπεμψάμενος τοὺς πρεσβυτέρους πάντας πασῶν τῶν ἐκκλησιῶν ϗ τοὺς λογικωτέρους ἐξ αὐτῶν ἐπιλεξάμενος, κατὰ πόλιν ἐπίσκοπον χειροτόνησε, κελεύσας, ἅμα τῷ τιμιωτάτῳ βασιλεῖ Ἀβραὰμ, πάντας τοὺς ὑπὸ τὴν ἐξουσίαν αὐτῶν χρηματίζοντας, ἢ, καταλιπόντας τὴν ματαίαν αὐτῶν θρησκείαν, βαπτίζεσθαι, ἢ, ἐμμένοντας, κεφαλικῇ τιμωρίᾳ ὑποπεσεῖν.

Τούτου τοιγαροῦν τοῦ προστάγματος (2) ἐξελθόντος, ἦν ἰδεῖν πάντας σὺν γυναιξὶν αὐτῶν ϗ τέκνοις ἐπισπεύδοντας ἐπὶ τὸ θεῖον λουτρὸν τῆς παλιγγενεσίας, ϗ δι' αὐτοῦ προσερχομένους τῷ Χριστῷ. Ἐβάπτιζον γὰρ πάντες οἱ ἐπίσκοποι πάντας τοὺς προσερχομένους αὐτοῖς κατὰ πᾶσαν πόλιν μετὰ καθαρᾶς προαιρέσεως· ϗ ἐφωτίζοντο (3) ὁ λαὸς, ϗ πολλαὶ ζημίαι ἐγίνοντο τῷ διαβόλῳ.

(1) Ita codex. Sæpe genitivo articuli sic auctor abutitur. Cf. pag. 78. Apophthegmata Patrum de Timotheo: ὁ προσθήσω ἔτι τοῦ πορνεύειν. Vita Nili Jun. p. 95: ὡμολόγησα τῷ Θεῷ τοῦ γενέσθαι μοναχός.

(2) Codex, πράγματος. Mox, καθὼς ἐξῆλθε τὸ δόγμα.... κατὰ τὸ πρόσταγμα.

(3) Verbum est proprium, quum sæpe baptismus φώτισμα dictus fuerit. Vide t. IV, p. 301.

Τούτων οὕτω γινομένων, καὶ φωτιζομένων πολλῶν καὶ εἰς ἐπίγνωσιν ἀληθείας αὐτομολούντων (1), συναχθέντες δὲ οἱ ἰουδαῖοι ἐκ πάσης πόλεως τῆς ὑπὸ τὴν βασιλείαν ἐκείνην, καὶ, πρὸς ἑαυτοὺς συναθροισθέντες, συμβούλιον ποιήσαντες (2), ἔφασκον πρὸς ἀλλήλους· « Τί ποιήσομεν ἡμεῖς οἱ περιλειφθέντες (3); ὅτι, ἐὰν μὴ βαπτισθῶμεν καθὼς ἐξῆλθε τὸ δόγμα τοῦ βασιλέως, ἀποκτενοῦσιν ἡμᾶς οἱ σατράπαι αὐτοῦ, κατὰ τὸ πρόσταγμα ὃ παρ' αὐτοῦ εἰλήφασιν; » Ἀπορούντων δὲ αὐτῶν περὶ τούτων, οἱ μὲν ἔφασκον ὅτι, « Ποιήσωμεν τὸ θέλημα τοῦ βασιλέως, ἵνα μὴ ἀποθάνωμεν ἀώρως, καὶ ἐν τῷ κρυπτῷ πάλιν κρατῶμεν τὴν πίστιν ἡμῶν· » οἱ δὲ ἔλεγον· « Ἀλλ' οὖν, κἂν τοῦτο δράσωμεν, οὐ βλέπει ὁ Θεὸς (4) ὅτι πατοῦμεν τὸν νόμον αὐτοῦ; καὶ αὐτὸς ἐκδικήσεων ὑπάρχων (5) ἀνταπόδομα ἀνταποδώσει (6) ἡμῖν, καὶ πάντες μειζόνως ἀπολώμεθα. » Ἄλλοι ἔλεγον· « Ὡς ἔοικεν, οὐ χρείαν ἔτι ἡμῶν ὁ Θεὸς ἔχει ἀπάρτι, ὅτι τὸν εὐσεβῆ βασιλέα ἡμῶν Δουναὰν ταῖς χερσὶ τοῦ Ἐλεσβαᾶ παραδέδωκεν ἀποκτανθῆναι μετὰ τοῦ στρατοπέδου αὐτοῦ.

(1) Epist. I ad Tim. II, 4 : ὃς (θεός) πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

(2) Loquutio biblica.

(3) Codex, ποιήσωμεν... περιληφθ... Symeon Sethi De Ichnel. pag. 8 : κατελήφθη περαιτέρω προχωρεῖν μὴ δυνάμενος. Leg. κατελείφθη. Ibid. p. 356 : ἐπίλεξαι τῶν δύο ὃ προαιρῇ, ... ὡς ἂν καὶ ἡ γυνὴ ἡ ἑτέρα λάβῃ τῶν δώρων τὸ καταληφθέν· imo καταλειφθέν. Ibid. p. 486 : κατελήφθη ἠπορημένος· et hic κατελείφθη reponendum esse videtur. Dionysius Halicarn. De Thucydid. § 5 : προσεπέδωκε τὰς παραληφθείσας ὑπὸ τῶν πρὸ αὐτοῦ συγγραφέων ἀρετάς. Vel cum Dudithio παραλειφθ. legerim, vel παραληφθείσας ἀπὸ τῶν... « quas » acceperat ab superioribus. »

(4) Psalm. XCIII, 7 : καὶ εἶπαν· οὐκ ὄψεται Κύριος.

(5) Forsan deest θεός. Psalm. XCIII, 1 : θεὸς ἐκδικήσεων Κύριος.

(6) Psalm. XCIII, 3 : ὑψώθητι

Δεῦτε οὖν, εἰ βούλεσθε, λάθρᾳ λαβόντες τὰ ἡμῶν, εἰς καθεξῆς ἐξέλθωμεν ἐκ τῶν χώρων τούτων, ἵνα μὴ σὺν τοῖς σώμασι καὶ τὰς ψυχὰς ἀπολέσωμεν.» Ἕτεροι εἶπον· «Ἐὰν βουληθῶμεν ἀναχωρῆσαι ὃν τρόπον εἰρήκατε, καὶ γνώσονται ταῦτα οἱ χριστιανοί, ἃ μέλλουσιν εἰς ἡμᾶς ἐνδείξασθαι καὶ πάντως ἐπίστασθε (1).»

Εἷς δέ τις ἀπ' αὐτῶν τὄνομα Ἐρβὰν (2), ἀνὴρ νομοδιδάσκαλος, λόγιος καὶ πανοῦργος πάνυ, ἐστιάμενος εἰσάπαξ τὴν παλαιὰν σφόδρα, μετέχων τέ τινα καὶ ἀπὸ τῆς ἔξω παιδείας, ἀποκριθεὶς ἔφη πρὸς αὐτούς· «Ὑμεῖς ἅπαντες καινὰ ἐμελετήσατε τὰ μηδὲν ὠφελοῦντα, καὶ εἰς μέσον παρατεθέμενοι (3). Εἰ τοίνυν προσέχετέ μοι, δεῦτε καὶ ἐρῶμεν τῷ βασιλεῖ καὶ Γρηγεντίῳ τῷ ἐπισκόπῳ παρασχέσθαι ἡμῖν τοὺς βουλομένους ἅμα ἡμῖν διαλεχθῆναι, ὅπως, εἰ μὲν πείσωσιν ἡμᾶς εὐλόγως, γινώμεθα ἅπαξ καὶ πεῖραν χριστιανοί, εἰ δὲ οὐ πείσωσι, γνώσονται καὶ ἐκεῖνοι ὅτι τέως καὶ τὰ τυραννίδα βιάζονται ἡμᾶς ἀποστῆναι τῆς πίστεως ἡμῶν (4)· καὶ γνώσομεν καὶ ἡμεῖς ὁποία ἐστὶν ἡ πίστις αὐτῶν· καὶ, εἰ μὲν ἀληθής ἐστι, πιστεύσωμεν (τί γὰρ οἴδαμεν μή ποτε πολλάκις (5) ἦλθεν ὁ Μεσιὰς, καὶ οὐκ ἐγνωμεν ἡμεῖς;)· εἰ δέ γε ψεύστης ἐστὶν,

ὁ κρίνων τὴν γῆν· ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις.

(1) Cod. πάντως ἐπίστασθαι. Mox, προσέχετε.

(2) Gulonius latine hunc hominem vocavit Herbanum, cujus nomen sine aspiratione in codice scriptum reperi. Est etiam Ἐρβὰν in codice Leidensi apud Fabricium Biblioth. Græc. t. x, pag. 116.

(3) Videtur deesse nonnihil. Ac pro καινὰ malim κενά: quæ permutatio est frequens. Vide t. IV, p. 284, n. 5.

(4) Codex, ὑμῶν.

(5) Est πολλάκις pro ἴσως, *forte*. Cf. pag. 26, n. 2.

τέως γνωσώμεθα ὅτι διὰ τὸν Θεὸν ἀποθνήσκομεν καὶ μετὰ πεθυμίας ἀσπαζόμεθα τὸν θάνατον. »

Ταῦτα αὐτοῦ εἰρηκότος, ἐθεμήθησαν ἅπαντες, καὶ λέγουσιν τῷ Ἐρβὰν, ὡς « Ὁρῶμεν ὅτι τῶν χειλιανῶν καὶ αὐτὸς πεπίσλασαι. Οὐκ οἶδας ὅτι ἡ πίσλις ἡμῶν ἀληθής ἐσλι; καὶ πῶς αὐτὴν καταλείψομεν; » Ἐρβὰν ἔφη· « Οὐδέν, ἀδελφοὶ, πονηρὸν λελάληκα· ὁρᾶτε γὰρ ὅτι κἂν ὕτως, κἂν ἑτέρως, ἀναγκάζωσιν ἡμᾶς τὸ βαπλισθῆναι. Εἰ οὖν ὑκ ἀκούετέ μυ, ἀθῶος εἰμὶ ἀπὸ ἑκάσλου ὑμῶν. Πάντως γὰρ, κἂν οὐ πιεράσητε τὴν πίσλιν αὐτῶν, κὴ ἐκτὸς πειρασμοῦ πισλεύσητε, ἐποιήσατε ὡς ἐκεῖνοι ἐκέλευσαν· εἴ τε ὐ πισλεύσετε, γινώσκετε ὅτι ἀποκτενοῦσιν ἡμᾶς καὶ ἀποθνήσκομεν. » Καὶ ταῦτα εἰπόντος τοῦ Ἐρβὰν ὑπήκουσαν.

Τοιγαροῦν ἅπαντες καὶ πάντα τὰ ῥήματα αὐτῶν ὠν πιτλακίῳ ἀναθέμενοι, ἐπέδωκαν τῷ βασιλεῖ. Ὁ δὲ βασιλεὺς, λύσας κὴ ἀναγνοὺς τὸ δοθὲν αὐτῷ πιττάκιον, ἐθυμώθη κατ' αὐτῶν τὸ ἀνελεῖν αὐτύς. Ὅμως μέντοι ἀνεὶς ὀλίγον, προσκαλεσάμενος τὸν ἀρχιεπίσκοπον, ἐπέδωκεν αὐτῷ τὸ πιτλάκιον. Ἀναγνὺς δὲ αὐτὸ ὁ μακάριος ἅγιλα ἔχειν τὔτο ὑπέλαβε, καὶ λέγει τῷ βασιλεῖ· « Καλῶς φάσκυσιν οἱ ἰυδαῖοι ὅτι τὸ ἐκ προαιρέσεως πισλεύειν μεῖζον ἐσλὶν τὔ κατὰ βίαν. Ἔασον αὐτὺς πρὸς τὸ παρὸν διαλεχθῆναι ὡς ὀρέγονται, κὴ, ὁπόταν πείσωμεν αὐτὺς κὴ ὐκ ἀνέχωνται τὔ βαπλισθῆναι, τηνικαῦτα ἐπέξελθε αὐτοὺς, ὡς κελεύει ἡ ἐν Χριλῷ βασιλεία συ. » Ταῦτα ἀκούσας ὁ βασιλεὺς δέδωκεν αὐτοῖς διωρίαν (1), μέχρι τεσσαράκονλα ἡμερῶν, ἵνα,

(1) Sic codex. Melius fuerit διορίαν. Vide not. ad Andreopuli Syntipam p. 177.

ἐνταῦθα διασκεψάμενοι, ὅσπερ βούλοιντο ἐπιλεξάμενοι, εἰς διάλεξιν ἐκπέμψωσιν πρὸς αὐτόν.

Τούτων τοιγαροῦν πορευθέντων, καὶ ἐν πάσαις ταῖς πατριαῖς (1) αὐτῶν ἐρευνώντων τοὺς ὀφείλοντας ἀθροισθῆναι, καὶ τὰ πρὸς τὴν διάλεξιν τῷ βασιλεῖ συναντῆσαι (2)· πληρουμένης οὖν (3) τῆς ὁριστείσης προθεσμίας, ὁ μακαριώτατος Γρηγέντιος τοιαύτας συμβουλίας ἐδίδου τῷ δικαίῳ καὶ εὐσεβεστάτῳ βασιλεῖ ἐν τῷ τοῦ κοινοῦ ἐπιμελεῖσθαι (4) καὶ εὐσεβῶς τὰς διατάξεις εἰσπράττεσθαι. «Κέλευσον», φησίν, «ὦ δέσποτα, κατ' ἐκλογὴν τιμίαν ἑκάστῳ ῥεγεῶν ἄρχοντι (5) ἐπιδοθῆναι, ἐν πρώτοις ταύτῃ τῇ βασιλευούσῃ πόλει τῶν Ὁμηριτῶν, καὶ εἶθ' οὕτως καὶ ταῖς ἑτέραις ἁπάσαις πόλεσι τῶν οὐσῶν ὑπὸ τὴν βασιλείαν σου διὰ τῶν προσόντων αὐτοῖς μεγιστάνων· καὶ ὁπόταν ταῦτα γένηται, τὸ τηνικαῦτα ἐκθώμεθα (6) αὐτοῖς ἐγγράφως ὁποῖα ὀφείλωσι παραφυλάττεσθαι.»

Τοῦ οὖν βασιλέως ἀριθμήσαντος ἐν πρώτοις τὴν βασιλεύουσαν πόλιν Νεγρὰν εἰς τριακονταὲξ ῥεγεῶνας, παραυτὰ κατέστησεν ἀνὰ ἑκάστῳ ῥεγεῶνι τοὺς λεγομένους γειτονιάρχας (7) τὸν ἀριθμὸν τριακονταὲξ, καὶ προσέταξεν ἕνα ἕκαστον αὐτῶν ἔχειν τὸ ἴδιον

(1) Hesychius: πατριαὶ, φυλαί.

(2) Cod. συναντίσαι. Modo pro καὶ τὰ, forsan legendum fuerit καὶ εἶτα.

(3) Sic codex.

(4) Codex vitiose, κεινοῦ ἐπιλεῖσθαι. Pro ἐν legi malim ἐπί.

(5) Codex, ρεγεῶν. Forsan reponendum ἐκ. ῥεγεῶνι ἄρχοντα. Herodianus Epim. p. 118: ῥεγεὼν, μέρος τῆς πόλεως, καὶ κλίνεται ῥεγεῶνος. Est latinum *regio*.

(6) Codex, ἐκθέμεθα.

(7) Cangius Gloss.: ῥεγεωνάριος, γειτονιάρχης· et Hesychium auctorem affert; sed habet Hesychius γειτονίαρχος. Est ergo ῥεγεῶνι synonymum γειτονία, qua voce mox scriptor utetur. Vide Reisk. ad Constant. De cerem. p. 157 C.

σέκρετον (1) ἐν τῇ λαχούσῃ αὐτῷ γειτονίᾳ, μέσον τῆς ἀγορᾶς, ἀναγράψῃς τὰς οἰκίας ἁπάσας ὅσπερ ἐπικρατοῦσι κελεύσας κεκτῆσθαι, ἵνα ἐπίστανται ἕως τίνος ἕκαστος αὐτῶν ἐξουσιάζει (2), καὶ μὴ περιπλανῶνται ἕτερος εἰς ἑτέρου γειτονίαν παρακύπτειν καὶ διατάττεσθαι. Καὶ, τοῦτο γενόμενος, στρατεύσας τακτεώτας (3), ἀνὰ ἓξ καὶ δέκα στρατιωτῶν παρεκτέσπεσεν ἔχειν εἰς ὑπηρεσίαν. Καὶ, τούτων ἑτοιμασθέντων, προσέταξεν ὁ βασιλεὺς τοῦ λαμβάνειν (4) ῥόγας (5) τε καὶ φιλοτιμίας καὶ ἀνόνας, καὶ πράττειν καλῶς μετ' εὐλαβείας καὶ φόβῳ Θεοῦ· παρστάξας τῷ μακαριωτάτῳ Γρηγεντίῳ ἀνάγραπτον διάταξιν ποιήσασθαι καὶ παρασχεῖν αὐτοῖς, εἰς τὸ ἀκριβῶς ἐπίστασθαι τίνα ὀφείλωσιν παρφυλάξασθαι.

Καθεσθεὶς δὲ ὁ μακάριος ἐν ἡσυχίᾳ, ἀπήρξατο συντάττειν τὰ προσταχθέντα αὐτῷ.

Ὁ δὲ βασιλεὺς γηροκομεῖα, καὶ νοσοκομεῖα καὶ πτωχοτροφεῖα, καὶ ξενῶνας διὰ τάχους πεποίηκε, πολλὰ ἐν αὐτοῖς θησαυρίσας. Τάς τε γὰρ εἰσόδους τῶν μεγάλων ἐκείνων προαστείων, ἅπερ ἦν συστησάμενος Δουναὰς ὁ τῶν ἑβραίων βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ, λόγῳ αὐτῶν (6) πάντας τοὺς πένητας καὶ τοὺς

(1) Glossæ juris p. 108 Labbei : *σίκρετον*, *δικαστήριον*. Vide Cotel. Monum. t. 1, p. 752.

(2) Codex, *ἐξουσιάζειν*.

(3) Forsan *στανίσας*: « con- » stituens officiales. » Sibi *στανῶ* potuerunt a latino *statuo* recentiores fingere, vel a suo *στῶ*, sensu veteribus incognito.

(4) Conf. p. 78, n.

(5) Est *ῥόγα* *roga*, *merces*, *stipendium*. Vide Coray. Atact. t. 1, pag. 155, 196; Montefalc. Anal. Græc. p. 256. Quod sequitur *ἀνόνας* esse latinum *annonas* quis non videt?

(6) *αὐτῶν*, nempe *τῶν εἰσόδων*. Est in *τὰς εἰσόδους* ellipsis præpositionis *περὶ*, ni sit forsan aliqua lacuna.

ἐν ἀνάγκαις γηραιούς τε καὶ ἀδυνάτους, χωλούς τε καὶ τυφλούς, πλουσιοπαρόχως ἐν αὐτοῖς ἐθεράπευέ τε καὶ ἐπανέπαυε (1), ῥόγας ἀνὰ πᾶν ἔτος παρέχων (2) αὐτοῖς καὶ ἐνδύματα καὶ σῖτον καὶ οἶνον καὶ ἔλαιον καὶ ὀπώραν, καὶ πᾶν εἶδος ἀγαθῶν (3), ὥστε κατὰ τὸ ὄνομα καὶ ἡ αἴνεσις. Τὸν γὰρ πατριάρχην δεύτερον Ἀβραὰμ ἐκάλουν (4), καὶ τὸν βασιλέα δεύτερον Ἰώβ, διὰ τὴν φιλοξενίαν αὐτοῦ καὶ τὴν εὐποιΐαν τὴν ἀπλήρωτον. Ἐπιτελῶν γὰρ τὰς μνείας τῶν ἁγίων, δύο (5) τραπέζας τίθεσθαι προσέταττε, μίαν μὲν πενήτων, καὶ ἑτέραν τοῖς μεγιστᾶσιν αὐτοῦ. Ἐν δὲ τῇ ὥρᾳ τοῦ ἀρίστου ἐν τῇ τραπέζῃ τῶν πενήτων ἑκάστοτε ἀνακλινόμενος ἤσθιεν, ἑνὶ ἑκάστῳ παρέχων πλουσιοπαρόχους δωρεάς. Πᾶς δὲ ἄνθρωπος, ὃς ἐὰν παρεγένετο αἰτῶν ἐπ' ἀγαθῷ, εὐθέως ὑπήκουε καὶ ἐδίδου μετὰ προθυμίας. Ὥστε ἐν ταῖς ἡμέραις τῆς αὐτοῦ βασιλείας πένητα μήτ' εἶναι ἐν οἷς ἐβασίλευεν, μήτε τὸν ἀδικοῦντα, κατὰ τὸ γεγραμμένον, ἢ τὸν ἀντιδικοῦ-

(1) Codex, ἐπανέπευε.

(2) Codex, παρέχεν. Ducit me memoria ad scriptorem longissime hinc remotum et alienissimum Aristophanem. Jubet Chorus, Ran. 358, procul esse ab sacris profanos omnes, eumque qui... Ἢ χρήματα ταῖς τῶν ἀντιπάλων ναυσὶν παρέχειν τινὰ πείθει. Codex 2712, παρέχων, quod pro vulgata lectione nemo amplectetur. Mox Chorus: Τούτοις αὐδῶ καὖθις ἀπαυδῶ καὖθις τὸ τρίτον μάλ' ἀπαυδῶ Ἐξίστασθαι. Sed displicet αὐδῶ, quum ter ἀπαυδῶ requiri videatur. Codex idem: Τούτοις μὲν ἀπαυδῶ κ. ἀπ. καὖθίς γε τρίτον ἀπ. Legerim: Τοῖς μὲν ἀπαυδῶ κ. — Habet μὲν oppositum ὑμεῖς δ', quod sequitur.

(3) Codex, ἀγαθόν. Conf. p. 65.

(4) Abrahami hospitalem aninum cognoscimus ex narratione Geneseos XVIII; et de Jobo vide Job. XLII, 11. Cf. tom. II, pag. 146, n. 2, ubi regi tribui quod de Gregentio fuit dictum. Et certe sic malim esse, permutatis nominibus Ἀβραὰμ et Ἰώβ. Abramius opportunius dicetur alter Abraham.

(5) Codex, διά.

μενον (1). Ἐφίμωσέν (2) τε ὁ Θεὸς καὶ πᾶν ἔθνος ἀπὸ τῶν περικύκλῳ αὐτοῦ. Καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ πόλεμος οὐκ ἀνέσπη, ἀλλ' εἰρήνη βαθεῖα καὶ χαρὰ καὶ εὐφροσύνη, καὶ ἐπιμέλεια πενήτων, καὶ χηρῶν περασπισμὸς καὶ ὀρφανῶν, καὶ δικαιοσύνης ἀφάτου καὶ ἑορτῶν πνευματικῶν, καὶ ἐκκλησιῶν ἡ κατάσπασις ὑπερβαλλόντως.

Τὸν δὲ λεπτὸν (3) νόμον, ὅνπερ ὁ ἅγιος Γρηγέντιος συντέταχεν ὡς ἀπ' αὐτοῦ τοῦ βασιλέως, περιθέμην περιθῆναι τῇ διηγήσει ταύτῃ. Ἔστι δὲ οὕτως·

ΤΟΥ λυτρωτοῦ ἡμῶν καὶ παντοδυνάμου Θεοῦ δι' ἄφατον ἀγαθότητα καὶ πολλὴν φιλανθρωπίαν ἐπισκεψαμένου τὴν ἡμῶν εὐτέλειαν, καὶ ἐξεγείραντος ἡμᾶς εἰς τὸ ἐπ' ἄκρον ὕψος τῆσδε τῆς περιφανεστάτης καὶ αὐτοκρατορικῆς ἐξουσίας, ὅδε ἐν τούτῳ δεῖ ἡμᾶς ἐν ἀχαριστίᾳ διαμεῖναι τὰ περὶ τὸν εὐεργέτην, ἀλλ' οὖν, κατὰ τὸ ἐφικτὸν ἡμῖν τε καὶ ἐπέρασπον καὶ δυνατόν, ἀποθεραπεῦσαι αὐτόν. Οὔτε γὰρ διὰ τὴν τιμὴν καὶ τὴν δόξαν (τίποτ' ἂν χρεωστοῦν ἡμῖν;) ἁπλῶς ἡμᾶς ἐξήγειρε, δοὺς ἡμῖν τὸ τῶν Ὁμηρειτῶν περιφανέστατον κράτος, ἀλλ' ἵνα σαφῶς, ὑπήκοοί τε γενόμενοι τῶν ἀρεσάντων αὐτοῦ προσταγμάτων, μετὰ φόβου καὶ τρόμου καὶ χαρᾶς τὰ παρ' αὐτοῦ ἡμῖν κελευόμενα

(1) Forsan *ἀδικούμενον*, permutatione facili, de qua cf. t. III, p. 308. Judicet qui dicti fontem repererit.

(2) Cod., *ἐφήμωσεν*, permutatis η et ι. Epistolæ Socrat. 30, p. 37: *Λαδίκη καὶ Χαράτλῃ τὴν Ἀμβερικὴν χώραν ἐγχειρήσειν*. Repono e cod. 3054, quod et Bremius conjecit, Λ. δὲ καὶ Χ... ἐγχειρήσειν.

(3) Etsi sensus constet, quum hæc esse abruptiora videantur, suspicor inter *ὑπερβαλλόντως* et *τὸν* esse lacunam, præsertim quum *ὑπερβαλλόντως* finiat folium. Pro *λεπτὸν* forsan *σαφῆ* legendum fuerit.

ὲν συντομίᾳ ἐπιτελέσωμεν, ἑαυτοὺς, ὡς οἶμαι, διὰ τῆς τοιαύτης ἐγχειρίσεως εὐεργετοῦντες τὰ μέγιστα, οὐ μόνον δὲ ὲν τῷ νῦν αἰῶνι, ἀλλά γε καὶ ὲν τῷ μέλλοντι. Διαμαρτυράμενος γὰρ ὁ Θεὸς τῷ Μωϋσῆ τὰ προστάγματα αὐτοῦ καὶ τὰ δικαιώματα τῷ χειρῷ τῆς ἐξόδου αὐτοῦ τῆς ἐξ Αἰγύπτου, τάδε ἐπὶ τοῦ λαοῦ εἰρήκει πρὸς αὐτόν (1)· « Ἐὰν ἀκοῇ ἀκούσῃ τῆς φωνῆς κυρίου τοῦ Θεοῦ σου καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιήσῃς, οὐκ ἐπάξω ἐπὶ σὲ πᾶσαν νόσον ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις. » Διὰ ταῦτα τοιγαροῦν, ἵνα μὴ καὶ ἡμεῖς πειραθῶμεν ὡς οἱ Αἰγύπτιοι τῆς δικαίας αὐτοῦ ἀπειλῆς, μετὰ φόβου ἐπιτελέσωμεν αὐτοῦ τὰ δικαιώματα.

ΑΡΧΗ ΤΟΥ ΝΟΜΟΥ.

Κεφ. α'. — Τοίνυν πρωτάτιει ἡ γαληνότης τῆς ἡμετέρας εὐσεβείας πρὸς τοὺς τὴν ἀρχὴν τῶν γειτονιῶν τῆσδε τῆς πόλεως τῶν πόλεων βασιλευούσης ἐμπεπιστευμένους μετ' ἐξουσίας Φρικωδεστάτης κατόρθωσιν μεγίστην ὲν ταύτῃ γεγενῆσθαι, ὲν πρώτοις ὲν τῇδε τῇ βασιλευούσῃ τῶν πόλεων ἐμπεπιστευμένους (2), καὶ εἶθ' οὕτως εἰς πᾶσαν πόλιν καὶ χώραν τὴν ὑπὸ τὴν ἡμετέραν βασιλείαν χρηματίζουσαν. Προστάττομεν δὲ τοῖς τοῦ κράτους ἡμῶν ὑπηκόοις τοῖς ὲν ἀκριβείᾳ τοῦ παραφυλάττεσθαι καθεζομένους τῇ πρεπούσῃ τιμῇ ἐν τοῖς δεδωρημένοις ὑμῖν παρὰ τῆς ἡμετέρας γαληνότητος ἀγωγαίοις τόποις. Ὁρᾶτε (3)

(1) Cf. Exod. xv, 26.

(2) Puto ἐμπεπιστευμένους esse delendum, quum male repetitum e superioribus versibus videatur.

(3) Locus non valde nitidus. Codex, ἀκριβεία, ὁρᾶτε. Jungen-

οὖν ἐν ἀσφαλείᾳ τὸ κοινὸν, τὰς πλατείας τῆς πόλεως, τὰς ῥύμας, τὰ καθαροποτία (1), τοὺς οἴκους, τὰ ὠνούμενα πάντα, ἄρτον τέ φημι καὶ οἶνον καὶ ἔλαιον καὶ πᾶν εἶδος (2). Καὶ ἕκαστος τὸν λαχόντα αὐτῷ ῥεγεῶνα ἀκριβῶς τηρείτω. Ἕτερον γὰρ εἰς τοῦ πλησίον (3) αὐτοῦ τὴν διοίκησίν τε καὶ ἐπικράτειαν οὐδὲ παρακύψαι προστάττομεν, ἀλλ' ἕκαστον ὁρίζομεν τηρεῖν τὸ ἑαυτοῦ (4).

ΚΕΦ. β'. — Σκοπητέον οὖν μὴ γενέσθαι φόνον. Ἄν τε καὶ γένηται, συλλαμβάνοντες τὸν ποιήσαντα, εὐθέως τῇ μείζονι ἐξουσίᾳ παραδοῦντες καὶ ἐν τῷ πραιτωρίῳ παραπέμπειν. Ὁρᾶτε μὴ γένηται μοιχεία, αἱμομιξία, κτηνοφθορία. Εἰ δὲ καὶ τολμηθῶσι πώποτε, τῷ πραιτωρίῳ αὐτοὺς παραπέμπετε.

ΚΕΦ. γ'. — Ὁρᾶτε μὴ γένηται ἡ τῶν Σοδόμων ἀσέλγεια. Εἰ δὲ καὶ φωραθείη τις, συλλαμβάνοντες τὸν τοιοῦτον, τῷ ὑπάρχῳ παραπέμπετε (5), ἵν' ἐκεῖνος τὰ κατὰ νόμον Κυρίου διεξέρχηται αὐτούς· δίκαιον γάρ ἐστιν ἀποκτένεσθαι αὐτοὺς, ἵνα μὴ ζῶντες τῷ μιάσματι τῆς ἁμαρτίας καὶ βδελυγμίας αὐτῶν, ἵν' οὕτω εἴπω, μιάνωσι καὶ ἄλλας ψυχὰς ἀμιάντους ἀθώων

dum προστάττομεν τοῦ παραφυλάττεσθαι. Sic p. 74, 9; προσέταξεν τοῦ λαμβάνειν. Conf. p. 69, n. 2. Post καθεζ. deest forsan ὑμᾶς, saltem mente supplendum videtur. Nam eum esse loci sensum opinor: « Jubemus autem ut subditi potentiæ nostræ, si diligentes sint, revereantur sedentes vos eo quo par est apparatu in publicis quæ Mansuetudo mea vobis tribuit locis. Inspicite.... »

(1) Cauponia, in quibus vinum purum potui præbetur, œnopolia.

(2) Εἶδος est hic quidvis alimentum. Andreopulus De Syntipa p. 26: ἐάν τι ῥυπῶδες ἑώρα εἴς τι τῶν ἐσθιομένων ἢ εἴς τι τῶν πινομένων εἰδῶν, οὐδόλως αὐτοῦ μετελάμβανε.

(3) Codex; εἰς τὸν πλ.

(4) Cf. pag. 74, 5.

(5) Codex, παραπέμπεται.

ἀνθρώπων, καὶ τὴν ὀργὴν τοῦ Θεοῦ (1) ἐφ' ἡμᾶς διὰ τῆς ἀκαθαρσίας αὐτῶν κατενέγκωσιν.

ΚΕΦ. δ'. — Ὁρᾶτε μὴ ἔσω γραφεῖα ἢ φαρμακεία καὶ ἑταιρίδια. Ἀλλ', εἴ τε καὶ φωραθεῖεν ποτὲ, τῷ πραιτωρίῳ τὸν ταῦτα δρῶντα αὖθις (2) παραδότε, ἵνα πρὸς οἱ ταῦτα δρῶντες κατακαίωνται. Ὁρᾶτε μὴ ἔσω γραπτεία ἢ ψευδομαρτυρία. Εἰ δὲ καὶ τολμηθεῖεν ποτὲ, παραπεμπόμενος οὗτος τῇ ἐξουσίᾳ, τὸ ἄκρον τῆς γλώττης αὐτοῦ ἀποτεμνέσθω.

ΚΕΦ. ε'. — Ὁρᾶτε ἐγρηγόρσει πολλῇ, καὶ παρατηρητέον τοὺς κλέπτας καὶ τοὺς ὑποδεχομένους καὶ λαμβάνοντας ἀπ' αὐτῶν. Ἐν πρώτοις ἀνὰ πεντήκοντα διπλῶν (3) αὐτοὺς διεξέρχεσθαι (4)· εἶτα σημείῳ τινὶ, ἤγουν σφραγῖδι σιδηρᾷ σφραγίσαντες πεπυρακτωμένῃ ἐπὶ τοῦ μετώπου, οὕτω δημεύσαντες ἀχίτωνα ἀπολύετε, παραγγέλλοντες αὐτῷ· « Πρόσεχε σεαυτῷ, ἀδελφέ· μηκέτι κλέψῃς, ἵνα μὴ χραῖνθεὶς ἐπὶ μείζονι ἐλεύσῃ τιμωρίᾳ. » Ἐὰν δὲ καὶ μετέπειτα ὁ τοιοῦτος χρατηθῇ ἐπὶ τῇ τοιαύτῃ αἰτίᾳ (κατάδηλον γὰρ τὸν τοιοῦτον καὶ ἐν τῷ μετώπῳ πρότερον γεγενῆσθαι σφραγὶς ἀναποτελέσειεν), τῷ ὑπάρχῳ ἀπαγέσθω, καὶ νευρότμητον τὸν ἀριστερὸν πόδα αὐτοῦ ἀποτελεῖτε, ἵνα,

(1) Conf. p. 82, n. 3.

(2) Forsan αὐθύς.

(3) Διπλαῖ sunt fustes. Perspicuus est locus quem adtulit Cangius in Glossario; sed, ut solet, mendis inquinatum descripsit, quæ tollam : τῇ δὲ ἑξῆς ἐξαγάγητε αὐτὸν, καὶ πυθόμενοι ὡς εὕρισκον οὐδὲν ἐνδύσιμον ἔχοντα, πράσσειν αὖθις ῥάβδοις, ταῖς παρ' αὐτοῖς διπλαῖς οὔσαις λεγομέναις, μαστίζειν προσλάτλωσιν. Cf. capp. 19, 30, 33.

(4) Forsan διεξέρχεσθε. Et est infinitus vocabulorum numerus, quæ, male permutatis vocalibus αι et ε, male scripsit librarius. Sed potest infinitivus pro imperativo sumi. Supra c. 2, παραπέμπειν sic positum fuit pro παραπέμπετε.

κἂν βουληθῇ κλέψαι, ἀρχοῦ μείναντος τοῦ ποδὸς αὐτοῦ, ἐμπεριπατεῖν μὴ ἰσχύειν. Καὶ μετὰ ταῦτα ἐν πλωχοτροφείῳ κατατατέσθω (1) τῆς ἡμετέρας βασιλείας, ἵν' ἐκεῖθεν τὸ λοιπὸν ἔξῃ (2) κἂν τὴν ἐφ-ήμεραν τροφήν.

ΚΕΦ. ς'. — Πάντα ἄνδρα καὶ πᾶσαν γυναῖκα φεύγειν τὴν ἄσωτον πορνείαν προσλάτομεν. Ἕκαστος ἀνὴρ τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ μὴ ἔστω αὐτοῖς λόγος εἰς ἀπολογίαν, ὅπερ οἱ πολλοὶ λέγουσι· « Πένης εἰμὶ καὶ οὐ δύναμαι ἔχειν γυναῖκα. » Πρὸς οὓς ἀπολογούμεθα· Οὐ βούλει νομίμῳ γάμῳ προσομιλῆσαι, οὐδὲ ἡμεῖς βιάζομεν· ὅρα δὲ μὴ εὑρεθῇς μετὰ πορνῶν ἁμαρτάνων, καὶ κινδυνεύσῃς παραχρῆμα. Κελεύει γὰρ ἡ γαληνότης τῆς ἡμετέρας βασιλείας πάντα τὸν ἐπὶ πορνείᾳ κρατούμενον, εἴτε ἄρρενα, εἴτε θήλειαν, δέχεσθαι τὸν τοιοῦτον μάστιγας ἑκατόν· καὶ εἶθ' ὅτως τὸ ἀρίστερον οὖς αὐτοῦ ἀποτεμνέσθω· δήμευσίν τε ὁ τοιοῦτος ὑπομείνας ἀπολυέσθω. Τὸ αὐτὸ δὲ καὶ πᾶσα γυνή, ἥτις οὐ κέκτηται ἄνδρα, καλασχεθεῖσα παραπλησίως ὑπομενέτω. Ἐὰν δὲ κατασχεθῇ ἀνὴρ μὴ ἔχων κεκλημένος (3) γυναῖκα μὲλὰ γυναικὸς ἴδιον ἄνδρα μὴ κεκτημένης, καὶ βούλοιντο κἂν ἐκτός τε (4) νομίμως ζευχθῆναι καὶ ἡρεμεῖν (5) ἐν σωφροσύνῃ, φωνουμένου ἱερέως παρὰ τῶν κατασχόντων αὐτούς, εὐλογούμενοι ἀπολυέσθωσαν.

ΚΕΦ. ζ'. — Ὁ εἰς γυναῖκα ὕπανδρον εὑρεθεὶς εὐθέως

(1) Cod. καπὰτπόθω. Sic καπαχώτων pro καπαταχήτων, c. 55.
(2) Codex, ἔξει.
(3) Ita codex. Delendum videtur participiorum alterutrum.
(4) Forsan scribendum ἐκπόπ, vel ἔκποπ.
(5) Codex, ἑρεμεῖν.

τὸ ἐργαλεῖον τοῦ σώματος (1), μεθ' οὗ τὴν ἁμαρτίαν εἰσπράττεται, ἀφαιρείσθω· ἀλλὰ καὶ ὁ εὐώνυμος μαστὸς τῆς γυναικὸς, μεθ' οὗ κατέλιπε τὸν ἴδιον ἄνδρα καὶ ἐμίγη τῷ Σατανᾷ. « Συμφέρει γάρ » φησὶν ὁ Κύριος (2), « ἵνα ἓν τῶν μελῶν σου ἀπόληται ἐντεῦθεν, καὶ μὴ ὅλον τὸ σῶμά σου ἐκβληθῇ ἐκεῖθεν εἰς γέενναν πυρός. »

ΚΕΦ. ιʹ. — Πᾶς ὁ κεκτημένος γυναῖκα νομίμως, καὶ ἐῶν αὐτὴν καὶ πορνεύων ἑτέραν, τεμνέσθω μεθ' ὃ (3) τὴν ἁμαρτίαν εἰσπράττεται. Εἰ δὲ ἡ αὐτοῦ σύμβιος φωραθείη φάσκουσα ὅτι, « Οὐ λογίζομαι τὴν ἁμαρτίαν τῷ ἀνδρί μου, κἂν μυριάκις μοι δόλον κατεργάσηται· ἀλλὰ τὸν ἄνδρα μου ἀτιμώρητον ἔχειν βούλομαι· » δεχέσθω ὁ τοιοῦτος μάστιγας διακοσίας, τό τε οὖς αὐτοῦ τὸ εὐώνυμον ἀφαιρεθεὶς, καὶ δημευθεὶς, ἀποδιδόσθω τῇ γυναικὶ αὐτοῦ.

ΚΕΦ. ιαʹ. — Τὸ αὐτὸ καὶ ἐπὶ γυναικὸς μοιχευθείσης. Ἀντὶ τοῦ μαστοῦ, τὸ ὠτίον τεμνέσθω, εἴπερ ἀρεστὸν ἐστὶ τῷ ἀνδρὶ αὐτῆς συνοικεῖν μετ' αὐτῆς. Ἐὰν δὲ καὶ μετὰ ταῦτα φωραθῶσι κατεργαζόμενοι (4), τὴν πρώτην τιμωρίαν ὑπομενέτωσαν, ἡ μὲν τὸν μαστὸν, ὁ δὲ τὸ σῶμα (5) αὐτοῦ ἀφαιρούμενος. Ἐὰν δὲ καὶ μετέπειτα φωραθῇ τὸ γύναιον τὰ αὐτὰ πάλιν ἐργαζό-

(1) Similia sunt etiam infra cap. 50.

(2) Apud Matthæum v, 29, 30.

(3) Sic codex, deficiente forsan nominis obscœnioris periphrasi, qua capite proximo fuit usus; vel ἡ ante μεθ' ὅ.

(4) Videtur scribendum κατεργ. τὰ αὐτά, vel simile quid.

(5) Est nunc σῶμα pro obscœniore corporis virilis parte. Sic fere *corpus* dixit Hieronymus Vita Pauli p. 502 : « manibus at» trectare virilia » (cœpit meretrix), « ut, corpore in libidinem » concitato, se victrix impudica » superjaceret. »

μενον, πλερνιζομένη ἡ τοιαύτη ἐξοριζέσθω τῆς πόλεως.

ΚΕΦ. ι'. — Ἐὰν ἐρασθῇ πλουσίου υἱὸς πενιχρᾶς κόρης, οἱ δὲ γονεῖς αὐτοῦ οὐ βούλωνται, διὰ τὸ μὴ οἰκτειρηθῆναι πενιχρὰν καὶ ἀτιμωθῆναι, ὁ νόμος ἁρμοζέτω αὐτούς, παρεχόντων τῶν γονέων σώαν τὴν περῖκα τῷ υἱῷ αὐτῶν, καθότι κέλευσις βασιλικὴ παρακελεύεται. Τὸ αὐτὸ καὶ ἐπὶ κόρης πλουσίας, εἴπερ ἐρασθῇ ἐπὶ νεωτέρῳ πενιχρῷ.

ΚΕΦ. ια'. — Παρακολουθείτω ἀνὴρ ἐλεύθερος (1), ἐὰν γάμος ἐστὶν, καὶ κατασχεθῇ δουλείαν τῇ κωμῇ ἢ τῷ κυρίῳ τῆς θεραπαινίδος. Τὸ αὐτὸ καὶ ἐπὶ ἐλευθέρας γυναικὸς τελείσθω, ὁπόταν εἰς δοῦλον παραλόγως ἐμβιβάσῃ αὐτήν. Ὁ γὰρ ἆρας τὰ μέλη τοῦ Χριστοῦ καὶ ποιήσας αὐτὰ μέλη πόρνης (2), ἄξιός ἐστι καὶ οἰκέτης ἀνθρώπου χρηματίσαι, ἵνα γνῷ τόσον κακὸν ἡ ἁμαρτία.

ΚΕΦ. ιβ'. — Ἕκαστον προσλάτομεν ἔχειν τὴν ἑαυτοῦ γυναῖκα καὶ μόνην, καὶ ἀποφεύγειν τῆς ἑπαράτου πορνείας, δι' ἧς ἔρχεται ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων ἡ ὀργὴ τοῦ Θεοῦ ἐκ τῶν οὐρανῶν (3). Ὁ δὲ παραβαίνων ἤκουσε πάντως τίνα ὀφείλει τιμωρούμενος ὑποδέχεσθαι.

ΚΕΦ. ιγ'. — Κελεύει ἡ ἐκ Θεοῦ ἡμῶν βασιλεία παντὶ γονέῳ (4) ἀπὸ δεκαετοῦς μέχει δωδεκαετίας

(1) Tria ista verba, quæ in codice proximum caput finiebant, huic contribuere, sententia suadente, visum est.

(2) Epist. I ad Cor. VI, 15: ἆρα οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη;

(3) Epist. ad Coloss. III, 5: νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, ... δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπιθείας.

(4) Ita codex, in quo pejus etiam et horridius est γονέω.

τὰ ἴδια τέκνα συνάπλειν πρὸς γάμον, ἐκτὸς ἀσθενείας. Ὁ δὲ παραβαίνων παρεχέτω, εἰ μὲν πλούσιός ἐστι, λίτρας ἓξ χρυσίου τῷ ἐν τῷ ῥηγεῶνι αὐτοῦ ἐξάρχοντι, εἴ τε μέσος τίς ἐστι, τρεῖς, εἰ δὲ καταδεέστερος, μίαν ἥμισυ· εἰ δὲ καὶ ἐλαχιστότερος ὑστὲρ τούτων, λίτραν μίαν, καὶ ὁ ἀπ' αὐτοῦ νομίσματα τριακονταἓξ, καὶ ὁ ἀπὸ τοῦδε ὀκτὼ καὶ δέκα, καὶ ὁ ἀπὸ τοῦδε (1) ἐννέα, κὴ ὁ ἀπὸ τοῦδε τέσσαρα ἥμισυ, καὶ ὁ ἀπ' αὐτοῦ δύο τρίτον, καὶ ὁ ἀπὸ τοῦδε ἀνὰ ἕκτον (2), κὴ ὁ ἀπὸ τοῦδε ἥμισυ. Καὶ τὸ (3) τηνικαῦτα προθεσμίαν ἅπαντες οἱ τοιοῦτοι μὴ ζητείτωσαν, ἀλλ' ἐν τάχει τελείτωσαν τὰ κελευόμενα. Ὁ δὲ ἀναβαλλόμενος πρὸς ταῦτα εἰσκομιζέσθω, αὐτὸς δὲ μετὰ συνέσεως βασιλικῆς ἐξορυζέσθω τῆς πόλεως.

ΚΕΦ. ιδ'. — Ἕκαστον προσλάτομεν τὸν παραβαίνοντα τῆς εἰρηνοποιοῦ (4) ἡμῶν βασιλείας τὰ θεῖα ἐντάλματα, κατὰ τὴν ἑαυτοῦ εὐπορίαν ζημιοῦσθαι τὰ προγεγραμμένα. Τὰ δὲ ἀπαιτούμενα ἐχέτω ὁ ἐπιτροπεύων τὴν ἑαυτοῦ (5) γειλονίαν μελὰ τῶν στρατιωτῶν τῶν παρεσρευόντων αὐτῷ.

ΚΕΦ. ιε'. — Ἀνθρώπῳ θεωρῦνλι τὸν πλησίον αὐτοῦ ἐπὶ παντὶ πονηρῷ καὶ ἀθεμίτῳ πράγματι, καὶ μὴ κατάδηλον αὐτὸν ποιοῦντι (6) ἐν τῷ αὐτοῦ γειτονιάρχῃ, δηλοποιούμενος ὁ τοιοῦτος, εἰ μὲν πλούσιός ἐστι, δεχέσθω δημοσίως πληγὰς ἑβδομηκονταδύο·

(1) Codex, ἀπ' αὐτοῦδε.
(2) Codex, ἕκτου.
(3) Codex, τὸν.
(4) Codex, εἰρηνοποιός.
(5) Imo αὐτῦ.
(6) Cod. ποιοῦντα, quum tamen ἀνθρώπῳ præcesserit. Rescribendum ποιοῦντι, ablativo absoluto. Desinentiæ ν et α sæpius fuerunt confusæ; et accusativi κατάδηλον αὐτὸν potuerunt librario fraudem facere. Cf. c. 25.

εἴ τε χὴ πένης τίς ἐστι, ζημιούσθω νομίσματα χρυσᾶ τέσσαρα, εἰ δὲ καταδεέστερός ἐστι, τρία, εἰ δὲ πενέστερος, δύο, εἴ τε πλήρης πένης, νόμισμα (1) ἕν.

ΚΕΦ. ις'. — Ἀνθρώπῳ προξενοῦντι μοιχείαν, εἴτε μεσιτεύων εἰς τὴν κοπρώδη συμπλοκὴν τῶν τε παίδων καὶ εὐνούχων, μεθ' ὧν εἰώθασιν ἐργάζεσθαι τὴν ἀνομίαν (2) οἱ ἄφρονες καὶ ἀσύνετοι καὶ ἀσεβεῖς, εἴτε ἀνὴρ ἐστι, εἴτε γύναιον, εἴτε οἱονδήποτε πρόσωπον, καὶ φωραθῇ ὁ τοιοῦτος ταῦτα δρῶν, προσλάτταμεν τὴν γλῶτταν αὐτοῦ ἀπὸ μέσον (3) τμηθῆναι, ἵνα, κἂν βουληθῇ ἔκτοτε ὑπηρετῆσαι τῷ Σατανᾷ ὡς ὁ ὄφις ποτὲ ἐν τῷ Παραδείσῳ διὰ τῆς γλώσσης αὐτοῦ, μὴ δυνηθῇ. Ἐπικατάρατοι γὰρ πεφύκασιν οἱ ἀθέμιτοι οὗτοι, ὅτι διὰ τῶν χειλέων αὐτῶν τῶν μαλαίων ἐκβάλλωσιν τὸν ἄνθρωπον ἀπὸ τῆς αὐτοῦ διανοίας καὶ παραδιδῶασιν (4) τὸν τοιοῦτον τῷ διαβόλῳ εἰς ὄλεθρον ψυχῆς.

ΚΕΦ. ιζ'. — Οἱ τὰς ἑαυτῶν οἰκίας (5) ἐργαζόμενοι καταγώγια τῶν πορνευόντων, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν ἐν αὐταῖς ὑποδεχόμενοι καὶ συσκιάζοντες, πάντες οἱ ἐπὶ τούτῳ (6) φωραθέντες εἰσκομιζέσθωσαν παρὰ τοῦ γειτονιάρχου πᾶσαν αὐτῶν τὴν ὑπόστασιν,

(1) Pro *νόμισμα* est in codice sigla *ιί*.

(2) *Ἐργάζεσθαι τὴν ἀνομίαν* loquutio est in Bibliis sæpissime obvia.

(3) Recentior ea syntaxis præpositionis *ἀπὸ* cum accusativo reperietur et infra c. 45. Vide not. ad Syntip. p. 210. Est *ἀκ μέσου*, ni legendum *ἀκ μέσων* vel *ἀκ μέσου*, c. 21. De *μετὰ* cum accusativo vide t. IV, p. 487, et Reisk. ad Constant. De cerem. p. 54 D.

(4) Scripto *ἐκβάλλωσιν* male pro *ἐκβάλλουσι*, voluit tempora sibi constare et barbarum subjunctivum *παραδιδῶασιν* finxit.

(5) Codex, *οἰκείας*.

(6) Codex, *τῶν*.

καὶ ἐξοπλίσθωσαν τῆς πόλεως, ποιοῦντες ἰδιόχειρα κεφαλικῆς τιμωρίας, τὸ μηκέτι ποιεῖν ταῦτα ἢ παρεμβάλλειν τῇ πολιτείᾳ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν. Θεραπευὰς γὰρ δαιμόνων ἡ ἡμετέρα γαληνότης ἐν ταῖς ὑφ' ἡμῶν βασιλευομέναις πόλεσιν εἶναι οὐ δύναται (1). Ὃν τρόπον γὰρ πρὸ πολλοῦ ἐδίωξεν ὁ παμπόνηρος δαίμων διὰ τῶν εἰς τὰ εἴδωλα μανέντων βασιλέων τοὺς ἀγαπητοὺς καὶ λάτρας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξῆρε δὲ (2) καὶ τὴν ἀμώμητον πίστιν ἡμῶν ἀπὸ προσώπου τῶν χριστιανῶν ἐκ τῆς γῆς, οὕτω παραπλησίως ἔδοξε καὶ τῇ ἡμετέρᾳ ἐκ Θεοῦ ἐξουσίᾳ ἐξᾶραι πάσας τὰς πομπὰς τοῦ πεσόντος ἐκ τῶν οὐρανῶν δράκοντος ἀπὸ προσώπου τῆς ἡμετέρας γῆς, καὶ ἐκδιῶξαι αὐτοῦ κατὰ τὸ δυνατὸν πᾶσαν κακίαν καὶ πονηρίαν ἀπὸ τῶν πιστευόντων εἰς Χριστόν. Ἢ γὰρ χριστιανὸς χρηματίζε, ἢ μὴ παίζε (3) τῷ Κυρίῳ Ἰησοῦ.

Κεφ. ιη'.—Ἡμεῖς δὲ, ὃν ὅρκον ὤμοσεν ὁ Θεὸς πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν πληροφορῶν (4), τιθέμεθα καθότι οὐ παυσόμεθα πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν ἀναρίθμητα τὰ κακὰ ἐνδεικνύμενοι πᾶσι τοῖς ἐργαζομένοις τὴν ἀνομίαν καὶ τὸν θεόσδοτον (5)

(1) Ita codex. Forsan οὐ φέρειν δύναται, οὐ βούλεται. Confer cc. 29, 36, 60.

(2) Codex, ἐξαίσιδι. Scripsi ἐξῆρε, ob verbum ἐξᾶραι, quod in sententiæ redditione sequitur.

(3) Forsan παράπιζε.

(4) Ita Codex. Est ἡμεῖς πληροφορῶν syntaxis πρὸς τὸ σημαινόμενον, cujus sunt multa et in optimis scriptoribus exempla. Sophocles Antig. 1008 : Οὐδ' ὄρνις εὐσήμους ἀπορροιβδεῖ βοὰς, Ἀνδροφθόρου βεβρῶτος αἵματος λίπος. Cod. 2884, ἀπορροιβδεῖ βοὰς ἀνδροφόνου, cum correctione ἀνδροφθόρου : quæ ob id enotare visum est, quod in tanto poeta nihil sit negligendum.

(5) Vox θεόσδοτος displicuit

ἡμῶν τόνδε τὸν νόμον παρὰ πόδας τιθεμένοις, εἴπερ παύσονται (1) τοῦ ποιεῖν τὴν ἁμαρτίαν· εἰ δέ γε, ἡμεῖς οὐ παρασιωπήσομεν τοῦ ἐξολοθρεύειν αὐτούς. Καὶ γὰρ καὶ ὁ θαυμάσιος Δαυὶδ, τὰ ἴσα τούτοις διαπραττόμενος, τῷ κόσμῳ ἀπεφθέγγετο (2)· « εἰς τὰς πρωΐας ἀπέκτενον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς », φησί, « τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. »

Κεφ. ιθ'. — Οἱ ὁδοστατοῦντες γυναῖκας, καὶ βίᾳ συγγινόμενοι μετ' αὐτῶν, ὡς λῃσταὶ καὶ ἐχθροὶ τοῦ Θεοῦ, ἐλεγχόμενοι παρὰ τῆς γυναικὸς, σὺν ὅρκῳ δὲ, δεχέσθωσαν ἀνὰ ἑκατὸν διπλῶν (3), καὶ, τὰ ἀμφότερα ὦτα τεμνόμενοι, ἀπολυέσθωσαν. Καὶ, εἰ μὲν καὶ μετὰ ταῦτα τὰ αὐτὰ φωραθῶσιν ποιοῦντες, ἀνὰ διακοσίων διπλῶν δεχόμενοι ἐξοριζέσθωσαν.

Κεφ. κ'. — Οἱ κατὰ τὴν ἀγορὰν ἤτοι πλατεῖαν ὁδὸν βαδίζοντες καὶ ἁπλοῦντες τὰς χεῖρας ἑαυτῶν ἀναιδῶς (4) εἰς διερχομένας ἐλευθέρας γυναῖκας χάριν βακχείας (5) καὶ αἰσχρᾶς ἐπιθυμίας, διὰ τινῶν θεωρούμενοι, εἴ τε καὶ τῆς γυναικὸς ἐγκαλούσης, κομιζέσθω ὁ τοιοῦτος ἑβδομηκονταδύο (6) μάστιγας μέσον τῆς ἀγορᾶς ὅπου ὁ ὄχλος, καὶ, δημευθεὶς παραγγελίαν τε (7) εἰληφὼς, ἀπολυέσθω. Εἰ δὲ πάλιν φωραθῇ

adeo Ephræmii editori doctissimo, ut eam bis, versibus scilicet 3721, 4073, in θεόδοτος mutaverit. Intactum quidem remansit θεοσδότων v. 7197; sed editore, ut videtur, non conscio.

(1) Forsan legendum, εἴπερ μὴ παύσονται.

(2) Psalm. c, 8.

(3) Conf. pag. 79.

(4) Codex, ἀνεδῶς. Infra, ἀνεδέστατος. Et sic etiam infra capp. 43, 48.

(5) Codex, βακχίας.

(6) Codex, εὐδομηκονταδύο.

(7) Est supra, cap. 5, exemplum παραγγελίας. Conf. etiam infra cc. 24, 25, 26.

ταῦτα τελῶν, χειροκοπείσθω ὡς ἀναιδέστατος. Ἡ γὰρ ἡμετέρα γαληνότης ἐκέλευσεν ἕκαστον κεκτῆσθαι τὴν σύμβιον αὐτοῦ, ἐπ' ἀλλοτρείας δὲ χεῖρα μὴ αἴρειν, εἰ δυνατὸν δὲ, μηδὲ ἐννεύειν ὀφθαλμῷ.

ΚΕΦ. κα'.—Χριστιανοὺς γὰρ πόρνας, εἴ τε μοιχὸς, εἴ τε σοδομίτας, εἴ τε μάγους καὶ ἐπαοιδοὺς, καὶ τὰ τούτων ὅμοια ποιοῦντας, ἡ ἡμετέρα βασιλεία κεκτῆσθαι (1) οὐκ ἀνέχεται. Διὰ γὰρ ταῦτα ἀπέστειλεν ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ τὴν ὀργὴν αὐτοῦ ἐφ' ἡμᾶς(2), τοῦ ἐκτρίψαι καὶ εἰς τέλος ἀφανίσαι ἡμᾶς. Διὸ ὅτε ἐν ταῖς ὁδοῖς τῶν πολέμων καθευδούμεθα διὰ ταύτας τὰς ἁμαρτίας· ὅπλα γὰρ, φησὶ, πολέμου δικαιοσύνη· καὶ, « εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη, ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτοῦ ἐταπείνωσα καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλλον ἂν τὴν χεῖρά μου », φησὶν ὁ Θεός (3). Διὰ τοῦτο πᾶσα κακία καὶ πονηρία ἀρθήτω ἐκ μέσου (4) ἡμῶν, καὶ πολιτευέσθω πᾶσα ἀρετὴ καὶ πᾶσα δικαιοσύνη καὶ ἀλήθεια, ἵνα καὶ τὰ περικύκλῳ ἡμῶν ἔθνη ὑποτάξῃ ἡμῖν κύριος ὁ Θεὸς ἡμῶν.

ΚΕΦ. κβ'. — Ἀνθρώπῳ πλασθέντι παρὰ Κυρίου ἑαυτὸν ἐπὶ πάσῃ αἰτίᾳ διεκδικεῖν οὐ προσλάτομεν, εἰ μὴ λάβοι πρότερον ἐπιτροπὴν παρὰ τοῦ νόμου, ἐπερωτήσας τὸν νόμον, ὡς κελεύει ὁ νόμος. Οἱ δὲ τοῦτο τολμῶντες ἀπὸ τῆσδε τῆς ἡμέρας, κἂν τε

(1) Codex κέκτησθαι, malo accentu et mala vocali. Sic mox ἀφανῆσαι. Conf. c. 30. In Antigona 956, ubi nunc in Hermanniana *id'* legitur, notabo, diligentiæ tantum causa, esse κἀδ' in codicibus 2712, 2886; ᾗ in codice 2884, cum varietate marginali ἤ.

(2) Conf. p. 82, n. 3.

(3) Psalm. LXXX, 13....

(4) Conf. p. 84, n. 3.

μεγιστάνος ᾖ (1), κἄν τε πλούσιός τις ἢ καὶ πένης, εἴ τε δηλάτωρ (2), εἴ τε ταξεώτης (3), εἴ τε καὶ τῆς ἡμετέρας ἑταιρείας, ἢ στρατιώτης, ἤ τις ἕτερος τῶν ὑπὸ ἡμετέραν ἐξουσίαν χρηματιζόντων, καὶ τύψειν, ἢ ῥαπίσειν, ἢ λακτίσειν, ἢ ῥαβδίσειν, ἢ μαστιγώσειν (4) τὸν τυχόντα, εἴ τε δικαίως, εἴ τε καὶ ἀδίκως, ἄνευ ἐπιτροπῆς τοῦ νόμου, εἴ τε ἐπ' ἀγορᾶς, εἴ τε ἐν ὁδῷ, εἴ τε ἐν οἴκῳ· πάρεξ τὰς ἐπιστήμας καὶ τέχνας παιδευόντων μετὰ τῶν γραμμάτων, εἴ τε καὶ δεσπότης τὸν δοῦλον αὐτοῦ καὶ πατὴρ τὸν υἱὸν αὐτοῦ καὶ τὴν θυγατέρα· καὶ οὗτοι δὲ κατὰ δικαίαν πρόφασιν· καὶ μὴ, ὥς τινες θυμώδεις πέλοντες, βουλόμενοι παιδεύειν, ἀποκτένωσιν ἄνθρωπον. Καὶ ἡμεῖς τοὺς τοιαῦτα παιδεύοντας προστάττομεν ἀπαιτεῖσθαι ἰδιόχειρα παρὰ τῶν γειτονιάρχων μὴ διδάσκειν (5). Εἰ τοίνυν (6) τὴν κέλευσιν ἡμῶν παραβαίνοντες καὶ πα-

(1) Codex εἶ. Iotacismus librario indocto illudebat. Sophocles Antig. 1027: Οὐδ' εἰ θέλουσ' οἱ Ζηνὸς αἰετοὶ βορὰν Φέρειν νιν ἁρπάζοντες ἐς Διὸς θρόνους, Οὐδ' ὣς μίασμα τοῦτο μὴ τρέσας ἐγὼ Θάπτειν παρήσω κεῖνον. Nihil hic est quod moram faciat. Memorabo tamen lectionem codicis 2886, ipsam nec improbabilem: Οὐ δὴ θέλουσι Ζηνὸς αἰετοὶ βορὰν.... « utique Jovis aquilæ nolunt nec in mente habent... At ne sic quidem, rapere si velint,....»

(2) Cod. διλάτωρ. Melius δηλάτωρ c. 23. Est latinum nomen *delator;* nunc, puto, de munere quodam accusatoris publico capiendum.

(3) Cf. p. 74, 6, et c. 45.

(4) Codex, λακτίσει ἢ ῥαβδίσει ἢ μαστιγώσει, quæ ad formam infinitivorum qui præcedunt reduxi. Pendere puto ab τολμῶντες. Hujus capitis sensus non ambiguus, sed verba non nitida.

(5) Ita codex, loco, ut videtur, imperfecto. Jubet ab magistris ac doctoribus poscere regionis urbicæ præfectos syngraphas easque manu propria scriptas, qua spondeant non docturos se, quid vel quo modo omissum est a librario.

(6) Codex, οἱ τοίνυν. Permutationem iotacismus peperit. Sophocles Antig. 981: Τοιγὰρ δι' ὀρθῆς τήνδε ναυκληρεῖς πόλιν. Con-

ραχαράττοντες, καὶ τυραννίδι τοὺς ἀπὸ τῶν ἁπλῶν καὶ τυχόντων (1) μαστιγοῦντες ἢ τύπτοντες, φωραθῶσι, δεχέσθωσαν ἀνὰ τριακονταὲξ μαστίγων· καὶ τεμνέσθω εἷς δάκτυλος τοῦ ποδὸς τοῦ τοιούτου· καὶ δημευόμενοι ἀπολυέσθωσαν, ἵνα ἐξ αὐτῶν γνῶσιν πόσον πόνον ἔσχε τὸ ἓν ῥάπισμα ἢ ἡ μία ῥάβδος, ὃν τρόπον καὶ οὗτος ἐποίησε (2) τὸν εὐτελῆ δάκτυλον τοῦ σώματος αὐτοῦ. Ἡ γὰρ ἡμετέρα βασιλεία πρόβατα εἶναι πάντας ἐπιποθεῖ τοῦ Χριστοῦ καὶ Θεοῦ, οὐκ ἐρίζοντα, οὐδὲ κραυγάζοντα (3), οὐχὶ δὲ θηρία ἰοβόλα ἀλλήλους κατεσθίοντα.

ΚΕΦ. κγ'. — Οὐκ ἐπετράπης τὸν παρόμοιόν σου ἄνθρωπον τύπτειν· μὴ τύπτε οὖν, ἵνα μὴ ἔλθῃς εἰς ἀγανάκτησιν. Ἄνθρωπος εἶ μεγιστάνου· μὴ τεθαῤῥηκὼς

jecturam Valckenarii, τήνδ' ἐναυκλήρεις π., nunc repudio. Non repudiaverim variantem ναυκληροῖς. Epistolæ Socrat. 30 extr.: ἀλλὰ γὰρ τὰς λοιπὰς σκήψεις γράφοντα ἐπιλείπει με τὸ βιβλίον. Codex Allatianus et regius 3054, ἐπιλείποι, quod malim, ni defectus particulæ ἂν me moraretur.

(1) Codex, ἁπλῶς. Esse τοὺς τυχόντας homines vulgares, mediocris sortis, nemo est qui ignoret. Epistolæ Socrat. 32: Πλάτων, καθάπερ καὶ σὺ οἶσθα, καὶ ἐν τῇ τυχούσῃ τιμῇ τὴν ὀν Ἀκαδημίᾳ διατριβὴν ἦγεν, νομίζων εἶναι.... Bene Orellius ad sensum, οὐ ante τυχούσῃ inseri voluit. Melius codex 3054: ....οἶσθα, οὐκ ἐν τῇ τυχ...ἦγε νομ.

(2) Forsan ἐπόνησε. Permutantur sæpe ποιεῖν et πονεῖν, quod me ostendere memini ad Eunapium. Libanius Epist. 1599: ἐπεὶ οὖν καὶ σοὶ κατὰ μέθης λόγος πεποίηται, βουλόμεθα τούτῳ περιτυχεῖν. Codex 2991 A, πεποίηται, quod lectori critico potest dubitationem injicere. In Menandreis pag. 52, Οὐδενὸς χρὴ πράγματος Τὸν εὖ πονοῦνθ' (olim ποιοῦνθ') ὅλως ἀπογνῶναί ποτε. Ἁλωτὰ γίνετ' ἐπιμελείᾳ καὶ πόνῳ Ἅπαντα. Quæ ultima conferam cum hisce Niceph. Gregoræ verbis Epist. 2, p. 4 Mustox.: τῆς Πυθαγόρου σοφίας ἀκίνδυνον ἀρετὴν οὐδεμίαν σογχωρούσης παρεῖναι τοῖς οὖσιν, ἀλλὰ ἅπαν χρῆμα πόνῳ ἀποφαινομένης ἁλώσιμον εἶναι. In quibus displicet τοῖς οὖσιν: forsan τ. ἀσκοῦσιν. — Ad legislatoris sententiam conf. cc. 11, 31, 33.

(3) Respectu ad Matth. XII, 19: οὐκ ἐρίσει, οὐδὲ κραυγάσει.

ἐπὶ τῷ ὑπερηφάνῳ δεσπότῃ σου, κατὰ κεφαλῆς παῖε τὸν πέντα. Τῆς ἑταιρείας, εἴ τε δηλάτωρ (1), ἐὰν μὴ κελεύσῃ ὁ νόμος, μὴ δέρε. Πλούσιος εἶ, καὶ ἠτιμάσθης· ἔντυχε τῷ νόμῳ, καὶ σκεῖθεν δέχου τὴν σκδίκησιν. Δυνάστης εἶ· καὶ ἀγαθοποίησον, καὶ μὴ κακοποιήσῃς. Πένης εἶ· τὸν ὅμοιόν σου πένητα μὴ ῥάπιζε. Ἠδικήθης· ἐγκάλεσον, καὶ, ἐὰν μὴ δικαιωθῇς, πρὸς ἡμᾶς παραγενοῦ, καὶ εὑρήσομεν εἰς ὅπερ σὺ ἐτυχες· καὶ εἶθ' οὕτως σπερεῶ σου (2) τὸ δικαστήριον, εἴπερ δίκαιον ἔχεις.

ΚΕΦ. κδ'. — Ἀνδρὶ οὐκ ἐπιτρέπομεν τύπτειν τὴν ἑαυτοῦ γυναῖκα. Πορνεύοντες γὰρ παραγίνονται οἶκοι ὥρᾳ μεσονυκτίου, καὶ, ἐγκαλούσης τῆς γυναικὸς τὴν βραδυτῆτα, μὴ φέροντες τὸν ὀνειδισμὸν αὐτῆς, τύπτειν ἀπάρχονται. Εἴ τε δὴ καὶ τὸ γύναιον πορνεύει, οὔτε οὕτως ἐπιτρέπομεν τὸν ἄνδρα τύπτειν· συχτευέτω δὲ αὐτήν (3). Καὶ ὂν τῇ ἁμαρτίᾳ αὐτῆς εὑρισκομένη τὴν τῶν μοιχαλίδων γυναικῶν ποινὴν ὑπομενέτω παρὰ τοῦ νόμου. Ἐὰν δέ τις εὑρεθῇ παραβαίνων τὸ πρόσταγμα τῆς ἡμετέρας βασιλείας, εἰ μὲν πλούσιός ἐστι, δεχέσθω μάστιγας τριακοντάεξ, καὶ, παραγγελίαν εἰληφὼς, ἀπολυέσθω· εἰ δὲ πένης ἐστὶ, ζημιούσθω κατὰ τὴν δύναμιν αὐτοῦ. Εἰ δὲ καὶ μετέπειτα τὰ αὐτὰ κατατολμήσωσιν, εἰσκομιζέσθωσαν ὡς βασιλικῆς κελεύσεως ἀλογήσαντες (4), καὶ τὴν ὕπαρξιν αὐτῶν, εἰ μὲν καταδεεστέρα ἐστὶ, διὰ

(1) Forsan τῆς ἑτ. εἰ, εἶπε δηλ. Scilicet τῆς ἑτ. τῆς ἡμετέρας: cf. c. 22. Codex, ἑπρείας. Jam δηλάτωρ supra p. 88, n. 2.

(2) Codex, σπερεώπου.

(3) « Sed scripto libello eam » judici denunciet. »

(4) Codex, ἀλογήσαντες.

τῶν συνεπομένων αὐτῷ στρατιωτῶν διαμεριζέσθω αὐτὴν ὁ γειτονιάρχης μετὰ τῶν συνεπομένων αὐτῷ στρατιωτῶν· εἰ δὲ βαρεῖά τίς ἐστι καὶ ὑπέρογκος, τῷ ταμιείῳ τῷ βασιλικῷ προσαγέσθω (1)· καὶ αὐτοὶ ἐξοριζέσθωσαν τῆς πόλεως.

Κεφ. κέ. — Ἀνθρώπῳ μεθυσθέντι ἀκρατέστως, εἴ τε καὶ γυναίῳ, καὶ ἐπὶ τῆς ἁμάξης διοδεύοντι, καὶ συμποδιζομένῳ (2), τοίχῳ τε πρὸς τοίχῳ συντείνοντι, κελεύομεν κρατεῖσθαι τοῦτον καὶ ἀποκλείεσθαι, καὶ εἶναι μέχρι ὥρας. Καὶ ὁπόταν ἀνανήψῃ (3) τῆς μέθης ὁ τοιοῦτος, τότε ἐξαγέσθω, καὶ λαμβανέτω πληγὰς ἑξήκοντα· εἰ δὲ θῆλυ ἐστὶ, τριάκοντα· καὶ, παραγγελίαν κομιζόμενος, ἀπολυέσθω. Γέγραπται γὰρ (4) ὅτι « μέθυσοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. »

Κεφ. κϛ΄. — Παρατηρείσθωσαν δὲ οἱ τὰ κτήνη αὐτῶν φορτοῦντες φορτία βαρέα καὶ δυσβάστακτα (5), εἴτε καὶ ἑαυτούς. Οἱ τοιοῦτοι κρατείσθωσαν, καὶ, ἀνὰ τριακοντάδας μαστίγων δεχόμενοι, ἀπολυέσθωσαν, παραγγελίαν λαμβάνοντες (6). Ὁ γὰρ δυνατὸς ἡμίονος φορτούσθω δώδεκα μέδιμνας· ὁ δὲ ἐλαττότερος, δέκα· τὸ δὲ μικρὸν ὀνάριον, ὀκτώ· εἰ δὲ καὶ ταλαίπωρον, ἕξ. Τῷ τοιούτῳ γε τρόπῳ τὸν γόμον δεχέσθωσαν.

(1) Andreopulus de Syntip. p. 5 : πᾶς ὁ βίος μου τῷ ταμιείῳ σε προσκληρούδω. Varietas, quam ibi memoravi, παλαταμιείῳ, poterit reformari in παλαπκῷ vel παλαπίῳ ταμιείῳ. Niceph. Gregoras Hist. VI, 6, 5 : αὐτὰ μὲν οὖν καθειργνυται, ὁ δὲ πᾶς πλοῦτος αὐτῶν εἰς τὸ βασιλικὸν συγκομίζεται ταμιεῖον. Cf. infra c. 59 ; et Cangius Gloss. in Κοιτῶν : recentioribus enim κοιτῶν est ærarium.

(2) Codex, συμποδιζόμενον.

(3) Codex, ἀνάψει.

(4) Epist. I ad Cor. VI, 10.

(5) Animalibus consultum fuit et cap. 33.

(6) Cf. p. 86, n. 8.

Γέγραπται γάρ (1) · « δίκαιος οἰκτειρεῖ ψυχὰς κτηνῶν αὐτοῦ, τὰ δὲ σπλάγχνα τῶν ἀσεβῶν ἀνελεήμονα. »

ΚΕΦ. κζ'.—Ἐν ἡμέρᾳ ἑορτῆς δεσποτικῆς, ἤτοι τῆς ἁγίας κυριακῆς, κελεύομεν μηδὲν ἕτερον πιπράσκεσθαι ἢ τὰ ἐν δαπάνῃ ἀνθρώπων τε καὶ κτηνῶν ἀριθμούμενα· τὰ δὲ ὑπόλοιπα ἀργείτωσαν. Ὁ δὲ παραβαίνων, πᾶν ὅπερ προτέθειται, ἐκτὸς τῶν προσκεκαλυμμένων ἐδωδίμων εἰς τὸ διαπρᾶσαι, αἱρέσθω ἀπ' αὐτοῦ, καὶ αὐτὸς ἐκδικείσθω. Τὸ δὲ λαμβανόμενον, εἴ τε ἄλογον (2), εἴ τε βοῦς, εἴ τε πρόβατον, εἴ τέ τι ἕτερον ἀπὸ τῶν ἔτι ζώντων καὶ μεγάλων ζώων (3), πάρεξ τῶν ὠμαχέλλῳ τεθυμένων (4) καὶ ὀρνίθων τῶν πιπρασκομένων, εἴ τε ἱμάτιον (5), εἴ τέ τι ἕτερον εἶδος, πάρεξ τῶν βρωμάτων, ταῦτα εἰς διαφορὰν ἔστω τῷ γειτονιάρχῃ καὶ τῶν παρεδρευόντων αὐτῷ στρατιωτῶν.

ΚΕΦ. κή.—Ἐν ἡμέρᾳ ἑορτῆς μεγάλης, ἢ καὶ αὐτῆς τῆς ἁγίας καὶ χεισλοφόρου κυριακῆς, εἴ τις φόρτον ἄγει, πάρεξ ἐδωδίμων, καὶ τῶν ἀποδημούντων εἰς χώραν μακράν, εἴτ' εἰς πλοῖον, εἴτε δι' αὐτοῦ, εἴτε διὰ τοῦ ὑποζυγίου, εἰσκομιζέσθω τὸν φόρτον, εἰ ἔστι καὶ τὸ κτῆνος σὺν τῷ φόρτῳ. Καὶ οὕτω ῥαπιζόμενος ἐκδικείσθω καθότι χεισλιανὸς ὢν ὁ τοιοῦτος οὔτε κἂν ἴσα τῷ ἰουδαίῳ ἐτίμασε (6) τὴν ἑορτὴν αὐτοῦ.

ΚΕΦ. κθ'. — Οὐ βούλεται τοιγαροῦν ἡ ἡμετέρα θειότης τινὰ πιπράσκειν, ἢ φόρτον ἄγειν, ἢ σκάπτειν,

(1) Proverb. XII, 10.
(2) Conf. t. IV, p. 382, n. 3.
(3) Codex, ζωῶν.
(4) Forsan τεθυμάτων.
(5) Codex, ἱματίων. Mox παρεδρευόντων. Conf. c. 14, 64.
(6) Cod. ἐτίμασαν. Malim ἐτίμησεν, vel ἐτίμασε.

ἢ κάμνειν, ἢ τι ἐργάζεσθαι ἐν τῇ ἁγίᾳ κυριακῇ, ἢ ἐν ταῖς δεσποτικαῖς καὶ μεγάλαις ἑορταῖς, καὶ φόβους ποιεῖν, ἢ ἐν ταῖς τῆς Θεοτόκου, ἢ ἐν ταῖς τῶν δώδεκα ἁγίων ἀποστόλων τοῦ Θεοῦ ἡμῶν καὶ Χριστοῦ καὶ σωτῆρος, ἢ ἐπὶ τῶν λοιπῶν ἁγίων. Τὰ δὲ κατὰ προαίρεσιν ἡμῶν ἀφίημι. Οἵ τε παραβαίνοντες, τὰ ἐπιφερόμενα καὶ τὰ ἐπιπρασκόμενα ἀφαιρούμενοι, ἀνὰ εἰκοσιτεσσάρων ῥαπισμάτων δεχόμενοι, ἀπολυέσθωσαν.

ΚΕΦ. λ'.—Οἱ χάριν προσλασίας ἀρχόντων ἢ βασιλείας ἐπὶ τοῖς ὀψωνίοις τὰ ἡμιτίμια (1) ῥίπτοντες τοῖς ἱππεύσκουσι πένησι στρατευταῖς καὶ τὰ τυραννίδα, καὶ τὰ αὐτῶν αἴροντες, καὶ πορευόμενοι, ἢ καί τινα φθέγγονται ἢ τύπτοντες, ἢ φωραθῶσιν (2) οἱ ταῦτα δρῶντες, ἀνὰ δώδεκα διπλῶν (3) δεχόμενοι καὶ δημευόμενοι ἀπολυέσθωσαν. Ἡ γὰρ ἡμετέρα βασιλεία ἀποστερητὰς καὶ ἀδικητὰς καὶ ἅρπαγας ὑπηρέτας κεκτῆσθαι οὐκ ἀνέχεται. Ἀρέσκει σοι τὸ εἶδος· πάρεχε τὸ δίκαιον τίμημα, καὶ ἆρον αὐτὸ, καὶ πορεύου.

ΚΕΦ. λα'.—Νομοθετοῦμεν τοίνυν· πᾶς ὅστις φωραθεὶς ἐπὶ τῇ τοιαύτῃ τόλμῃ, καὶ παιδευθεὶς καὶ δημευθεὶς, καὶ μετέπειτα, τοῖς τοιούτοις (4) ἅπαξ κεχρημένος, εἰ πάλιν κατασχεθῇ (5) ὁ τοιοῦτος, ἐν τῷ τῆς ἡμετέρας ἐξουσίας ἐργαδοσίῳ προσλάτλομεν τὸν τοιοῦτον ἀποδίδοσθαι ἐπὶ ὁλοκλήρῳ τετραμήνῳ μετὰ τῶν σκεῖσε κατειλεγμένων (6) ἐργάζεσθαι. Ὡς γὰρ

(1) Pretii legitimi et necessarii dimidium.

(2) Locus vitiatus. Forsan ἢ ῥαπίζοντες, καὶ τινα φθέγγονται, ἢ τύπτοντες, εἰ φωραθ.

(3) Conf. p. 79, n. 3.

(4) Codex, τοιαύτοις.

(5) Codex, ταταχεθεῖ. Sic jam Codex p. 80, 20; p. 82, 10.

(6) Codex, καπλλειγμένων.

μωρὸς (1) πέλων καὶ θρασὺς, οὕτω χρὴ παιδεύεσθαι. Καὶ οὕτως ἀπολυέσθω πισθωθεὶς οἵῳ κόπῳ κτῶνται τὸν ἑαυτῶν ἄρτον οἱ πένητες.

ΚΕΦ. λϚ'.—Οἱ κατὰ γειτονίαν (2) μάχην εἰσπράττοντες, οἵτε ἐπ' ἀγορᾶς, κρατούμενοι ἀμφότεροι ἀνὰ τεσσαράκοντα μασλίγων κομιζέσθωσαν, ἀνθ' ὧν ἀνάρχως ἐτόλμησαν χεῖρας ἐπᾶραι κατ' ἀλλήλων, εἴτε κὴ ῥάβδον, εἴτε κὴ ἕτέρως πως (3). Εἰ δὲ τὸ ἓν μέρος, πλοηθὲν τὸν νόμον, ὑποταγῇ κὴ χεῖρας οὐκ ἐκτείνῃ εἰς ἄμυναν, συρῆται ὑπὸ τοῦ ἐναντίου κὴ τυφθῇ (4) κατά τινα τρόπον, αὐτὸς μὲν ὡς ἀνεύθυνος ἀπολυέσθω· ὁ δὲ τοῦτον ἀμυνόμενος, ὁπόσις ἂν εἴη (5), ὀγδοήκοντα μάσλιγας κομιζόμενος, ἐπὶ δυσὶ μησὶ τῷ ἐργοδοσίῳ (6) ἡμῶν ἐργαζέσθω ἐγκλειόμενος, κὴ μελὰ ταῦτα ἀπολυέσθω.

ΚΕΦ. λγ'. — Οἱ τὰ ἄλογα πειράγοντες εἴτε πε-

(1) Sic, bono accentu in tali libro. Epistolæ Socrat. 14, p. 21: ὦ μωρέ. Codex 3054, ὦ μῶρε, in personato attico melius. Arcadius De accent. p. 69 : μῶρος, ἁπλῶς.

(2) Conf. p. 73, n. 7, de nomine γειτονία.

(3) Codex, ἕτερός πως.

(4) Codex, τῶν νόμων . . . ἐκτήνη . . . συρτῖται . . . τυφθεῖ. Forsan πλοηθὲν, τῷ νόμῳ ὑποταγῇ . . . σύρηταί τι ὑπὸ . . .

(5) Ut sunt vix credibiles memoriæ a re qualibet ad remotissimam alteram saltus, verbis istis ἂν τίν, quæ nullam notæ apponendæ occasionem facile erant præbitura, ducor ad Euripidei Pelei fragm. 3 : Οὐκ ἔστιν ἀνθρώποισι τοιοῦτο σκόπος, Οὐ δῶμα γαίας κλείσαν', ἔνθα τὴν φύσιν Ὁ δυσμενὴς κρύψας ἂν * τίν σοφός. Quod scripsi, post virum doct., κρ. νομιζέτω σοφὸς, displicuit viro alii doct., idque merito, propter omissum ἄν. Proponerem, suppleta syllaba quæ deficit ac literis mutatis quidem, non sonis, κρύψας, ἂν ἐξίοι σοφός. Sed sententia non sum contentus, quæ ea esse debet quam expressit Heathius verbis sat inconcinnis, κρύψαι' ἄν, εἰ κεῖν σοφὸς, quæque facilius sic reddenda videtur, κρύψας ἂν τίν, καὶ σοφος, vel καὶ σ., vel καὶ σ.

(6) Codex, ἐργοδωσίῳ : et sic c. 34. Cf. pp. 93, 94; 97, n. 9.

φορτωμένα εἴ τε ἀπόλυτα, εἴ τε καὶ ἕτερον κτῆνος, ὁρῶντες (1) ὅτι ἐν θυμῷ τύπτουσιν αὐτὰ ἀνηλεῶς, κρατούμενοι ἀνὰ τριάκοντα διπλῶν (2) ἐν δυνάμει δεχέσθωσαν, ἵνα καὶ αὐτοὶ ἀλγήσαντες, ἤτοι πονήσαντες, συνιῶσιν ὅσον χαλεπὸν ἐστὶ τὸ δέρεσθαι. Καὶ γὰρ καὶ τὰ κτήνη, κἂν οὐχ ὁμιλῶσι καὶ φθέγγωνται (3), ἀλλά γε παραπλησίως ἡμῖν πονοῦσιν (4) μαστιζόμενα. Πρόδηλόν τε ἐπὶ τῶν τοιούτων πρόσεστιν ὅτι, ὡς οὐκ οἰκτείρουσιν ἐλεοῦντες οὗτοι τὰ ἴδια κτήνη, οὕτω παραπλησίως οὔτε ἄνθρωπον ἐλεήσουσιν (5).

ΚΕΦ. λδ'. — Οἱ τὰ δερμάτινα πρόσωπα ἄνδρες ἀναιδεῖς ἐνδιδυσκόμενοι, καὶ ἐπὶ τῆς ἀγορᾶς δαιμονιῶντες καὶ παίζοντες, ὡς τοῦ Σατανᾶ τὴν αἰδῶ ἀσπαζόμενοι, καὶ τὸ εἶναι χριστιανοὶ παραχαράττοντες, καὶ τὸ « ἀποτάσσομαι (6) τῷ Σατανᾷ καὶ πάσῃ τῇ » πομπῇ αὐτοῦ » δημοσίως διαψευδόμενοι, δεχέσθωσαν ἀνὰ μαστίγων διακοσίων, καὶ πυρὶ προσαγέσθω

(1) Sensus postulat ὁρώμενοι, εἰ ἑρῶνται.

(2) Conf. p. 79, n. 3, de nomine διπλαῖ.

(3) Codex, φθέγγονται. Propter ὁμιλῶσι, sine mora φθέγγωνται scribendum fuit, quum librarius manifesto solœcismo teneretur, non auctor ipse. Et securus p. 93, n. 2, sic φθέγγονται mutaveram. Julianus Misop. p. 346 : ὅταν οὖν ταῦτα λογίσομαι. Sed non ita peccavit augustus sophista. Codex 2964 apte λογίσωμαι, quod et exstat in editione Wecheliana. Maximus Tyr. Diss. v, 1 : κἄν τις θεῶν αὐτοῖς συγχωρῆσαι ζῆν. Velim συγχωρήσῃ. Idem XLI, 2 : πᾶν κοσμεῖ ὅπου ἂν ἐπαφήσεται. Marklandus timidius ἐπαφήσηται proponit, quod est unice verum reperiturque in eodem codice.

(4) Codex, πονῶσιν. Infra, οἰκτείρωσιν, et ἐλεήσωσιν.

(5) Conf. p. 92, 1.

(6) Verba solemnia, de quibus t. IV, p. 85, n. 3. Salvianus de Gubern. VI, p. 128 : « diabolus autem in spectaculis » est et pompis suis ; ac per » hoc quum redimus ad specta- » cula, relinquimus fidem Chri- » sti . . . . . » Hieronymus Epist. sel. p. 390 : « renuncio tibi, dia- » bole, et sæculo tuo et pompæ » tuæ et operibus tuis. »

αὐτῶν εἴ τε θρὶξ καὶ ἡ γενειὰς, καὶ δημευθέντες οἱ τοιοῦτοι τῷ βασιλικῷ ἐργοδοσίῳ (1) ἀπαγέσθωσαν ἐπὶ ἐνιαυσιαῖον χρόνον, ὑπηρετοῦντες τῷ ἔργῳ, εἰ τύχοι, εἴτε δοῦλοι εἶεν, εἴτε καὶ ἐλεύθεροι τύχωσι χρηματίζοντες, ἐπιστάμενοι ἐν εὐσεβείᾳ καὶ φόβῳ Κυρίου ἑκάστοτε περιπατεῖν, καὶ μὴ, τὰ τῶν εἰδωλολατρειῶν ἔργα μετερχομένους, ἀπωλείᾳ παραδίδειν (2) τὰς ψυχὰς αὐτῶν.

Κεφ. λε΄. — Οἱ κιθαρῳδοὶ καὶ οἱ λυρισταὶ καὶ οἱ τραγῳδοὶ, καὶ οἱ κροτοῦντες χερσὶ (3), καὶ οἱ ὀρχούμενοι ὑπομενέτωσαν (4), κἂν τε ἄνδρες ὦσι, κἂν τε γυναῖκες, εἴτε κόραι καὶ νεανίσκοι. Ἐν γὰρ ταῖς ἡμέραις τῆς ἡμετέρας εὐσεβείας τε καὶ βασιλείας ταῦτα δια-

(1) Conf. p. 94, n. 6, de hoc nomine.

(2) Δίδω eadem forma supra p. 34, 9.

(3) Nominatis citharœdis, lyristis, cantoribus, adjungit τοὺς τὰς χεῖρας κροτοῦντας, ac saltatores. Capite sequente est κροτιστὴς non alio sensu. Sed quonam sensu? Plausores non possunt intelligi; putaverim κροτιστὰς esse vel pantomimos, vel, quod malim, κροταλιστὰς, eos nempe qui κρόταλα, crepitacula, digitis pulsant.

(4) Codex, ὑπομαινέτωσαν. Puto me verbum corruptum bene sanasse. Sed deest pœnæ significatio cap. 36 indicandæ. Inde cogitavi de ἀποβαινέτωσαν forsan restituendo. Facilis est præpositionum permutatio. Libanius t. IV, p. 217 : πρὸς θεῶν, ἀφίεντες τὸν γέλωτα, τὸ καθ' ἡμᾶς ἀνθρωπίνως ἐπακούσατε. Codex 3017, ὑπακούσατε, quod an sit melius non statim dicere queo. Non hæreo in loco vicino p. 210, αἱ τέχναι καὶ τὸ ὑπ' αὐτῶν εὐπορεῖν : hic ἀπὸ codicis lectionem præfero. Dein μ et β in codicibus sæpissime permutata sunt. Inde t. IV, p. 415, n. 3, apud Domninum β potius videbatur. Sententiæ monost. 174 : Μὴ 'μβαινε δυστυχοῦντι· κοινὴ γὰρ τύχη. Codex 1168, Μὴ ἐπίμενε, permutatis αι et ε. Quem versum sic scriptum vidi in cod. 396 : Μὴ 'μβαινε δυστυχοῦσι· κοινὴ γὰρ ἡ τύχη. Syntipas Fab. 40 : τοῖς ἐν δυσπραγίαις δυναστῶν περιπίπτουσι πάντες οἱ ἐντυγχάνοντες μισητῶς ἐπιβαίνουσι. Quum sit in codice ἐπιμμαίνουσιν, bene conjecit Matthæius esse legendum, ἐπιμβαίνουσι.

πράτ[ε]σθαι ἡμεῖς ὐκ ἀνεχόμεθα, ὐδὲ παρὰ τὸ τυχόντος. Ἐν γὰρ πάσῃ πόλει καὶ χώρα τῇ ὑφ' ἡμῶν βασιλευομένῃ (1) ὅτε κιθαρῳδὸν χρήζομεν εἶναι, ὅτε λυρῳδὸν, ἀλλ' ὅτε τραγῳδὸν, ἢ ὀρχήσ[τ]ριαν (2), εἴτε ἄνδρα, εἴτε γυναῖκα, εἴτε νεώτερον, εἴτε νεωτέραν, ἀλλ' οὔτε μικρὸν, οὔτε μέγαν· πάντας δὲ φιλεῖμεν εἶναι ἀγαθοὺς καὶ εὐσεβεῖς καὶ φοβουμένους τὸν Κύριον. Ὁ δὲ βουλόμενος εὐφραίνεσθαι ἐν τῷ εὐθυμεῖν, ψαλλέτω (3). « Ἀλλ' οὐκ ἐπίσταμαι » φησί, « ψάλλειν (4) »· τοῦ πονηροῦ δαίμονος ἔμαθες τὰς ἐπῳδὰς, μὴ οὔσας ἐν βίβλῳ τινὶ γεγραμμένας· καὶ τοῦ Θεοῦ τὴν ψαλμῳδίαν γεγραμμένην περιοῦσαν οὐ μανθάνεις (5)!

Κεφ. λς'. — Ἅπαντα τραγῳδὸν καὶ χροτισ[τ]ὴν (6) καὶ ὀρχούμενον, καὶ πάντα (7) παίγνιον μιαρὸν καὶ αἰσχρὸν ἐν τῇ γῇ τῆς βασιλείας ἡμῶν εἶναι οὐ βουλόμεθα. Οἱ δὲ παραβαίνοντες κατασχεθήτωσαν, καὶ μασ[τ]ιξέσθωσαν, καὶ πυρπολείσθωσαν, τυτέσ[τ]ι τζυκξέσθωσαν (8), καὶ δημευόμενοι, τῷ ἐργοδοσίῳ (9) ἐπὶ ὁλόκληρον ἑνιαυτὸν ὑπουργεῖν καταδικαζέσθωσαν.

Κεφ. λζ'. — Τὸ αὐτὸ καὶ οἱ τοῖς κύβοις σχολάζοντες, καὶ οἱ τὸ τειβόλιν (10) καὶ οἱ τὰς χορδὰς τῆς ἀσωτείας

(1) Codex, *τὴν... βασιλευομένην.*

(2) Codex, *ὀρχίσ[τ]ειαν.*

(3) Respectu ad Jacobi Epist. v, 13 : *κακοπαθεῖ τις ἐν ὑμῖν · προσευχέσθω · εὐθυμεῖ τις · ψαλλέτω.*

(4) An meminerat sanctus ille vir Gregentius Aristophanei versiculi? *Τί γὰρ πάθω; σκάπτειν γὰρ οὐκ ἐπίσταμαι.*

(5) Codex, *μανθάνης.*

(6) Conf. p. 96, n. 3.

(7) An *πᾶν*, vel *παντάπασι πᾶν παίγνιον*? ni sit major lacuna.

(8) Scholium est verbi *πυρπολείσθωσαν*. Forsan *τζουκνῆζ*. vel *τζουκνιζ*. Est enim in Cangii Glossario *τζουκνία, fumigatio*. Indicetur c. 61 supplicium fumigationis.

(9) Codex, *ἐργωδοσίῳ*. Confer supra pag. 94, n. 6.

(10) Nescio quid sit *τειβόλιν* vel *τειβόλιον*. Nec locus integer esse videtur.

χορεύοντες καὶ ὀρχούμενοι καὶ καταλέγοντες (1), ἅπαντας βαλλόμενον ὃ προσήκομεν, εἰ μή γε πρὸς μετεωροφροσύνην πολλάκις τινῶν τὸ ἀπὸ νοὸς καὶ τῇ χειρὶ μεταχινούμενα, οἷον τριάδιν (2) καὶ τὰ παραπλήσια.

ΚΕΦ. λη'. — Προσήκομεν τοὺς βουλομένους μετεωρίζεσθαι, πνευματικῶς τοῦτο γίνεσθαι ἐν ταῖς ἁγίαις ἐκκλησίαις, οἷον διὰ προσευχῆς, διὰ ἀναγνωσμάτων, διὰ ψαλμῳδίας καὶ δι' ἐλεημοσύνης. Ἐν τούτοις εὐφραίνεσθαι δεῖ ἅπαντας, ὡς ἀληθῶς ὄντας χριστιανοὺς, ὡς δούλους Χριστοῦ, ὡς τέκνα φωτὸς (3), ὡς κληρονόμους τῆς βασιλείας τῶν οὐρανῶν (4), λιτανεύοντας ἐξ οἴκου Κυρίου ἐξέρχεσθαι (5), ἐπὶ οἶκον Θεοῦ πορευόμενοι καὶ προσευχόμενοι εὐφραίνεσθαι, ἀγαπῶντες ἀλλήλους, ἀπαρεγκλίτους ταῖς ἀρεταῖς ὡς ὁ ἥλιος (6).

ΚΕΦ. λθ'. — Οἱ ἀτιμίαις καὶ ὕβρεσι βάλλοντες ἀλλήλους, χαίρομενοι, ἀνὰ εἰκοσιτεσσάρων μασίγων δεχόμενοι, ἀπολυέσθωσαν, εἴτε ἄρρενες τύχοιεν (7), εἴτε θῆλυ. Ἐὰν δὲ ὁ μὲν εἰς ὕβρεσιν τὸν ἕτερον βάλλῃ ἢ καὶ τοξεύῃ, ἐκεῖνος δὲ, διὰ τὸν φόβον τοῦ πειρασμοῦ ἡμῶν, σιωπήσας προσέλθῃ μᾶλλον καὶ

(1) Codex, καπὲ λέγοπες. An καπὰ λέγοντες? Sed, quum sequentia, quæ nullo modo cohærent, lacunæ faciant indicium, nihil est tentandum. Insuper est observandum passim sic præpositiones a librario in compositis seorsim scribi.

(2) Τριάδιν, corrupta desinentia pro τειάδιον, est hymnus ecclesiasticus in honorem S. Trinitatis. Sed quid hic sibi vult id, ea quidem significatione, vocabulum?

(3) Epist. ad Ephes. v, c. 8 : ὡς τέκνα φωτὸς περιπατεῖτε.

(4) Conf. t. IV, p. 476, 3.

(5) Sic codex.

(6) Conf. t. IV, p. 296, n. 3.

(7) Codex, πύχοιεν.

ἐντύχῃ (1) τῇ ἐξουσίᾳ, δεχέσθω ὁ ὑβρίσας τεσσαράκοντα ὀκτὼ μάστιγας, καὶ δημευθεὶς ἀπολυέσθω. Κελεύει γὰρ ἡ ἡμετέρα βασιλεία, καθὼς φάσκει ὁ ἀπόστολος (2), « τῇ τιμῇ ἀλλήλους προηγούμενοι », καὶ μηκέτι ἔχειν ὑμᾶς (3) τοιαύτην ἄδειαν ὕβρεσιν βάλλειν ἀλλήλους· τιμᾶτε γὰρ ἑαυτοὺς καὶ μὴ ἀτιμάζετε (4).

Κεφ. μ'. — Πάντας τοὺς παῖδας, ὡς ἔθος ἐστὶν αὐτοῖς, ἀπαιδεύτως ἐν ταῖς τῶν ἑορτῶν ἡμέραις συναθροίζεσθαι καὶ παιγνιάζειν παραυτὰ προστάττομεν κωλύεσθαι. Συναναφυρόμενοι γὰρ τοῖς ἀλόγοις παιγνίοις ἐκ δαιμονικῆς ἐνεργείας, ἐπὶ μιαρὰς μίξεις προτρέπονται ἀλλήλους, πορνείαν παιδευόμενοι (5) καὶ τὴν ἐπάρατον τῶν Σοδόμων ἀσέλγειαν, κλοπὴν καὶ ψεῦδος καὶ μίνην (6), αἰσχρολογίαν καὶ ἀργίαν καὶ χαύνωσιν· καὶ τί χρὴ λέγειν καὶ πρὸς τούτοις τὰ λοιπά; Διὸ κελεύομεν μηδὲ τὸ καθόλου (7) παρεᾷν ταῦτα ἀθροίζεσθαι καὶ παίζειν. Ἀλλ' οὖν καὶ αἱ διατριβαὶ ἅπασαι ἀκριβῶς παρατηρείσθωσαν, μή ποτε ἐν μέσῳ αὐτῶν ἀναβλαστήσειεν τιποτοῦν πονηρὸν καὶ ἐφάμαρτον. Οἱ δὲ ἐν

(1) Codex, βάλλει... τοξεύει... προσέλθῃ... ἐντύχει.

(2) Epist. ad Rom. XII, 10.

(3) Codex, ἡμᾶς. Æschylus Suppl. 916: Ἕλξειν ἔοιχ' ὑμᾶς ἀποσπάσας κόμης. Verba sunt præconis. H. Stephanus volebat legi ἡμᾶς, quod ipsum exstat in codice 2886. Jam erit choro dandus versus, et præconi sequens.

(4) Eadem antithesis apud Joannem VIII, 49: τιμῶ τὸν πατέρα μου καὶ ὑμεῖς ἀτιμάζετε. — Codex, τιμάται..... ἀτιμάζεται.

(5) Codex, παιδευόμενα. Hesychius: μύλλει, λεῖα. Proposuit vir doct. μ. ἀλεῖ: ut et alio loco, pro μυμεῖ, λεῖα, scripsit μύλλει, ἀλεῖ. Facilius videtur mutare λεῖα in λειοῖ, quod Vossius volebat. Sæpius α et οι sunt confusa.

(6) Sic codex. Cogitavi de voce, ob sonum similem prorsus, μῆνιν. Sed nec hujus orationis nec loci esse videtur.

(7) Cod. τὸν καθ' ὅλου. Cf. c. 42.

παιγνίοις εὐφισχόμενοι ἀνὰ εἰκοσιτεσσάρων λώρων τυπτόμενοι, καὶ παραγγελίαν (1) δεχόμενοι, ἀπολυέσθωσαν.

ΚΕΦ. μϚ' (2). — Οἱ τὰς μεγάλας ὑποστάσεις ἐν τῷ τελευταῖν καταλιμπάνοντες, πάρεξ τῆς ἡμετέρας ἐξουσίας ἐπιτροπεύεσθαι αὐτὰς οὐδὲ τὸ καθόλου προστάττομεν. Δέον γὰρ παρ' ἡμῶν ταῦτα καλῶς διοικεῖσθαι, καὶ μᾶλλον τὰ ψυχικὰ (3) αὐτῶν τοῖς τὰ χρέα κεκλημένοις ἐν τῇ πόλει ἀδελφοῖς ἡμῶν εὐσεβῶς διανέμεσθαι. Καὶ γὰρ πολλοὶ ἐπιτροπὰς καταπιστευόμενοι, ὁλοσωμάτως αὐτὰς (4) καταπίνοντες, ὅτε μίαν (5) ὠφέλειαν τῇ ψυχῇ τοῦ τετελευτηκότος κατεργάζονται. Ἐὰν δὲ δηλωθῇ ἐν ἡμῖν ἐπ' ἐσχάτων ὅτι τινὲς ἐν τῷ λελησθότι, πάρεξ ἡμῶν, ταῖς τοιαύταις ἐπιτροπαῖς ἐπιβεβηκότες, αὐταῖς (6) κατενεμήσαντο, εἰσκομιζόμενοι ἅπασαν αὐτῶν τὴν ὑπόστασιν, ἐπὶ τέλους καὶ αὐτοὶ ἐξοιχέσθωσαν.

ΚΕΦ. μγ'. — Οἱ τοὺς αὐτῶν οἰκέτας, εἴτε καὶ ἐλεύθερος, ἀπὸ τῆς ἁγίας ἐκκλησίας, ἐν τῷ πεφευγέναι (7) αὐτοὺς ἐν ταύτῃ, βίᾳ ἐκεῖθεν ἀποσπῶντες, καὶ μαστίζοντες, εἴτε καὶ ἑτέρως πως αὐτοῖς ἀνταποδιδοῦντες, ἐπιγινωσκόμενοι οἱ τοιοῦτοι, ὁ μὲν οἰκέτης ἐλευθερίας τυγχανέτω· εἰ δὲ ἐλεύθερος ὑπάρχει ὁ ἐκεῖθεν ἀποσπασθεὶς καὶ μαστιχθεὶς, ὑπὲρ τοῦ τολμήματος, ὡς ἀσεβὴς καὶ παραβάτης καὶ καταφρονητὴς καὶ ἐχθρὸς τοῦ Θεοῦ, οὕτω τολμήσας (8) ἐν τῷ Τειχάνῳ τόπῳ,

(1) Conf. pag. 86, n. 8.
(2) Sic codex, vel lapsu calami, vel ex omissione integri capituli μά.
(3) Codex, ψυχικά. Sunt ψυχικὰ « eleemosynæ. »
(4) Codex, αὐτούς.
(5) Forsan οὐδεμίαν, ni perierit aliquid.
(6) Pro αὐταῖς velim αὐτάς.
(7) Codex ita.
(8) Forsan ὁ οὕτω τολμήσας.

ἐν ᾧ τὰ σώματα ὠνοῦνται, ἐν δύο μονήταις (1) πιπρασκέτω, ἵνα κἂν ἐντεῦθεν καταισχυνθῇ τὸ ἀναιδὲς αὐτοῦ πρόσωπον, ὅτι ὅλως ἐτόλμησεν ἀποσπᾶσαι ἐκ χειρὸς Κυρίου τὸν ὅμοιον αὐτῷ κατ' εἰκόνα ἄνθρωπον, καὶ ἀνταποδοῦναι αὐτῷ.

ΚΕΦ. μδ'. — Ἐπὶ πάσης ἐπιστήμης ἐὰν τεχνίτην φθονῶν καὶ λοιδορῇ (2), εἴ τε διαβάλλει, ἢ καὶ ἐν αὐταῖς ταῖς πραγματείαις ἀντιβαδιάζῃ (3), δεκαδύο μάστιγας λαμβάνειν ὁ τοιοῦτος, καὶ τριάκοντα ἡμέρας τῷ ἐργοδοσίῳ παραδοθεὶς ταλαιπωρείσθω, ἐκμανθάνων μὴ φθονεῖν τὸν ἀδελφόν (4).

ΚΕΦ. με'. — Ταξεώτην ἤτοι μανδάτορα, ἤ τινα ἑτέραν ἔκταξιν (5), πρὸ τοῦ τελείως εἴτε ἐκτάξαι ἢ πρὸ τοῦ ἐκτελέσαι αὐτὸν τὴν ὀφειλομένην αὐτῷ τὸ δίκαιον ἔχοντι ὑπηρεσίαν, προστάττομεν τὸ οἱονοῦν μὴ λαβεῖν παρ' αὐτοῦ μέχρις ἂν τελειώσῃ τὴν δουλείαν, καὶ τὸ τηνικαῦτα κομιζέσθω τὸ ὀψώνιον αὐτοῦ, καὶ τοῦτο κατὰ τὴν πρέπουσαν δικαιοσύνην καὶ μὴ παρὰ τὸ δέον. Οἵ τε παραβαίνοντες τό γε, καὶ οἱ εὑρισκόμενοι ὅτι ἐσθίουσιν ἀπὸ τὰ δύο μέρη, ἐκδιωκέσθωσαν τῆς ἀξίας καὶ τοῦ ἀριθμοῦ αὐτῶν, ὡς μεμηνότες φαγάδες μαστιζόμενοι, καὶ ἀντ' αὐτῶν εὐσεβεῖς εἰσαγέσθωσαν.

(1) Codex, μονήτης. Est μονῆτα, *moneta:* cf. p. 8, n. 3. Sed quid sit ἐν δύο μονήταις vendi non capere me fateor; nisi fiat irrisionis et contemptus causa.

(2) Cod. λοιδορεῖ. An καταλοιδορῇ?

(3) Forsan ἀντιβιάζῃ vel ἀντιβαδίζει.

(4) Et sunt in Nomocanone apud Cotel. Monum. t. I, p. 146, genuflexiones centum et annorum duorum pœnitentia in eos indictæ artifices qui artifices alios invidia aut fraudibus lædunt.

(5) Sic codex. Deest nonnihil, ni sit ἔκταξις pro eo qui delegationem accepit, quod vix puto. Desideratur, ni fallor, εἰληφότα, δεχόμενον.

ΚΕΦ. μς'. — Πᾶς ὁ λαμβάνων δίκην καὶ παρὰ τὸν νόμου δικαίως καταδικαζόμενος, ἐπὶ δύο μησὶν ὁ τοιοῦτος τῷ βασιλικῷ ἐργοδοσίῳ προσαγέσθω ἐργάζεσθαι καὶ ταλαιπωρεῖν, ἵνα ἔκτοτε μάθῃ μὴ ἀδικεῖν τὸν πλησίον οὐκ ἔτι. Εἰ δέ γε ἑτέρως πως ἐστὶν ἡ δίκη, δικαιωθεὶς καὶ τὸ δίκαιον κεκλημένος, ἀπέλλητος ἀπολυέσθω. Ἕτερον γάρ ἐστι τὸ ἀδικῆσαι τὸ οἱονδήν, καὶ ἁρπάσαι καὶ τύψαι καὶ πλεονεκτῆσαι, καὶ ἕτερον πέφυκε τὸ ἐπὶ ἀγνοουμένοις πράγμασι νόμον ἐπερωτᾶν.

ΚΕΦ. μζ'. — Ὅτι δεῖ τὸν βασιλέα ἐπὶ μεγάλων πραγμάτων βουλεύεσθαι ἀνδράσιν ἁγίοις, καὶ δι' αὐτῶν ἐπερωτᾶν τὸν Θεὸν τὸν ἅγιον, καὶ οὕτω τὰ ἐκείνῳ δόξαντα διαπράττεσθαι ἄμεινον. Ὁ γὰρ ὕστερον τοιῶν εἰς τὸν αἰῶνα οὐ καταισχυνθήσεται.

ΚΕΦ. μη'. — Ἀνὴρ γυναικὸς κεφαλή (1). Γύναιον οὖν, κἂν οἰκέτης ᾖ, αὐτῆς τῆς γυναικὸς καὶ περίεστιν ἄρρεν· οὐ προσλάτομεν αὐτῇ τὸν τοιοῦτον ἐνυβρίσαι ἧπερ (2) ἐξουδενῶσαι. Νοουμένη τε ἡ τοιαύτη ὅτι ἐνυβρίζει τοὺς ἄρρενας, τεμνέσθωσαν αἱ τείχες, ἤγουν ἡ κόμη, ὄπιθεν τῆς κεφαλῆς αὐτῆς, καὶ δημευθεῖσα ἀπολυέσθω. Εἰ δέ γε μετέπειτα ἀναιδῶς ἵσταται καὶ ἐνυβρίζει τοὺς ἄρρενας, ἐπιγινωσκομένη τεμνέσθω τὸ ἔξοχον τῆς γλώττης αὐτῆς τῆς ἄφρονος, καὶ ἀπολυέσθω. Εἴτε καὶ χεῖρα αἴρει (3) τοῦ τύψαι τὸ τυχὸν

(1) Codex, κεφαλήν. — Paulus ad Ephes. v, 23 : ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικός. Paulina verba respexit Gregorius Naz. Or. xi, p. 180, de Gorgonia : οὐ γὰρ ἐπὶ σαρκὶ συνήφθη, διὰ τῆς ἐχωρίσθη τὸ πνεύματος, οὐδ' ὅτι κεφαλὴν ἔσχε τὸν ἄνδρα, διὰ τοῦτο τὸν πρώτην κεφαλὴν ἡγήσατο.

(2) Codex, εἴπερ.

(3) Cod. αἴρειν. Non mutavi χεῖρα, etsi c. 20 melior fuerit

ἄρρεν, πάρεξ ὃν ἔτεκεν, τὰ πρῶτα μὲν τὴν ἐπὶ τῇ ὕβρει ποινὴν ὁρισθεῖσαν ὑπομενέτω· κἂν μὴ κολασθῇ ἔκτοτε ἀπὸ τῶν τοιούτων, ἀλλά γε πάλιν τὰ αὐτὰ κατεργάζεται, τὸν νόμον ἡμῶν εἰς οὐδὲν τιθεμένη, τεμνέσθω ἡ χεὶρ αὐτῆς, ὅτι, δόξα ἀνδρὸς χρηματίζουσα, ἐτόλμησεν ἆρα τὴν δόξαν αὐτῆς κατὰ τῆς δόξης τοῦ Θεοῦ· δόξα γὰρ Θεοῦ ὁ ἀνήρ (1). Εἴτε χάριν παιδεύσεώς τινος ταῦτα ὑποτίθενται, οἱ (2) κῆ πολῆθος οἰκετῶν κεκτημένοι, παιδευέτω μὲν ὁ ἀνὴρ ἄνδρας, ἡ δὲ γυνὴ γυναῖκας, ἤγουν τὰς θεραπαινίδας αὐτῆς. Πόδας γὰρ ἡμεῖς κελεύομεν τύπτειν, κεφαλὴν οὐδόλως προστάττομεν.

ΚΕΦ. μθ'.—Γυνὴ χήρα ἐπὶ δεύτερον γάμον ὁρμάτω· εἴτε ἐν μοναστηρίοις τοῖς παρ' ἡμῶν ἀρτίως συστᾶσιν ἀποτασσέσθω (3), εἰ μὴ βούλοιτο γάμῳ προσορμῆσαι, μή ποτε πειράσῃ αὐτὴν ὁ Σατανᾶς (4). Εἰ δέ γε ἀπὸ δι γαμίας ἐχήρευσεν, κἂν μὴ βουλομένη, ἀποτασσέσθω· οἱ γὰρ θεῖοι κανόνες (5) τρίτῳ ἀνδρὶ

scriptura χῆρα αἴρειν, quum ex notis, p. 60, pateat et potuisse χῆραν ab auctore scribi. In Gruteri Inscript. p. 1080, 3, est πατρίδαν.

(1) Epist. I ad Corinth. XI, 7: ἀνὴρ...εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων, γυνὴ δὲ δόξα ἀνδρός ἐστιν.

(2) Pro τί scripsi οἱ, nominativo pendente, quæ syntaxis in hac lege est sæpius obvia.

(3) Restituto atque instaurato monialium cœnobio quodam, Nilus Junior (vid. ejus Vita p. 81) urbis cives his monebat verbis: εἴ τις ἐξ ὑμῶν τιλευτήσῃ, καὶ βουληθῇ ἡ γυνὴ αὐτοῦ τὸ λοιπὸν ἐν ἁγνείᾳ βιῶσαι, μὴ ἔχουσα δὲ πῦ καταφυγεῖν, ἑτέρῳ γάμῳ προσομιλήσῃ, ὑμέτερον ἐστὶ πλαῖσμα τῶν μὴ σπουδασάντων ἵνα τοιαύτη πόλις ἓν μοναστήριον ἔχῃ.

(4) Conf. Epist. I ad Corinth. VII, 5.

(5) Vide Elmenhorst. ad Minuc. p. 89. Nomocanon in Monum. Cotel. tom. I, pag. 119, nuptias quartas omnino rejicit; tertias, quas ob evitandam fornicationem aliquis susceperit, ecclesiasticis pœnis castigat. Conf. Nicephi. Canones ib. t. III, p. 445.

ζευχθῆναι οὐκ ἀνέχονται. Τῷ αὐτῷ (1) καὶ ἐπὶ ἀνδρῶν χηρευσάντων γινέσθω.

Κεφ. ν'. — Οἱ τὰς ἑαυτῶν συντέκνους ἀσώτως μετερχόμενοι (2), ὁπόταν ἐν τῇ ἁμαρτίᾳ αὐτῶν μετ' αὐτῶν κατασχεθῶσιν, ἡ μὲν τὸν μαστὸν, ὁ δὲ τὸ ἐργαλεῖον τῆς ἁμαρτίας (3), παραυτὰ ἀποτεμνέσθω, καὶ ἀπολυέσθω.

Κεφ. να'. — Οἱ τοὺς ἑαυτῶν οἰκέτας ἐν ἡμέρᾳ ἑορτῆς μεγάλης, εἴτε ἐν τῇ ἁγίᾳ κυριακῇ, ἀποστέλλοντες φέρειν ἀγωγήματα, εἴτε χόρτον, ἢ ξύλα, ἢ οἶνον, πάρεξ τοῦ ποτίμου, τὰ ἥκοντα αὐτοῖς ἀπὸ τῶν προαστείων αὐτοῖς, εἴτε καὶ ἐξ ὠνήσεων, ἐκτὸς τοῦ ὀψωνίου, κρατούμενοι οἱ οἰκέται, εἴτε καὶ αἱ θεραπαινίδες αἱ μετ' αὐτῶν, τὰ μὲν ἐπιφερόμενα παρ' αὐτῶν ἀφαιρείσθωσαν. Εἰ δέ γε ἀντιτάξεταί τις τῇ ἡμετέρᾳ ἐξουσίᾳ, καὶ ἀντιλέγει καὶ γογγύζει καὶ ἀρᾶται, μαρτυρουμένου τοῦ πράγματος, ξίφει ὁ τοιοῦτος τοῦ ζῆν ἀπαλλαττέσθω, εἰδὼς πείθεσθαι Κυρίῳ καὶ βασιλικαῖς διατάξεσιν.

Κεφ. νϐ'. — Οἱ κρατοῦντες μισθὸν μισθωτοῦ (4), ἐγκαλοῦντος τοῦ ἠδικημένου, ἀνθ' ὧν μετὰ καλοῦ (5) οὐ δέδωκεν αὐτῷ τὸν μισθὸν αὐτοῦ, ἀλλά γε ἠϐουλήθη ἀποστερῆσαι αὐτὸν, ὁ ἀδικήσας ἐν διπλῇ ποσότητι

(1) Forsan τὸ αὐτό: ni possit, quod vix placet, ellipsis cogitari nominis τρόπῳ. Conf. infra pag. 111, 5.

(2) Compatris cum commatre peccatum inter αἱμομιξίας seu incestus (cf. c. 2) recensetur in laudato nomocanone p. 99.

(3) Cf. c. 7, p. 81, 1. Auctor Vitæ Nili Junioris p. 92, de Eupraxio quodam homine incontinentissimo cujus glandem gangræna depascebatur: δίκας εἰσεπράττετο τὸ τῆς ἀσωτίας ὄργανον.

(4) Quod non uno in loco sacrarum scripturarum fieri prohibetur.

(5) Id est, puto, δικαίως.

ἀπαιτεῖσθω τὸν μισθὸν, καὶ δεχέσθω αὐτὸν ὁ ἀποστερηθείς.

ΚΕΦ. νγ'. — Ἐάν τις εὑρεθῇ λιμώττων (1) τοὺς ἑαυτοῦ οἰκέτας, ἢ πάλαι ἀποτόμως τύπτων καὶ οὐ κατὰ παιδευτικὴν παιδείαν, καθαροποιουμένου τοῦ σφάλματος αὐτοῦ καὶ φανερωμένου (2), αἱρέσθωσαν ἀπὸ τοῦ τοιούτου τὰ οἰκετικὰ πρόσωπα, καὶ ἐλευθερίας τυγχάνοντα ἀπολυέσθωσαν, ἀπαιτουμένων καὶ τῶν ἐγκωτίων (3) αὐτῶν παρὰ τῶν κυρίων αὐτῶν. Γέγραπται γὰρ (4) ὅτι ἐν Χριστῷ οὐκ ἔνι δοῦλος, ἀλλ' ὅτε ἐλεύθερος, πάντες δὲ ἓν χρηματίζομεν οἱ σώζεντες ἐν αὐτῷ. Ἐὰν δὲ ἀνελλειπῶς (5) ἔχῃ ὁ οἰκέτης τὰς χρείας αὐτοῦ, καὶ οὐχ ὑπείκῃ (6) τοῖς δικαίοις προστάγμασιν τοῦ κυρίου αὐτοῦ καὶ μὴ τοῖς ἐφαμάρτοις (πολλοὶ γάρ εἰσιν οἵτινες προτρέπονται τοὺς δούλους αὐτῶν συνεργεῖν αὐτοῖς (7) ἐπὶ τῇ πορνείᾳ καὶ ἐπ' ἄλλοις ἔργοις πονηροῖς)· ὁ δὲ μὴ ὑπείκων ἐπ' ἀγαθῷ τῷ κυρίῳ αὐτοῦ, ἐάσθω, εἰ καὶ ἐγκαλεῖ, ἀνεκδίκητος.

ΚΕΦ. νδ'. — Οἱ ὠμῶς τε καὶ δεινῶς πρὸς τοὺς οἰκέτας αὐτῶν διακείμενοι, ἐλευθερωμένων τῶν οἰκετῶν αὐτῶν, ἀπαιτείσθωσαν καὶ ἰδιόχειρα τοῦ μηκέτι

(1) Codex, λοιμῶπτ.
(2) Sic codex.
(3) An ἐγκοπίων?
(4) Epist. ad Galatas III, 28.
(5) Codex sic. Melior esse videtur scriptura per ι, ἀπλιπῶς. In Antigona 1043, pro vulgato αἰσχροκέρδειαν codex 2884 αἰσχοχειρδίαν exhibet, quæ forma præ altera grammaticis nonnullis unice placet.
(6) Codex, ἔχει...ὑπήκει. Solœcismum librario iotacistæ tribui. Epistolæ Socrat. 4: παρεκάλουν πρὸς φιλοσοφίαν αὐτόν· ὁ δέ μοι δοκεῖ διανοεῖσθαι, μᾶλλον δὲ ὁρμᾶσθαι πρὸς τὰ πολιτικά. Codex 3054:...διανοῆσθαι μᾶλλον ἐξορμᾶσθαι πρὸς...optime. — Infra codex, ὑπήκων, ὑπήκωσιν: sic c. 64; ut et pag. 66, n. 1.
(7) Imo αὐτοῖς.

αὐτοὺς ὠνεῖσθαι ἑτέρους οἰκέτας. Ἐὰν δὲ τὰ σφαλερὰ ἤθη διορθοῦνται, τοῦ μηκέτι ὠμῶς καὶ ἀπανθρώπως αὐτοὺς τύπτειν, παρεάσθωσαν οἱ οἰκέται καὶ μὴ ἐλευθερούσθωσαν. Παρέχωσι δὲ αὐτοῖς, ἐπὶ τὸ διπλάσιον ἱμάτιον καὶ ὑποδήματα, καὶ τὴν λοιπὴν χρείαν ἀνὰ ἔτος οἱ κύριοι αὐτῶν, πλουσίως καὶ τὴν δαπάνην παρέχοντες αὐτοῖς· καὶ ἐὰν μὴ ὑπείκωσιν τοῖς κυρίοις αὐτῶν ὡς τὸ δέον, οὐκ ἔστιν ὁ ἐλεῶν αὐτούς.

Κεφ. νε'. — Τῶν πενήτων ἁπάντων καταταγέντων (1) εἰς τὰ πτωχοτροφεῖα καὶ εἰς τὰ γηροκομεῖα, οὐ προστάττομεν οὐδὲ τῷ τυχόντι ἀνθρώπῳ ἀπαιτεῖν (2) ἄρτον ἐπὶ τῆς μέσης, ἢ ἐν ἐκκλησίαις, ἢ ἐπ' ἄλλῳ

(1) Codex, καταγέντων. Conf. p. 80, n. 1.

(2) Codex sic. Malim ἐπαιτεῖν, quo verbo utetur infra. Permutantur sæpe ἐπὶ et ἀπό. Theodorus Prodr. Tetrast. p. 68 : Πετροβολεῖ δ' ἐφύπερθε θεὸς πέτρῃσι χαλάζης· melius ἀφύπερθε in cod. 2831. In Andreopulo De Syntipa pag. 125, 7, pro ἐπεσώθη, mendo typographico, reponas ἀπεσώθην : cf. ibid. p. 203, 5. Sophocles Antig. 1097 : ἀξίνας χεροῖν Ὁρμᾶσθ' ἑλόντες εἰς ἐπόψιον τόπον. Est in cod. 2884 ἀπόψιον, qua varietate non minui puto loci difficultatem quæ magna est. Aptissime lacunæ signa apposuit Hermannus. Qui enim ait se Antigonam esse liberaturum, non potuit Creon non simul de sepeliendo Polynice loqui; præsertim quum leges a se violatas clamet, quas non in una Antigona, sed in utroque violavit. Quæ fuisse a Creonte dicta patet e proxima Nuncii narratione. Itur enim statim ad Polynicis funus peragendum, Nuncio ipso duce, quo de itinere comites scena præcedente Creon monere debuit. In eo narrationis loco quo Nuncius cremationem describit cadaveris, hæc sunt egregie scripta : ἐν νεοσπάσιν Θαλλοῖς ὃ δὴ λέλειπτο συγκατήθομεν. Intelligi video νεοσπάσιν (sic pro vetere scriptura νεοσπάσι exstat in cod. 2886) de ramis quos Creontis servuli securibus ceciderant. Fere malim intelligere de ramis circumjacentibus, ac recens avulsis, eo scilicet violentissimo venti turbine, de quo v. 415 : οὐράνιον ἄχος Πίμπλησι πεδίον, πᾶσαν αἰκίζων φόβην Ὕλης πεδιάδος. Non enim folia tantum sunt φόβη, sed et ipsi rami, eique crassiores; tam atrox tempestas non in folia tantum et pedunculos sæviebat.

τινὶ τόπῳ. Ὁ γὰρ λόγος ὁ ἐμὸς βοᾷ καθ' ἑκάστην· ὁ πεινῶν καὶ ὁ διψῶν καὶ ὑστερούμενος ἐρχέσθω πρὸς ἡμᾶς, καὶ ἐν ὀνόματι Κυρίου δεχέσθω τὴν καλάληλον χειραγωγίαν παραμυθούμενος (1). Καταμέμφονται γὰρ ἡμῶν τὰ ἀλλοδαπὰ ἔθνη ἐνταῦθα παραγένομα, λέγοντες· « Ἄσπλαγχνοι » φησίν (2), « χρηματίζουσιν » οἱ χριστιανοὶ, καθότι οἱ ἀδελφοὶ αὐτῶν ἐπαιτοῦσιν » ἄρτον, καὶ οὐκ ἔστιν ὁ ἐλεῶν αὐτούς. » Ἡμεῖς ἐλεήσωμεν τοὺς ἀδελφοὺς ἡμῶν, μᾶλλον δὲ δεσπότας καὶ κυρίους.

Κεφ. νς'. — Ὅσοι οὖν εἰσὶ τεταγμένοι καὶ κομίζονται τὰς ἑαυτῶν χρείας, μηδὲ τὸ καθόλου ἐπαιτείτωσαν. Εἰ δέ ποτε φωραθείεν, ἐπαιτῶν κἂν εἷς τυπτέσθω πληγὰς ὀκτὼ καὶ δέκα, καὶ ἀποκλειέσθω ἐν τῷ γηροκομείῳ αὐτοῦ, καὶ παραγγελίαν δεχέσθω ὁ τοῦ πωχοτροφείου προϊστάμενος τοῦ μηδὲ τὸ καθόλου ἐᾶν αὐτὸν τῶ γηροτροφείου ἐξέρχεσθαι. Ὁ δὲ μὴ ὢν τεταγμένος προσαγέσθω ἡμῖν, καὶ ποιοῦμεν ἔλεος μετ' αὐτοῦ. Οἱ δέ γε βουλόμενοι ποιεῖν ἐλεημοσύνας, ἀπιόντες ἐν τοῖς πωχοτροφείοις τε καὶ γηροκομείοις, καὶ σκεῖσε αὐτῶν τὴν εὐποιΐαν εἰσπραττέτωσαν. Εἴ τε τυχὼν (3) κατὰ τὴν ὁδὸν σιωπῶντα καὶ διοδεύοντα πένητα θεάσοιτό τις, οὐ χραυγάζοντα, ἀλλ' ἐπὶ διακονίαν δήκοντα, καὶ βούλοιτο, ἐλεῦνταί (4) αὐτὸν κελεύομεν.

(1) Codex, κατ' ἄλληλων χειρ. παραμυθούμενοι.

(2) Non corrigendum puto φασίν : conf. c. 69, et t. IV, p. 336, n. 1. Ceterum φησὶν et φασὶν sæpissime confusa sunt. Scythius Anth. Palat. XII, 22 : Καὶ τί παῖδα; φασὶν γὰρ ὁρᾶν μόνον. Propono φησίν. « Puer feroculus jubet ut » aspiciam tantum, non tangam. »

(3) Forsan τυχών.

(4) Sic codex. Forsan ἑλεοῦν

ΚΕΦ. νζ'. — Τὰ οἰκήματα πάντα τῆς πόλεως, ὅσαπερ εἰσὶν ἐνοικιαζόμενα κακῶς, καὶ αὐξηθέντος (1) αὐτῶν παραλόγως τοῦ ἐνοικίου ἀπὸ τῶν πρόπαλαι χαλεπῶς κεκρατηκότων τὰ τῶν Ὁμηρειτῶν πράγματα, μετὰ Θεὸν προσλάτλομεν τὰ ἐνοίκια ἐλαττοῦσθαι. Ὁ διδοὺς ἐννέα νομίσματα παρεχέτω τὰ ἓξ, καὶ τὰ λοιπὰ ὑφειλούσθωσαν (2) ἐπὶ πᾶσιν, τρισὶν τελμοιρούσθωσαν. Ὁ παρέχων ἓξ τὰ τέσσαρα διδότω, καὶ τὰ δύο κατεχέτω· καὶ τὰ λοιπὰ παραπλησίως ἀριθμείσθωσαν, καὶ τὰ δύο (3) διδότωσαν, καὶ τὸ ἓν ἀποκρατείτω, τὸ λοιπὸν μὴ τολμῶντος ἀπὸ τοῦ νῦν προσθεῖναι (4) ἐνοίκιον· ἀλλ', ὥσπερ προστετάχαμεν, τῷ αὐτῷ ὅρῳ διοικείσθωσαν, μήτε ὑφειλμὸν (5) μήτε προσθήκην δεχόμενα. Πᾶς δὲ ὅστις τολμήσει ἐνοίκιον ἐπαναβιβάσαι, ἢ δώρεις τισὶν ἐξωθῆσαι (6) ἔνοικον, καὶ ἀντ' ἐκείνου ἕτερον εἰσάγει, εἴτε καὶ εἰς τὸ αὐτὸ ποσὸν, αὐτὸς κρατῆσαι φημὶ τὸ τοιοῦτον ἐνοίκιον ἐν τῷ οἰκήματι προθυμηθεῖεν (7), πρῶτον μὲν εἰσκομιζέσθω τὰ ὑπάρχοντα αὐτῷ πάντα, καὶ αὐτὸς ὡς μισάδελφος, καὶ ὡς μὴ ἐγνωκὼς τὸ « ὅπερ σὺ μισεῖς, ἑτέρῳ μὴ ποιήσῃς (8) », ἐκδιω-

π, deficiente καὶ cum verbo. Sæpissime librariis syllabæ ac vocabula longiora excidunt. Epistolæ Socrat. 30, p. 38 : καλαμάθοις δ' ἂν οἱ βραχεῖ τὴν ἰσοκράτους ἰσορίαν ἐξ ὧν... Codex 3054, ἰσ. καὶ τὴν παιδείαν· quibus non caret Allatiana. Mox ibid. p. 39 : ἀδίκως δὲ παρὰ σῦ χορηγίας τυγχάνων· codex et Allatiana, ἀδ. δὲ τῆς παρὰ... Lucianus Asin. 22 : τὰ δὲ ἔπερα τῶν σκευῶν αὐτοῦ ἐν τῇ ὕλῃ ἔκρυψαν. Codex 1310, αὐτοῦ που ἐν...

(1) Codex, αὐξηθέττων.
(2) Sic codex.
(3) Forsan, τὰ δύο τρίτα.
(4) Codex, προσθῆναι.
(5) Codex, ὑφειλμῶν.
(6) Codex, τολμήσειεν οἴκιον... ἐξωθῆσαι. Mox malim scribere εἰσάγειν.
(7) Ita codex, loco corrupto.
(8) Tob. IV, 5.

κέσθω τῆς πόλεως. Ἐὰν δὲ ὁ δεσπόζων τοῦ οἰκήματος χρεοποιῆται (1) αὐτὸ εἰς ἰδίαν ἀνάπαυσιν τῇ ἀληθείᾳ, ἐχέτω βουλὴν ποιεῖν πρὸς ὃ βούλεται· κατὰ χάριν δὲ, ἵνα ἐξεώσῃ τοῦτον, εἰσαγάγῃ δὲ ἕτερον, τοῦ αὐτοῦ ἐνοικίου προκειμένου (2), μὴ τολμάτω τοῦτο σύνολον. Οὐ γὰρ προσλάσσομεν, πάρεξ εἰ μὴ ἔσῖιν ὁ ἔνοικος μάχιμός τις καὶ θορυβώδης, καὶ πενέων ταραχὴν, ἢ μισαδελφίαν ἢ μᾶλλον μισανθρωπίαν, ἔτι δὲ καὶ εἰς ἄλλα τινὰ ἐπὶ κακίᾳ προχειρότατος.

Κεφ. νή. — Ἐκάστῳ γειτονιάρχῃ προστάττομεν τὰ ἐν τοῖς οἴκοις γινόμενα πολυτρόπως κατανοεῖν ὑμᾶς. Καὶ, εἰ σφάλματά τινα μάθετε γινόμενα, ἀναφέρετε ταῦτα τῷ οἰκοδεσπότῃ τοῦ οἴκου ἐκείνου· καὶ παραχρῆμα διορθούσθωσαν. Ἐὰν δὲ παρακούῃ, εὐθέως ἡμῖν τοῦτο δῆλον διὰ τοῦ ἀρξέτου, ἤγουν τοῦ ἐπάρχου, κατασῆσατε.

Κεφ. νθ'. — Πᾶς ἄνθρωπος δότω τῷ οἰκέτῃ αὐτοῦ σύντροφον, καὶ ὁ ἐλεύθερος αὐτοῦ σχήτω γυναῖκα. Καὶ ταῖς θεραπαινίσι δότε συντρόφους, ἵνα ἐρεῖ (3) ἕκαστος τὴν ἑαυτοῦ παραμυθίαν, καὶ μὴ ἁμαρτάνωσιν. Ὁ δὲ παραβαίνων τόδε τὸ εὐσεβὲς ἡμῶν πρόσταγμα, ἀφαιρείσθω τὸν ἄζυγον οἰκέτην, καὶ ζημιούσθω τὴν μὴ ἔχουσαν σύντροφον θεράπαιναν, ὅτι πρόσταγμα βασιλείας ἠκύρωσε, καὶ νόμον τῶν Ὁμηρητῶν ἠθέτησεν. Τὰ δὲ ἀφαιρούμενα οἰκετικὰ πρόσωπα προσαγαγέτωσαν τῷ ταμείῳ τῷ βασιλικῷ (4) ὑπὸ μιμνη-

(1) Codex, χριοποιῆτι.

(2) Codex, ἐξεῶσαι τ. εἰσαγάγει δὲ ἕτερον τοῦ αὐτοῦ, ἐν οἰκεί προκ...

(3) Sic codex. Sensus postulat ἔχῃ. Ducit pronunciatio ad proprium minus verbum αἰρῇ.

(4) Cf. p. 91, n. 1.

σκομένων ἡμῖν (1), καὶ καθώσπερ ἀποφήνωμεν γενήσεται. Εἰ δέ τινες ἀπολογοῦνται φάσκοντες, ὅτι « πένης εἰμί » φησί, « καὶ οὐ δύναμαι τῷ οἰκέτῃ μου ὠνήσασθαι σύντροφον », παρατίθεντες αὐτοῖς λέγωμεν· εἰ πένης εἶ, πώλησον καὶ τὸν ἕνα σου οἰκέτην· διὰ γὰρ σὲ τὰς ἐπιμιξίας τὰς καθ' ἑκάστην γινομένας οὐ παρεῶμεν φυλάττεσθαι (2).

ΚΕΦ. ξ'. — Τοῖς βουλομένοις παρθενεύειν μὴ ἐμποδισάτω τις (3), καὶ τοῖς βουλομένοις ἁγνεύειν μὴ κωλυσάτε (4). Ἰδιόχειρά τε ἀπαιτείσθωσαν τὰ μὴ τρόπῳ ταῦτα παρομιλεῖν ἐξ ὑποκρίσεως, ἐν τῷ κρυπτῷ δὲ ἀνομεῖν καὶ ἁμαρτάνειν· περιεχέτω δὲ τὸ ἰδιόχειρον αὐτῶν κεφαλικὴν τιμωρίαν. Ὁ δυνάμενος χωρεῖν χωρείτω. Καταλαμβανόμενοι δὲ, κατὰ τὸ ἰδιόχειρον αὐτῶν ὑπομενέτωσαν. Φαρισαίους γὰρ καὶ ὑποκριτὰς εἰς Κύριον Ἰησοῦν πεπιστευκότας εἶναι οὐ βουλόμεθα, ἐπιγαμένους ψεύδεσθαι Θεῷ καὶ βασιλεῦσι.

ΚΕΦ. ξα'. — Πᾶς γειτονιάρχης, ὃς οὐ τηρήσει τόδε ἡμῶν τὸ (5) τῆς βασιλείας θεοκέλευστον πρόσταγμα μετὰ τρόμου καὶ αἰδοῦς καὶ εὐλαβείας, ἀλλὰ ἀμελῶν, καὶ εἴτε δώροις παρορῶν τὰ ἐγγεγραμμένα ἐν τῷδε ἡμῶν τῷ προθέματι, καὶ φανεροποιούμενος, μετέωρον αὐτὸν κελεύομεν, ἀπὸ τοῦ εὐωνύμου ποδὸς δεθέντα, ἀρθῆναι ἐν μέσῳ τῆς ἀγορᾶς καλὰ κεφαλῆς ἐπὶ σίγλου, ἤγουν ἐπὶ δοκὸς τῆς οἰασοῦν, καὶ οὕτως ὑπὸ ἀχύρου καπνιζόμενον (6) ἀποθανεῖν, ἵνα καὶ οἱ

(1) Forsan deest nomen ἐπάρχων, vel γειτονιαρχῶν.
(2) Codex, φριάττεσθαι.
(3) Codex, ἐμποδίσητε τις.
(4) Forsan, κωλύσητε.
(5) Forsan τόδε τὸ ἡμῶν. Ni omnino deleatur τό: cf. p. 111, 8, ubi codex male τῷδε.
(6) Conf. supra pag. 97, n. 8 ad cap. 36.

λοιποὶ ἀπὸ τοῦδε σωφρονιζόμενοι παιδεύωνται. Συμφέρει γὰρ ἵνα λεπρωθεὶς εἷς ἔριφος ἀρθεὶς ἀπὸ τῆς ἀγέλης ἐξολοθρευθῇ, καὶ μὴ πᾶσα ἡ ἀγέλη τοῦ ποιμνίου, λωβωθεῖσα (1) ἐξ αὐτοῦ, εἰς τέλος ἀπολῆται. Τοῦτο δὲ γενέσθω εἰς αὐτὸν παρὰ τοῦ ὑπάρχου. Ἐὰν δὲ τὸν γειτονιάρχην ὁ ὕπαρχος ταῦτα τὰ προστάγματα ἡμῶν παραβαίνοντα οὐ τιμωρήσῃ, οὐδὲ ποιήσῃ ἐπ' αὐτῷ τόδε ἡμῶν καὶ εὐσεβέστατον καὶ δικαιώτατον πρόσταγμα, τότε ἅπερ ἔμελλεν ὑπομένειν ἐκεῖνος αὐτὸς πάθῃ ὁ ὕπαρχος, τῆς ἡμετέρας γαληνότητος τὴν ἀγανάκτησιν ἐπισπώμενος (2).

Κεφ. ξβ'.—Ἕκαστος γειτονιάρχης τὰς ἐν τῇ αὐτοῦ ἐπικρατείᾳ πραγματείας γινομένας ἀκριβολογείτω, ἵνα δικαίως πιπράσκωνται. Ἐταζέτω δὲ τὰς ἀγορὰς, πῶς παρὰ τῶν πωλούντων ὠνήθη τὰ εἴδη· καὶ μάλιστα καὶ οἱ πιπράσκοντες αὐτοῖς, φημὶ οἱ ἐξωπράται, ἐταζέσθωσαν· καὶ οὕτω κατὰ ἁρμόττουσαν δικαιοσύνην καὶ τὰ εἴδη πιπρασκέτωσαν. Πολλάκις γὰρ πλουσίως ὠνοῦνται καὶ πολλάκις ἀκριβῶς, καὶ ἐν τῷ μέσῳ πολλάκις· κατὰ τὴν ἀγορὰν ποιοῦν (3) ἀκριβολογούμενα, καὶ πιπρασκέτωσαν, ἵνα μήτε ὁ πιπράσκων ἀκερδὴς ᾖ, μήτε ὁμοίως καὶ ὁ ὠνούμενος παραβλάπτηται (4).

(1) Id est λεπρωθεῖσα : conf. t. IV, p. 391, n. 1. In proverbio fertur, scabiosam ovem totum inquinare gregem; de quo Schott. in Adagial. sacr. ad I Corinth. V, 6.

(2) Codex, ἐπισπόμενος, male permutatis ω et ο. Julianus Misop. p. 355 : σὺ δὲ ἀξιοῖς τοὺς ἐν αὐτῇ νεανίσκους... φθέγγεσθαι ὅσα ἂν ἡδέως ἀκούσαις. Codex Vossianus, ὅσον. Imo ὅσων, ut est in cod. 1962. Quod nunc legitur in Cyclope v. 175 διαλαλήσωμεν, pro διαλαλήσομεν, est in cod. 2817.

(3) Ita codex habet, loco imperfecto.

(4) Codex, παραβλάπτεται.

Κεφ. ξγ'. — Πάντα λινηφικὸν (1) ἤτοι ὑφάντην, καὶ πάντα τεχνίτην ἀπάσης ἐπιστήμης, τῇ ἁγίᾳ χυριακῇ μιᾶς τειχὸς ἔργον ὡς ὁπωσοῦν ἅψασθαι οὐ προστάττομεν. Τὸν δὲ εὑρισκόμενον ἐπὶ τούτῳ (2) κελεύομεν ἐν μέσῳ τῆς ἀγορᾶς τὰ ἔργα αὐτῶν καὶ τὰ ἐργαλεῖα αὐτῶν πυρὶ ἀναλίσκειν.

Κεφ. ξδ'. — Τοὺς μὴ παραλαμβάνοντας πᾶσαν τὴν φαμίλιον (3) ταῖς μεγάλαις ἑορταῖς καὶ τῇ ἁγίᾳ χυριακῇ, καὶ ἀπερχομένους ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ ὁμοθυμαδὸν ἐν τε τῷ σαββάτου ἑσπερινῷ καὶ ἐν τῷ ὄρθρῳ τῆς ἁγίας κυριακῆς, καὶ ἐν τῇ λειτουργίᾳ αὐτῆς καὶ ἐν τῷ ἑσπερινῷ, τούτοις ἐπὶ δὶς καθ' ἑνώπιον ἀξίων τειῶν προσώπων φωνείτω ὁ γειτονιάρχης ὑπείχειν τῇ θείᾳ κελεύσει. Καὶ ἐὰν ἐκλίπῃ μὴ κατεργάσωνται τὰ προστεταγμένα αὐτοῖς, ἀφαιρείσθωσαν αὐτῶν πᾶσαν τὴν ὑπόστασιν καὶ διανεμέσθωσαν τὰ ἡμίσυ αὐτῶν τοῖς (4) ἐν τοῖς πλωχοτροφείοις τεταγμένοις ἀδελφοῖς. Τὰ περίλοιπα αὐτῶν κατεχέτω ὁ τῶν ἐκείσε γειτονιάρχης εἰς ἑαυτοῦ κέρδος μετὰ τῶν παρεδρευόντων αὐτῷ στρατιωτῶν, ἵνα καὶ περθυμίαν κέκτηνται τοῦ ἀκριβῶς τὴν ἔρευναν εἰσπράττεσθαι περὶ πάντων τῶν προστεταγμένων αὐτοῖς παρ' ἡμῶν.

ΤΕΛΟΣ ΤΟΥ ΝΟΜΟΥ.

Ταῦτα πάντα ἐν τόμῳ κενῷ (5) γράψας ὁ μακα-

(1) Alii secundam syllabam per υ scribunt. Crediderim esse per ι scribendum; quum nomen e latino *linificium*, *linifex*, factum esse videatur.

(2) Codex, ἐπὶ πῦτ.

(3) Sic codex. Exspectabam φαμιλίαν, *familiam*.

(4) In codice caput ξε' voce πῖς incipit.

(5) Rescribendum fere videtur καινῷ.

εἴτης ἀρχιεπίσκοπος Γρηγένλιος, προσελθὼν ἐπέδωκεν αὐτὰ τῷ εὐσεβεστάτῳ βασιλεῖ Ἀβραάμ. Ὁ δὲ βασιλεὺς ἐκέλευσεν αὐτὰ κατέναντι αὐτοῦ ἀναγνωσθῆναι. Ἀναγνωσθέντων δὲ αὐτῶν, ἐτέρφθη λίαν καὶ ἠγαλλιάσατο τῷ πνεύματι (1). Καὶ προσελθὼν ὁ βασιλεὺς καὶ ἐφίλει τὰς χεῖρας (2) τοῦ μακαρίου, μεθ' ὧν αὐτὸς ἐκεῖνα γεγράφηκε, καὶ εἶπεν· « Εὐλογημένη » ἡ ὥρα ἐκείνη τῷ Κυρίῳ, ἐν ᾗ εἶπον περὶ σοῦ ὅτι, » Ἰδοὺ ἄρρεν (3). » Ὁ δὲ μακαριώτατος ὑπέθηκε τῷ βασιλεῖ μεταγραφῆναι ταῦτα ἐφ' ἑτέραις πλείσταις τόμοις, πρὸς τὸ ἕκαστον γειτονιάρχην κεκτῆσθαι τὸ ἴδιον.

Καὶ τούτου γενομένου προσέταξεν ὁ ἀρχιεπίσκοπος πάντας τοὺς γειτονιάρχας ἀπαντῆσαι ἐν τῇ ἐκκλησίᾳ. Τοῦ τε βασιλέως ἐκεῖσε παραγενομένου μετὰ τῆς συγκλήτου καὶ πάσης τῆς πόλεως, καὶ μετὰ τὸ τελειωθῆναι τὴν ἁγίαν προσκομιδὴν (4), δεξάμενος τὸν τόμον, ὃν ἰδίαις χερσὶν ἦν γράψας ὁ τιμιώτατος ἀρχιεπίσκοπος, εἶπεν τοῖς γειτονιάρχαις· « Δεῦτε, ἀγαπητοί μου, καὶ δέξασθε τὰς διατάξεις ταύτας ἐκ χειρὸς Κυρίου, ἵνα, γνόντες ὅτι οὐκ ἀπὸ τοῦ τυχόντος εἰσὶν ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' οὖν παρὰ Κυρίου αὐτὰς παρειληφότες, ἐγχειρίζωμεν ὑμῖν. » Καὶ λαβὼν τοὺς τόμους, ἀνέγνω αὐτὸς ἐνώπιον πάντων. Καὶ μετὰ τὸ ἀναγνωσθῆναι ἐκέλευσεν προσενεχθῆναι τοὺς μεταγραφέντας τόμους· καὶ, ὡς ἠνέ-

(1) Conf. t. IV, p. 168, n. 1.

(2) De manuum osculatione interpretes ad Luc. Nigr. 21.

(3) Job. III, 3: ἀπόλοιτο ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην, καὶ ἡ νὺξ ἐκείνη ᾗ εἶπαν, Ἰδοὺ ἄρσεν.

(4) Missæ offertorium, Græcis et ἀναφορὰ dictum.

χθησαν, τέθεικεν αὐτοὺς ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ. Τεθέντων δὲ αὐτῶν, κλίνας τὸ γόνυ (1), προσηύξατο ὁ μακάριος, καὶ φησίν· « Καρδιογνῶστα, δίκαιε, ἀπόῤῥητε, φοβερὲ, ἰσχυρὲ, μεγαλοδύναμε, ἅγιε, κύριε, ἔκτεινον τὸν βραχίονά σου τὸν ὑψηλὸν καὶ ἅγιον, καὶ ἰσχυρὸν καὶ φοβερὸν καὶ μέγαν (2). Καὶ ἐπιλαβόμενος τούτων τῶν τόμων τῶν πρὸ τῶν ὀφθαλμῶν σου τῶν ἀχράντων προκειμένων, διαμέρισον αὐτοὺς τούτοις τοῖς δούλοις σου, ὥς ποτε ἐπὶ Μωϋσέως τοῖς ἑβδομήκοντα ἀνδράσι τὸ πνεῦμα τὸ ἐπ' αὐτῷ (3), καὶ ὡς τοῖς ἁγίοις σου ἀποστόλοις τὰς πυρίνας γλώσσας (4). »

Ταῦτα αὐτοῦ προσευξαμένου, πνοὴ βιαία ἔπνευσε παρὰ Κυρίου, ὡς ἀπὸ τοῦ θυσιαστηρίου, ἐπὶ τοὺς τόμους, καὶ ἐπάρασα αὐτοὺς ἀπὸ τόπου οὗ ἔκειντο, ὡσανεὶ φύλλα ἄνεμος ἐπὶ τοῦ ἀέρος, ἐν ἑκάστῳ τῶν γειτονιαρχῶν, κουφίσασα τούτων τοὺς κόλπους, αὐτοὺς ἐναπέθετο. Τούτου τοῦ παραδόξου θαύματος γεγονότος, φόβου καὶ ἐκστάσεως ἅπαντες οἱ ἐκεῖσε σὺν τῷ βασιλεῖ καὶ τοῖς μεγιστᾶσιν αὐτοῦ ἐπληρώ-

(1) Gregentius in Disput. f. 193, 2, κλίνας τὸ γόνυ... εἶπεν ἐκ καρδίας. Sed, ut pateat quantum ab edito discrepet textus codicis Coisl. 255, totam sententiam promam. Guloniana igitur: ....συνέδριον καὶ ὁ μακάριος μήκοθεν τοῦ συνεδρίου ἀπιὼν, ἔστη εἰς προσευχήν· καὶ κλίνας τὸ γόνυ ἕως ἐδάφων τρὶς καὶ ἀνάστας, καὶ ἐκτείνας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν, πάντων ὁρώντων, εἶπεν ἐκ καρδίας. Cod. f. 116, 1: ...συνεδρίον· ἐθαύμαζε δὲ ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ εἰ τοῦτο φρικτὸν σημεῖον τελέσει ὁ ἀρχιεπίσκοπος· ὁ δὲ μακάριος μήκοθεν τοῦ συνεδρίου ὀλίγον γεγονὼς, ἔστη εἰς προσευχήν· καὶ σχηματίσας αὐτὸν ἤθει σεμνότητος καὶ ἱεροπρεπεστάτῳ καλλιερήματι (ἦν γὰρ καὶ λίαν πραότατος), κλίνας τὸ γόνυ τρὶς ἐπὶ τὸ αὐτὸ μέχρις ἐδάφους τῆς γῆς, προσεκύνησε κυρίῳ τῷ θεῷ, καὶ ἐκτείνας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν, εἶπεν.

(2) Codex, μέγα.

(3) Codex, τὸ ἐπ' αὐτῶν. Quod immutavi, sequutus narrationem biblicam Num. XI, 25.

(4) Act. Apost. II, 3.

θησαν, καὶ ἦν ἰδεῖν ἅπαντας ἐκπλησσομένους, καὶ τὸν δεσπότην Κύριον σαβαὼθ τῇ ἐκλάσει τῶν χειρῶν ὑπερυψοῦντας καὶ μεγαλύνοντας.

Ὁ δὲ ἀρχιεπίσκοπος εἶπε τοῖς ἄρχουσιν· «Ἴδετε, ἀγαπητοί, ὅτι παρὰ κυρίου τοῦ Θεοῦ ἡμῶν τὰς ἐν τοῖς τόμοις θείας παραγγελίας ἐδέξασθε. Τὸ λοιπὸν μετὰ φόβου Θεοῦ καὶ τρόμου (1) διατηρήσατε αὐτάς, ἵνα καὶ ἐν τῷ νῦν αἰῶνι ἥρεμον καὶ ἡσύχιον βίον ζήσωμεν, Κυρίου παντοκράτορος ἡμῖν τοῦτο νέμοντος, καὶ ἐν τῷ μέλλοντι δὲ ζωὴν τὴν ἀτελεύτητον κληρονομήσωμεν.»

Ταῦτα τοῦ ἀρχιεπισκόπου καὶ ἕτερα πλείω πρὸς αὐτοὺς ἀποφθεγξαμένου, ἀπῆλθον ἅπαντες εἰς τοὺς οἴκους αὐτῶν, δοξάζοντες τὸν Θεόν. Ὁ δὲ βασιλεύς, λαβόμενος τῆς χειρὸς τοῦ μακαρίου ἐπισκόπου ἐπὶ τῷ ἀριστῆσαι ἀνεκεχώρηκε.

Καθεσθέντες οὖν οἱ ἄρχοντες μετὰ ταῦτα ἐν τῇ λαχούσῃ αὐτῶν χειτονίᾳ (2), προκειμένων τῶν βασιλικῶν διατάξεων ἔμπροσθεν αὐτῶν, ἔπρεπτον μετὰ αἰδοῦς καὶ τρόμου καὶ εὐλαβείας, καθώσπερ αὐτοὺς τὰ διατάγματα παρεκελεύοντο. Καὶ ἦν ἰδεῖν τοὺς ἀνθρώπους ἐντίμους μᾶλλον, κατὰ τὸ γεγραμμένον (3), ἢ τὸ χρυσίον τὸ καθαρὸν καὶ ἄδολον. Περιεπάτουν γὰρ μετὰ φόβου καὶ τρόμου ἅπαντες, καὶ τὰ γεγραμμένα ἐν τοῖς βασιλικοῖς τόμοις κἂν τάχα οἱ πλείους ἐξε-

(1) Cf. pp. 69, 76; t. IV, p. 67.
(2) Conf. p. 73, n. 7.
(3) Isai. XIII, 12 : ἔσονται οἱ καταλειμμένοι ἔντιμοι μᾶλλον ἢ τὸ χρυσίον τὸ ἄπυρον. — Cod. ἢ τὸ ὡς τὸ χρ. Fors. ἢ ὡς τὸ χρ. Malus spiritus in ἢ pro ἢ ne notandus quidem esset, ni ad similem duceret errorem ab Artemidoro amovendum I, 79 : ζηλοτυπίαν, ἣ μᾶλλον ἂν ὀπὶ τούτῳ γένοιτο· imo ἣ· videtur ἣ esse typorum mendum.

τέλϑν ἄκοντες καὶ μὴ βϑλόμενοι, ὥϛε τὸ τηνικαῦτα πληρωθῆναι καὶ τὸ παρὰ τοῦ προφήτου (1) εἰρημένον ϑεῖον λόγιον, τό· « Οὐκ ἔϛι κατάπλωμα φαρμῷ, » οὔτε κραυγὴ, ὅτε διέξοδος ἐν ταῖς πλατείαις αὐ- » τῶν » · καὶ ἔπειτα « Ἐμακάρισεν τὸν λαόν » φησίν, « ᾧ ταῦτά ἐϛι, καὶ μακάριος ὁ λαὸς οὗ Κύριος ὁ » ϑεὸς αὐτοῦ. »

Τούτων οὕτω γινομένων (2) καὶ οὕτω παρακολϑησάντων, καὶ τοῦ βασιλέως ἐπὶ τούτοις αἰνοῦντος τὸν Κύριον, καὶ τῶν μεγιϛάνων αὐτοῦ ἀδικεῖν τὸ οἱονοῦν μὴ τολμώντων, καὶ πάντων ἀπείρῳ (3) χαρᾷ εὐφραινομένων, παρεγένοντο καὶ οἱ Ἰουδαῖοι, καϑὰ καὶ ἐκελεύσθη αὐτοῖς (4), διελθούσης (5) ἤδη τῆς προϑεσμίας τῶν τεσσαράκοντα ἡμερῶν.

Ὡς δὲ παρεγένοντο τοῦ διαλεχθῆναι, καὶ τοῦ βασιλέως ὑπομνησθέντος, ἑτοιμασίας ἐν τῷ ϑεάτρῳ (6) γενομένης (αὐλὴ δὲ τοῦτο μεγίϛη καὶ πρώτη τῶν βασιλείων (7) περίεστιν), ἐκεῖσε τοιγαροῦν τῆς ἑτοιμασίας γενομένης καὶ πάσης τάξεως ἀϑρισθείσης κ. τ. λ.

(1) Psalm. CXLIII, 14, 15.

(2) Hic incipit codex Vindobonensis Disputationis Gregentii cum Herbano judæo, quæ edita est: conf. Fabricii Bibl. Gr. t. X, p. 116.

(3) Fabricius vel librarius omisit *ἀπείρῳ*.

(4) Conf. p. 72.

(5) Hinc incipit editus a Gulonio Disputationis cum Herbano textus, in multis multum a codice discrepans : cf. p. 114, not. 1.

(6) Codex Vindobon., *ϑολῷ*. Guloniana, *Θριμέλῳ*.

(7) Cod., *βασιλέων*. Vindobon. et Guloniana, *βασιλείων*.

ΕΠΙΣΤΟΛΑΙ

ΝΟΤΑΡΑ ΚΑΙ ΓΕΝΝΑΔΙΟΥ.

α'.

Ὁ λαμπρότατος μεσάζων καὶ γαμβρὸς τοῦ βασιλέως, ὡς ἐκ προσώπου τοῦ υἱοῦ αὐτοῦ κυροῦ Νικολάου τοῦ Νοταρᾶ, πρὸς κύριν Θεόδωρον τὸν Καρυσινόν, ὄντα ἐν Ἰταλίᾳ μετὰ τοῦ βασιλέως, πράττοντος τότε τὰ συνοδικά.*

Ἵπποι παρ' ἡμῖν, ὅτι χρήσιμοι, συχνοί. Τούτων, ὡς

* Lucas Notaras, cujus et Gennadii nonnullas epistolas e codice regio 1760 profero, sub imperatoribus Joanne et Constantino Palæologis μεσάζων, seu rerum publicarum summus fuit administrator. Vocatur et γαμβρὸς τοῦ βασιλέως. Sed, quum Joanni et Constantino nulli ex uxoribus fuerint liberi, alterutrius notham filiam duxisse putandum est. Forsan etiam γαμβρὸς capiendum pro κηδεστὴς, affini; et fuit Lucas Notaras imperatoris affinis, si quidem Constantinus uxorem duxerat, teste Phranza Chron. II, c. 18, τὴν κυρίαν Αἰκατερίναν θυγατέρα τοῦ τῆς εἰρημένης νήσου (Lesbi scilicet) αὐθέντου, κυρίου Νοταρᾶ Παλαιολόγου τοῦ Γαπλιούτζη (leg. Καπλιούτζη). Estque hic sensus in Byzantinis scriptoribus valde obvius, ut et in vetustioribus. Γαμβρὸς, affinis, jam titulus erit honorificus, ut συγγενὴς, quod eodem usurpatum modo, et eorum etiam junctum magnatum nomini quibus cum ipso rege nulla erat sanguinis necessitudo, ex inscriptionibus et libris eruditissime illustrat Letron. Disquis. Ægyptiacis p. 321.—Ceterum valde mirarer primam ac secundam epistolam, quarum argumentum est levissimum, non valuisse Nicolaum proprio marte componere, ni meminissem e Lucæ filiis duos (nam plures duobus habuisse ostenderem, si his esset nunc locus) fuisse, judice ipso Constantino in Phranzæ Chronico III, 2, p. 51, σκαιοτάτους καὶ ἀσυνέτους. Theodorus Carystenus, ad quem scripta est epistola utraque, impense fuit a Phranza laudatus III, 3, p. 56: Θεοδώρῳ τῷ ἐκ Καρίσου (leg. Καρύστου. In Burignyi Hist. Const. t. III, p. 114, vocatur *Théodore de Carisse*), ἀνδρὶ πολιμῇ (imo πολεμοῦ)

καὶ πρὸς θήραν δοκίμοις, τρισί με χρῆσθαι παρὰ τοῦ πατρὸς χάριν ἔλαβον· ἐξ ὧν εἷς, ὃν αὐτὸς προσήνεγκας, λίαν ἀγαθὸς ἐν δυσβάτοις χωρίοις καὶ δυσηλάτοις καὶ ὀρεινοῖς καὶ βαθέσι καὶ τελματώδεσι, καὶ τοῖς τοιούτοις, ἐν οἷς τοὺς κυνηγέτας συμβαίνει μάλιστα γίνεσθαι. Πλὴν ἔχει τι καὶ ἐπίψογον, ὅτι λειπόσαρκός ἐστι τὴν ὀσφὺν, καὶ διὰ τοῦτο οὐ βεβαία ἐπ' αὐτῷ ἡ ἐφεστρίς. Ἐμοὶ δ' ὅμως, νέῳ καὶ βραχεῖ τὸ σῶμα καὶ οὐκ ἐμβριθεῖ, χρήσιμος, ὅτι σύμμετρος, καὶ αὐτός. Ἐτερπόμην δὲ καὶ τῇ περὶ αὐτοῦ φήμῃ, ὅτι αὐτὸν πάντας ὑπερνικᾷν τῇ ταχυτῆτι ἤκουον. Ἀλλὰ τὸ ψεῦδος πολλάκις, ὡς ἀληθὲς διαφημισθὲν, περὶ τὴν τῶν ἀκουόντων δόξαν ἐπικρατεῖ, εἶθ' ὕστερον ψεῦδος ἐλέγχεται. Διὸ καὶ αὐτὸς κεναῖς ἐλπίσι τρεφόμενος ἦν, ὅτι οὐκ ἦν ἀληθὲς τὸ ᾀδόμενον. Ἐπεὶ γὰρ ἐν Ἱπποδρόμῳ, θελήματι τοὐμοῦ πατρὸς, ἤχθησαν ἵπποι ἁμιλλητήριοι, ὅ τε τὴν τρίχα βεβαμμένος τῇ φύσει, ὑπόξανθος, οἷα παρὰ τῶν μοναζουσῶν εἴθισται τὰ ἔρια χλωροῖς ἀκροδρύων ἐλύτροις βάπτεσθαι (κἀκ τούτου ὁ δημώδης λόγος ὀνομάζειν εἴωθε τὸν ἵππον (1) καρυόβαφον), καὶ σὺν αὐτῷ νεώνητοι τρεῖς, καὶ ὁ ἐμὸς, καὶ θέειν αὐτοὺς ἐγένετο, τοῦτον δὴ τὸν ἐμὸν, ᾧ καὶ ἐφηδόμην, οὐ μόνον ὁ ῥηθεὶς καθ' ὑπερβολὴν παρέδραμεν, ἀλλὰ καὶ οἱ νεώνητοι κατόπιν ἀφέντες

καὶ δραστηρίῳ, καὶ τοξότῃ ἠσκημένῳ ὑπὲρ ἀνθρώπου... ἐδόθη... Erat tunc temporis Theodorus in Joannis Palæologi comitatu, qui Italiam ad concilium profectus erat, ut Græcam et Latinam ecclesias conciliaret, et obscurissimum de processione S. S. ænigma solveret. — Κύρης vel κῦρις dicebant pro κύριος: cf. p. 25, n. 2. Ephræmius Chron. 2866: Ὦ Κυριθεόδωρος, ὦ στρατηλάτα. Malim scribi divisim, κῦρι Θεόδωρος.

(1) Hunc locum recitavit Cangius Gloss. in Καρυόβαφον, non sine mendis.

ὁπλὰς αὐτῷ καὶ ἱππούρεις παρεῖχον ὄρφν. Τί ἂν ἐπὶ τούτῳ με οἴει παθεῖν; ἀθυμίας ἔμπλεως γέγονα· οἶμαι δὲ καὶ σὲ μαθόντα πείσεσθαι ταὐτό· οὐ γὰρ τοιοῦτον τὸν ἵππον ἐνόμιζες. Διὰ τοῦτο τὸν παλέρα ἠτόμην, ἵν' ἐκ τῶν τελῶν τῶν εἰρημένων ἵππων ἕνα μοι τέως ἀποχαρίσηται. Ὁ δ' οὐκ ἐπένευσε, τῷ μὴ γεγυμνασμένους αὐτοὺς εἶναι πρὸς τὰ ὑλώδη καὶ δύσβατα, καὶ πρὸς τὸ ἀναθεῖν (1) ἀνάντη καὶ καταθεῖν κατάντη, καὶ τειχίον ὑπερακρίσαι καὶ τάφρον ὑπερπηδῆσαι, ἢ χαράδραν διάλλεσθαι, ἢ ἀπ' ὄχθων καθάλλεσθαι (2), καὶ ὅσα συμβαίνει περὶ τὰ κυνηγέσια. Λείπεται δὴ ἐπανελθεῖν σε τὸν ἄριστον ἐν πολλοῖς καὶ μάλιστα τοῖς κυνηγεσίοις. Ἐλθὲ τοίνυν καὶ μὴ μέλλε, ὡς ἂν ἐκ τῶν εἰρημένων πωλοδαμνήσῃς μέν τινα, εἶτά μοι τοῦτον καὶ μεσιτεύσῃς τὸν πατέρα χαρίσασθαι, τοὺς δ' ἡλικιώτας ἐμοὶ καὶ συνήθεις ὁμολογεῖν ἀπεργάσῃ χρείττω πολλῷ τῶν παρ' ἐκείνοις καὶ (3) ὠκύτερον ἵππον κεκτῆσθαί με.

β'.

Ὁ αὐτὸς πάλιν πρὸς τὸν αὐτὸν
ὡς ἐκ προσώπου τοῦ υἱοῦ αὐτοῦ, καὶ τὰ τὸν αὐτὸν καιρόν.

Ἥφαιστος ἐξάπινα πῦρ ἐνέβαλε τοῖς ὄρεσιν, ὃ

(1) Codex, ἀνωθεῖν. Sic antithetice ponuntur ἀναβαίνουσι et καταθέουσι in loco Aristidis apud Thomam Mag. in καταθέω. Conf. not. seq.

(2) Xenophontis meminerat Hipp. 6, 5 : δυνάμενον ἐπὶ τοῦ ἵππου ἢ τάφρους ἀσφαλῶς περᾶν καὶ τειχία ὑπερακρίζειν, καὶ ἀπ' ὄχθων καταρρεῖν. Vel Polluce utebatur qui 1, 196, talia congessit de equo : μεμαθηκὼς καὶ πρὸς ἄνατις ἀναβαίνειν καὶ πρὸς κάπαντις καταδραμεῖν καὶ τειχίον ὑπερακρίσαι καὶ τάφρον ὑπερπηδῆσαι καὶ χαράδραν διάλλεσθαι... καὶ ἀπ' ὄχθων ἀναθρώσκειν ..... καὶ ἀπ' ὄχθων καθάλλεσθαι.

(3) Inserui καί.

νεμηθὲν ὂν νάσαις τε καὶ δρυμοῖς ἄσασαν ἐτέφρωσε λόχμην, καὶ ψιλὸν εἰργάσατο τὸν χῶρον, ἔνθα τὰ θηρία τὰς καταδύσεις εἶχον· καὶ τὰ πρότερον δυσθήρατα νῦν εὐθήρατα τοῖς κυνηγέταις ἐγένοντο. Ἡμῖν δὲ δυσχερὲς ξυμβαίνει τὸ συχνῶς εἰς θήραν ἐξιέναι, διὰ τὴν τοῦ Φύσαντος (1) ἐπὶ τἀναγκαῖα σχολὴν καὶ τὸ παλαίειν ἐν τοσαύταις δυσχερείαις ὑπέρ τε τῶν ἰδίων καὶ τῶν κοινῶν, ὡς μηδὲ τὴν τοῦ ἀρίστου ὥραν ἄνετον ἔχειν αὐτόν. Λείπεται οὖν λιπαρεῖν ἡμᾶς τὸ Θεῖον, ὅπως εὐδοκήσῃ ταχὺ ἐπανελθεῖν τὸν αὐτοκράτορα ἐρρωμένον καὶ καθὼς ἔστιν αὐτῷ βουλητόν, ἐπειδὴ, πρὸς τοῖς ἄλλοις πλεονεκτήμασι τοῖς αὐτῷ δεδωρημένοις παρὰ Θεοῦ, πρόσεστι καὶ τὸ πρὸς θήραν γυμνάζειν τοὺς νέους, τῷ (2) ἐξιέναι πρὸς τοῦτο συχνῶς, ὅπερ οὐ τὸ ἡδὺ καὶ χάριεν μόνον ἔχει, ἀλλὰ καὶ πρὸς πᾶσαν σχεδὸν τὴν τοῦ πολέμου παιδείαν καὶ τῶν στρατιωτικῶν ἐμπειρίαν πέφυκεν εἰσαγωγικόν (3). Διό μοι δοκεῖ καὶ πλέον σπουδάζειν ἐν τούτοις τὸν αὐτοκράτορα. Γένοιτο δὲ ἐπανελθεῖν αὐτὸν ταχέως, καὶ σὲ μετ' αὐτοῦ τὸν καλὸν καὶ ποθούμενον, καὶ πρῶτον μὲν ἐν φίλοις, πρῶτον δὲ ἐν κυνηγέταις, ἵνα δὴ καὶ ἡμᾶς διδάξῃς, ὡς καὶ ὁ πατὴρ, ὅσα ἂν δοίη ὁ καιρὸς, περί τε συῶν θήρας καὶ ἄρκτων, καὶ νεβρῶν καὶ ἐλάφων, καὶ λαγωῶν, καὶ τῶν ἄλλων

(1) Codex, φήσαντος. Permutatio similis vocum φησιν et φύσιν t. 1, p. 369.

(2) Codex, τό. Quo mendo ducor ad mendosum Philonem De col. parent. § 26 : πάλιν γὲ μὲν (γε μήν. Sic § 27 : οὐ μὴν ἀλλ', non οὐ μὲν ἀλλ') τοῖς τὴν ἱερὰν ἐζόδμην φυλάττουσι συμβαίνει περὶ δύο τὰ ἀναγκαιότατα ὠφελεῖσθαι, σῶμα καὶ ψυχήν· τῷ μὲν ἀναπαύλαις... τῇ δὲ ὑπολήψεσιν ἀρίσταις περὶ θεοῦ. Postulat syntaxis τὸ μὲν, τὴν δέ.

(3) Georgius Lapitha, v. 348 : Μίγιστον γὰρ γυμνάσιον ποὸς πόλεμον ἡ θήρα· ubi vid. quæ notavi.

κνωδάλων, ὥσϑε ἐνϑεῦϑεν γίνεσϑαι ἡμῖν τὰ ϑηρία εὐχερῶς ϑηρώμενα· πρὸς δὲ, ὡς ἂν εἴπῃς ἡμῖν περὶ συὸς μάλιστα, πῶς βαθύνει τῷ ῥύγχει τὴν γῆν, καὶ ϑήγει μὲν τοὺς ὀδόντας (1), κείρει δὲ τὰ λήϊα, ἐκσπᾷ δὲ τὰ δένδρα, φείδεται δὲ τὴν λοφιὰν (2), λεχείοις δὲ παραβλέπει τοῖς ὄμμασι, καὶ πυρῶδες ὑποβλέπει, καὶ τοῖς ὀδοῦσιν ἀντιπαταγεῖ (3), καὶ ὡς πῦρ ἐκ τῶν ὀφθαλμῶν ἀφίησι, καὶ ὡς ἀφρὸς αὐτῷ περιζεῖ, καὶ ὡς τραχύς ἐστι πρὸς ὀργὴν, ἀκάθεκτος τὸν ϑυμὸν, δύσμαχος, δυσάλωτος, δυσκαταγώνιστος, περιωθῶν, περισπηνύμενος, ἐμπίπλων, ἀναιρέτων, κόπλων τοῖς ὀδοῦσιν, ἀναρρηγνὺς, ῥύμῃ ἐπιὼν, ῥόϑιος συμπερχωρῶν, καὶ ὡς τὴν ὁρμὴν καὶ δυσκίνητος (4), καὶ ὡς τὰς ἄρκυς διακόψειεν ἄν, καὶ τὰς σίαλικας (5) ἀναιρέψειε, καὶ τὰ δένδρα πρόῤῥιζα ἐκριψειεν, ἔτι πῶς ἐστὶν ὑπέρθυμος, δυσόργιστος, ἔμπυρος, ὑπέρασθμος (6), ἐν δὲ πλαγίοις τοῖς ὀδοῦσι τῶν κυνῶν τὸ (7) τείχωμα

(1) Homerus Il. N, 471, in comparatione apri: φείσσι δέ π νωπὶ ὕπιρθιν, Ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπιτον· αὐτὰρ ὀδόντας Θήγει. Pariter de apro Λ, 416: ὁ δέ τ' εἶσι βαθείης ἐκ ξυλόχοιο Θήγων λευκὼν ὀδόντα μετὰ γναμπτῆσι γένυσσιν. Ibi miror non fuisse memoratam ab Heynio varietatem τήξας qua usus est hunc Homeri versum recitans Ælianus H. A. v, cap. 45.

(2) Hesiodus Sc. 387: Κάπρος χαυλιόδων φρονέει θυμῷ μαχέσασθαι Ἀνδράσι ϑηρευτῆς, ϑήγει δέ τε λευκὼν ὀδόντα Δοχμωθείς, ἀφρὸς δὲ πρὶ στόμα μασιχώντι Λείβεται, ὅσσι δέ οἱ πυρὶ λαμπετόωντι ἴκτην, Ὀρθὰς δ' ἐν λοφιῇ φρίσσι τρίχας. . . Quæ adduxi longiora, quod nonnulla inde cum vicinis conferre poterit lector diligens.

(3) Philostratus Icon. I, 28, de apro: ὁρῶ δὲ τὰ ἔρχα τοῦ ϑηρίου καὶ τὰς ἐλαίας ἐξορώρυχα. . . ὁρῶ δὲ αὐτὸν καὶ τὴν χαίτην φρίττοντα καὶ πῦρ ἐμβλέποντα· καὶ οἱ ὀδόντες αὐτῷ παταγοῦσιν.

(4) Videtur excidisse aliquid.

(5) Codex, σίαλυκας, permutatis ι et υ. Symeon Sethi Ichnel. p. 106: ἆρά γε ἐπίθου πνός; imo ἐπύθου. Et talia minima et præstantiora exhibebit editio Sinneri.

(6) Codex, ὑπιραθμος.

(7) Codex, τῶν.

ἐπιφλέγων, ὥστε, εἰ καὶ ἀποθανόντι τῷ καυλιόδοντι προσενέγκοι τις τρίχας, πῶς ὡς ἀπὸ πυρὸς αἱ τρίχες συνέρχονται (1)· οὕτω πολὺ τὸ φλογῶδες πρόσεστιν ἐκ τοῦ θυμοῦ τῷ θηρίῳ· ὁ δὲ κυνηγέτης οἷος σύ, πῶς ἐμβοᾷ τοῖς κυσὶν, ἐγκελεύει, ἐνσημαίνει, ἐπορύνει, προσκαλεῖται, προτρέπει, παρορμᾷ, πῶς τε συνθέων γίνεται, μεταδιώκων, συμπονῶν, συμπροθυμούμενος, συνδιερευνώμενος. Ταῦτα γὰρ καλῶς ἐπίστασθαί σε πέπεισμαι ἐν Πελοποννήσῳ διατρίψαντα χρόνον συχνὸν μετὰ τῶν Ἰλλυρικῶν, οἳ πρὸς διέγερσιν καὶ γυμνασίαν κυνῶν εἰσὶν ἐπιτήδειοι. Ἔξεις δὲ καὶ μὲ συνεπόμενον καὶ συμπροθυμούμενον, οὐ μόνον ἤδη πρὸς τὰ τοῦ συὸς, ἀλλὰ καὶ πρὸς τὰ τῶν ἄλλων θηρίων. Σπούδασον τοίνυν, ἵν' ἔχῃς καὶ τὸν τεχνίτην χαίρειν εἰδότα (2) σοι, ὡς τὸν ἀμαθῆ υἱὸν τὰ τῆς θήρας διδάξαντα, καὶ μὲ διὰ παντὸς τοῦ βίου τὴν διδασκάλῳ προσήκουσαν αἰδῶ καὶ τιμὴν ἀπονέμοντα.

γ'.

Τῷ λαμπροτάτῳ μεσάζοντι καὶ γαμβρῷ τοῦ βασιλέως τῶν Δουκῶν, ὁ Σχολάριος.*

Σὲ καὶ τῇ πόλει ταύτῃ πάγκοινον ἀγαθὸν ἐν ἁπάσῃ

(1) Cf. Xenoph. Ven. x, 17.

(2) Codex, εἰδότας. Male pluralem desinentiam intulit editor aliud forte agens in Philonis libellum De col. par. § 15 : τὴν γὰρ ὕβριν οὐ χεῖρες, ἀλλὰ διὰ χειρῶν ὑβρίσαι δρῶσιν, ἃς ἀναγκαῖον κολάζειν· εἰ μὴ καὶ τοὺς ἀνδροφονήσαντας ξίφει μαθητὸν ὑπερορίους τὸ ξίφος ῥίψαντας. Memorata fuit opportune codicis lectio, μαθητὸν ὑπερόριον. Reponas, μαθητὸν ὑπερόριον τὸ ξ. : « nisi et eos qui gladio homi- » nem occiderunt dimittendum » sit, extra fines gladio ejecto. »

* Codex, τῶν δο κ', quod legi

χρείᾳ καὶ χρόνῳ παντὶ, καὶ ἰδίως ἑκάστοις πατέρα καὶ κηδεμόνα, καὶ φίλον πρᾳότητος γέμοντα, δέδωκεν ὁ Θεὸς, ἅμα μὲν αὐτοὺς ὠφελῶν, ὥσπερ ἄλλοτε πολλάκις ἐπ' ἀγαθῇ τῶν Ῥωμαίων τύχῃ τοιαύτας φύσεις ἀνέστησεν, ὧν οὐδὲν ἔλαττον ἡ σὴ, ἅμα δὲ καὶ σὲ τῆς ὄντως χρυσῆς προαιρέσεως, ἣν προῄδει πόρρωθεν, ἀμειβόμενος, καὶ βουλόμενός σοι μεγάλα καὶ τῇ σῇ γνώμῃ προσήκοντα παρασκευάσαι τὰ ἆθλα. Γράψαιτο δ' ἂν οὐδείς με τοιαῦτα λέγοντα κολακείας. Σὲ γὰρ (1) μόνον ἐπαινῶν τις τὴν μέμψιν ταύτην οὐ δέδιε· κἀγὼ μόνου (2) τούτου τῶν ἀνθρωπίνων ἐλαττώματων καυχησαίμην ἂν παντάπασιν ἀπηλλάχθαι, ὥστε καὶ, τῷ μὴ δύνασθαι χρῆσθαι ταύτῃ τῇ τέχνῃ, ἐνίοις τῶν ὠφελεῖν δυναμένων τίνος οὐκ ἀνδέστερος ἔδοξα.

Ἡ μὲν οὖν πόλις χρυσᾶς σοι τὰς στεφάνους ὀφείλει, δηλονότι πολλὰς καὶ μεγάλας τὰς ἀμοιβάς· εἰ δὲ μήτ' ἀποδίδωσιν, οὔτ' ἀποδώσει, τοῖς χαρεῖς (3) τοῦτο καὶ τοῖς ὧν αὐτῆ κρατήσασιν ἔθεσι λογιστέον. Ἔστω δέ σοι καὶ ἀντὶ στεφάνων αὐτὴ σωζομένη καὶ μετὰ τῶν ἐχθρῶν εἰρηνεύουσα, καὶ ὅσον ἔξεστιν εὐθηνουμένη (4)· ταῦτα γὰρ πάντα δῶρα Θεοῦ, καὶ τῆς σῆς μετὰ τὸν ἄριστον βασιλέα σπουδῆς καὶ φρονήσεως. Τῶν δὲ παρὰ πάντων ἐπαίνων καὶ τῶν εὐχῶν, καὶ τοῦ παρὰ τοῖς πάντων ἀδεσθαι στόμασι, τίς τ' ἂν

τῶν δυκῶν, Hasio duce. — Est Scholarius alias et sæpius Gennadius vocatus. De eo vide Fabr. Bibl. Gr. t. XI.

(1) Codex, σὺ γάρ. . . .

(2) Codex, μόνον.

(3) Codex, χαροῖς. Permutatio vulgarissima. Philo De col. par. 25 : παρέχουσα. . . τοῖς τούτων παισὶ καὶ ἐγγόνοις εὐπραγίας ἀναφαίρετους· leg. ἀναφαιρέτους.

(4) Codex, εὐθυνομένη.

σοι βελτίων ἀρετῆς τε καὶ πρὸς πάντας κηδεμονίας γένοιτο μαρτυρία; μᾶλλον δὲ, τούτων τί γένοιτ' ἂν εὐτυχέστερον; Ζῆθι τοίνυν, καὶ κόσμος ἴσθι κοινὸς, καὶ χαῖρε πολλῶν ἀγαθῶν τετυχηκὼς ἄνωθεν· εἴ τί σοι καὶ λυπηρὸν, οἷα δὴ τἀνθρώπινα, ἀπαντῴη (1), δοκιμήν τινα τῆς Προνοίας καὶ τοῦτο, καὶ μικρόν τι καὶ ἀσθενὲς τῆς ὅλης εὐτυχίας κώλυμα, κρίνων, καὶ τῷ τἀγαθὰ δεδωκότι καὶ τῆς τῶν χειρόνων ἀπαλλαγῆς ἐλπίζων μελήσειν.

Τὸ δ' ἐμὸν πῶς ἂν εἴποιμι; κἂν γὰρ πάσας τὰς ἀνθρωπικὰς ἀπαριθμήσωμαι σχέσεις (2), πασῶν εὑρήσω μείζω τὴν πρὸς ἐμὲ σοῦ καὶ θερμοτέραν· ὅθεν σιγάσθω μὲν ὁ πατὴρ, ἀφείσθω δὲ ἡ μήτηρ, οἱ συγγενεῖς, πάντα δὴ τὰ τοιαῦτα· λεγέσθω δὲ τὸ μάλιστα πρέπον, ὅτι, τῆς ὑψηλοτάτης Προνοίας εἰκόνα καὶ τύπον, ὡς (3) ἐγχωρεῖ, πρὸς ἐμὲ βουλόμενος σώζειν, τί μὲν οὐ λέγεις, τί δ' οὐ πράττεις ὑπὲρ ἐμοῦ, τί δ' ἀναδύῃ δοῦναι δυνάμενος; Τούτων δ', εἰς μὲν εὐνοίας λόγον, καὶ αὐτὸς ἂν εἴποιμι παρὰ σοῦ τυγχάνειν δίκαιος εἶναι· τῆς δ' ἄλλης ἀξίας οὕνεκα, καὶ αἰσχύνομαι σαφῶς ἐμαυτὸν, οὕτω σφόδρα τιμώμενος. Καὶ τῆς εἰς ἡμᾶς οὖν εὐμενείας, ἡμῶν μὴ δυναμένων ἀμείβεσθαι, πλὴν εὐχαῖς τε καὶ χαρίτων ὁμολογίαις, καὶ τῷ τὴν ψυχὴν ἂν ὑπὲρ σοῦ προέσθαι μεθ' ἡδονῆς, ἀξίους ἄνωθεν τοὺς μισθοὺς, τοὺς μὲν ἕξεις ἐν τῷ παρόντι, οἱ δέ σοι μετὰ ταῦτα τηροῦνται. Ὅθεν ταῖς τιμαῖς καὶ ταῖς χάρισι βουλόμενος προστιθέναι, μὴ τὴν ἡμῶν λογίζου φαυλότητα, μηδ' ὑπὸ ταύτης εἴργεσθαι συγ-

(1) Codex, ἀναντώη.
(2) De σχέσει t. IV, p. 226, n. 4.
(3) Inserui ὡς, quod a librario omissum fuisse videbatur.

χωρήσῃς, ἀλλ', εἰδὼς ὡς ἔχει τὸν ἀμειψόμενον, χρῶ τῇ σαυτοῦ φύσει, μᾶλλον δὲ, νίκα σαυτὸν πρός τε τοὺς ἄλλους καὶ πρὸς ἐμέ.

Ἥκει σοι καὶ ὁ Ἵππος καὶ πολλαὶ σὺν αὐτῷ χαρίτων ὁμολογίαι· οὐδὲ γὰρ χρῄζω τούτου λοιπὸν, πράττειν τε οὐδὲν ἔχων, καὶ τὸ σῶμα διαναπαύειν (1) σφόδρα πεπονηκὸς ὑπὸ τῆς νόσου βυλόμενος. Ἴσως, ἐπειδὰν ὁ βασιλεὺς ἐπανήκῃ, καὶ δέῃ με πρεσβεύειν ἐκεῖνον (δίκαιον γάρ), ἄπαξ, ἂν ὁ Θεὸς θέλῃ, τούτου δεήσομαι, ὅτε καὶ πείσεις τὸν πάντ' ἄριστον (2) βασιλέα ἅπερ ἂν αὐτὸς πρότερος ὑφ' ἡμῶν εὐλόγως πεισθείης. Οἶμαι δὲ μηδ' ἐκεῖνον ἀναβαλεῖσθαι τὴν δωρεάν, νῦν ὀφὲ σαφῆ τῆς ἐμῆς πρὸς αὐτὸν εὐνοίας πεῖραν λαβόντα, καὶ ἄλλως ἡμῖν συνειδότα τοῦτο μὲν δίκαια, τοῦτο δὲ πρεπέστατα ἀξιοῦσιν.

Ἀλλὰ ταῦτα μὲν ὕστερον· νῦν δὲ ἡμᾶς ἴσθι πάνυ καλῶν τῶν τῆς ἡσυχίας προοιμίων αἰσθανομένους, καὶ πολλὰ τῇ τοῦ τόπου μεταβολῇ χαίροντας, ἐλαττίζοντας δὲ καὶ τὴν τοῦ σχήματος (3), μᾶλλον δὲ τὴν τοῦ τρόπου, Θεοῦ διδόντος, ἡμῖν ἔτι πλέον ἀρέσειν.

(1) Codex, διὰ παύειν.

(2) De nomine πάντ' ἄριστος, non παντάριστος, vid. t. III, p. 368. Sophocles Œd. C. 1528: Τὸν παντ' ἄριστον δεῦρο Θησέ' ἂν πόροι. Conf. Lobeck. ad Ajac. 1402, qui de nomine παντάγαθος reperiendo apud bonos saltem scriptores dubitare videtur. Est παγκάγαθος apud Gennadium De prædest. p. 6. Nomen πάλαιος optimum est. Eo Choricius usus est in Procop. § 39, vel usus esse videtur; nam, pro edito ὁ παλαιὸς ἰητὺς, vidi in codice ὁ παπαλαιὸς ἰ. Ibidem, § 7, editum compositum ταπεινοφρονούσης codex dividit sic, παπεινὸν φρονούσης.

(3) De hac habitus mutatione aliquoties mentio fiet. Respicitur transitus quem Gennadius fecit a vita civili ad ecclesiasticam. Τὰ τῆς ἡσυχίας προοίμια sunt vitæ tranquillioris et monasticæ initia.

Ὑφ' ἑνὸς μόνου, τῆς τοῦ σώματος ἐνοχλούμεθα δυσκρασίας, ἧς οὐκ ἔστι μηχανὴ θαύματος ἄνευ ἀπαλλαγῆναι.

Ὑγίαινε καὶ χαῖρε πανοικὶ, ἀνδρῶν ἄριστε καὶ λαμπρότατε.

δ'.

Ὁ λαμπρότατος μεσάζων καὶ γαμβρὸς τοῦ βασιλέως τῷ Σχολαρίῳ πρὸς ταῦτα.

Εὐπορία τοῦ λέγειν καὶ γράφειν συνετῶς καὶ κοσμίως τῆς ἀγαθῆς σοφίας ἐστὶν αἴτιον· ἣν αὐτὸς ἐς ἄκρον ἐξησκημένος ἄμεινον τῶν ἄλλων ὑπερτερεῖς, καὶ τὰ καθ' ἡμᾶς, μικρὰ καὶ οὐδαμινὰ ὄντα, ὡς μεγάλα φράζεις (1), δυνάμενος. Νοοῦμεν δὲ ἑαυτοὺς ἡμεῖς ἐλάττους εἶναι τῶν γραφομένων κατὰ πολύ. Συνάγεται τοίνυν, τὸν ἔπαινον τῆς ἐπιστολῆς τοῦ πεπομφότος εἶναι μᾶλλον ἢ πρὸς ὃν ἔσταλται· στήλη γάρ σοι ἔστι τὰ παρόντα γράμματα. Χάριν οὖν καὶ ἡμεῖς σοι ὁμολογοῦντες, ἔτι καὶ χαίρομεν, αἴτιοι γενόμενοι τοῦ ταῦτα γράψαι (2), καὶ δεῖξαι οἷα οἱ εὐγνώμονες φίλοι ἐπὶ μικροῖς πράγμασι μεγάλας τὰς δωρεὰς εὐφημίζοντες, ἐπείπερ οὐκ ἴσμεν ἄξιόν τι τῆς φιλίας καὶ τῆς ἀγάπης τῆς σῆς διαπράξασθαι.

Ἐπεὶ δὲ, πρὸς ὃν προέθου σκοπὸν, οὐδ' ἄλλο τῶν παρ' ἡμῖν τιμίων ἄξιον τῇ σῇ θεοφιλεῖ γνώμῃ φανήσεται, ἀναμένομεν τὴν ἀπὸ σοῦ ἀναλογοῦσαν τῷ καιρῷ αἴτησιν. Αἴτησον τοίνυν, ὅταν θέλῃς, καὶ περὶ ὧν βούλει, ἔφεσιν ἐχόντων πληροῦν ὅσα ἡμῖν δυνατὰ, ὅσα καὶ φιλτὰ (3) τῷ υἱῷ.

(1) Codex, φράζης. (2) An γράψαι σε? (3) An φιλητά?

Χαίρω δὲ καὶ χαίροντά σε ἀκούων δεχόμενον τὴν μεταβολὴν, καὶ τῷ ἔργῳ μετὰ πολλοῦ τοῦ ζήλου ἐπιτερπόμενον, εἰ καὶ λύπη μοι ἐστὶ τοῦ διὰ μακροτέρου τοῦ χρόνου τῆς φίλης ἡμῖν ὁμιλίας ἀπολιμπάνεσθαι. Θεὸς δὲ, ὁ πάντων τῶν ἀγαθῶν χορηγὸς καὶ δοτὴρ, τὸ ἔργον συντελέσειεν ὡς αὐτῷ βουλητὸν, καὶ σὲ στηρίξειε τῷ θελήματι αὐτοῦ, τὸ (1) τοῦ ζήλου, καθώς σοι νῦν ἐστὶ, φυλαττόμενον.

Ἔρρωσο, υἱὲ περιπόθητε καὶ παμφίλτατε.

ε'.

Τῷ αὐτῷ μεσάζοντι καὶ γαμβρῷ τοῦ βασιλέως πρὸς ταῦτα ὁ Σχολάριος.

Τί τοῦτο πέπονθας, θαυμασιώτατ' ἀνδρῶν; ἀπαναινόμενος γὰρ τοὺς ἐπαίνους, καὶ λέγων ἡμᾶς ἐκ τῆς φύσεως ὁμοῦ καὶ τῆς τέχνης τῆς ἐν ἡμῖν, οὐκ ἐκ τῶν σῶν πλεονεκτημάτων, τούτους ποριζομένους, χαρίζεσθάι σοι τὰ μὴ προσήκοντα, καὶ τἄλλα συνείρων ὅσα σοφίας μὲν ἀληθινῆς, καὶ ἣν Ἡσίοδος (2) μετὰ πάντων σοφῶν προτιμᾷ, συνέσεως δὲ καὶ μεγαλοψυχίας καὶ φιλίας σαφοῦς τυγχάνει γνωρίσματα, λέληθας (3) τὸ τοῦ Σωκράτους παθὼν, καὶ δείξας σαυτὸν ἐκεῖνον εἶναι τῷ ὄντι, ὃν ἡμεῖς ἐν τοῖς γράμμασι προὐστησάμεθα, μᾶλλον δὲ, οὗ τῶν καλῶν μετρίως ἅψασθαι βουληθέντες, πολὺ τοῦ πρέποντος ἀπελείφθημεν (4). Σωκράτους ἄρα σύ γε μαθητὴς

(1) Inserui τό.

(2) Respectu forsan ad hæc Hesiodi Th. 656: Ἴδμεν ὅτι περὶ μὲν πραπίδες, περὶ δ' ἔστι νόημα.

(3) Codex, λέλυθας.

(4) Codex, ἀπελήφθημεν. Solita

χὴ ἑταῖρος, χὴ ὅτω χαλῶς ἔρχοις τὰς ἐχείνου πληρῶν συμβολὰς, ὥσθ' εἴ τινα (1) τῶν ὡμιληχότων Ἀθήνησιν ἕνα χρῆν ἀποφῆναι τοιοῦτον ἠδύνατο, ὄχ ἂν, τὰ συμφέροντα λέγων, ἀπέθνησχεν. Ἐχεῖνός τε τοίνυν σοφὸς Ἀπόλλωνος χρίσει (2), χαίτοι τοῦτο χαθάπαξ ἀρνούμενος (3)· χὴ σὺ χοινὸς ἁπάντων πατὴρ χὴ χίων τῆς πόλεως ἀσφαλὴς, ὅ φησιν Ὅμηρος (4), χὴ παντὸς ἀγαθοῦ χέμων ψήφοις Θεοῦ χὴ πάντων ἀνθρώπων· σοὶ δ' ἀρνουμένῳ προσέξει τῶν ἁπάντων οὐδείς, ὥδ', ἐχ τῶν πραγμάτων μαρτυρίαν ἀφεὶς, τῇ σῇ μεγαλοφροσύνῃ προσθήσεται, εἰ μὴ χὴ ταύτην μόνην ἀρχέσαν τῆς σῆς ἀρετῆς ἀπόδειξιν ἕξει.

Ἥσθην δὲ (πῶς οἴει (5);) τοῖς γράμμασι· χὴ, πολλάχις ἐπιὼν αὐτὰ, τὴν τοῦ (6) πεπομφότος φύσιν τε χὴ γνώμην ἐθαύμασα, τὴν μὲν μηδὲ τῆς ἀπὸ τῶν λόγων δόξης ἀμοιρεῖν χαθάπαξ ἀνασχομένην, τὴν δὲ εὐθὺς ὑπαχούσασαν· οὕτω πρὸς πᾶν ἀγαθὸν χηρῷ μαλαχωτέραν (7) ἔσχες αὐτήν· ὥσθ', εἰ περὶ πάντων

est permutatio. Philo De col. parent. § 20 : πῖς μάρτυρα χαλοῦσιν ἐπὶ μὴ ἀληθῆ θεὸν ὡρισθαι δίχη θανάτου. Lego, ἐπὶ μὴ ἀληθεῖ. Mox, τὸν ὀμνύντα μάτην ἐπ' ἀδίχῳ θεόν. Exod. XX, 7 : οὐ λήψῃ τὸ ὄνομα χυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ.

(1) Codex, ὡς τα πτα.

(2) Vid. t. II, p. 269; Rhoer. ad Porph. De abst. p. 28. Salvianus De gub. VII, p. 181 : « sapien- » tissimus omnium Socrates sem- » per existimatus est, testimonio » scilicet etiam Delphici dæmonis, » qui quasi princeps philosopho- » rum sicut dæmoniorum erat. »

(3) Socrates in Apologia apud Platonem § 6 : ἐγὼ γὰρ δὴ οὔτε μέγα, ὅτι σμιχρὸν ξύνοιδα ἐμαυτῷ σοφὸς ὤν.

(4) Non Homerus, sed Pindarus. Conf. supra t. II, p. 204, not. 4.

(5) Synesius Epist. 22 : ἥσθην· ἀλλὰ πῶς οἴει;

(6) Codex, τ τοῦ. Melius legetur π apud Philonem De col. par. § 19 : ἐχχαυθέντες χαί τι παραπεπηγμένοι· imo χαί π παραπεπηγμένοι.

(7) Conf. t. III, p. 130, n. 4, de hac metaphora.

τῶν προσόντων σοι καλῶν ἐποιούμην τότε τὸν λόγον, ἤλγουν ἂν περὶ σοφίας καὶ τέχνης ῥητορικῆς οὐδὲν εἰρηκώς· νῦν δ', ἐκὼν ἄκων τὰ πλεῖστα παραλιπών, οὐδὲν ἡγοῦμαι δεινὸν εἰ καὶ ταῦτα σεσίγηται.

Εἰ δὲ σολοικισμοὺς καὶ τοιαῦτά τινα σφαίσματα λέγεις, ἀλλ' οὔτ' ἐγὼ τούτων ἐξεταστὴς ἀκριβὴς ἐν ταῖς τῶν φίλων ἐπιστολαῖς εἰμὶ, κἂν ὦσι τῶν λίαν ἐπ' ἀσφαλείᾳ σεμνυνομένων· μήτ' αὐτὸς πολὺν ποιοῦ λόγον, μηδὲ νόμιζε μεγάλου τινὸς ἐστερῆσθαι, τῆς περὶ ταῦτ' ἐμπειρίας, χαῖρε δὲ μᾶλλον ταύτῃσι τῆς τερθρείας ἀπηλλαγμένος. Ὀλίγους γὰρ εἶδον ἐγὼ μὴ σφόδρα ἂν τούτοις ἁλισκομένους, ἢ τῶν ταύτῃ καλῶς ἠσκημένων τοὺς πλείους ἐν ταῖς πέρναις, ἢ ὅπου οἶδ' ὅπου, τὸν ἐγκέφαλον ἔχοντας (1).

Σοὶ δ' ἀρκείτω τὸ λέγειν πάντα μετὰ καιροῦ, καὶ τὸ πείθειν πάντας τὰ δίκαια, καὶ τοῖς λόγοις οἰκονομεῖν, ἵν' οὕτως εἴπω, τοῖς τε πρόσωποις καὶ ταῖς ὑποθέσεσιν ἁρμοζόντως, καὶ ἐπιχειρῆσαι μὲν ὅθεν δεῖ, ἐξεργάσασθαι δὲ καὶ συμπεράναι καλῶς τε καὶ χαριέντως, καὶ διελεῖν ἀκριβῶς, καὶ ἀποδοῦναι πάντα σὺν τάξει, ἃ τῆς ῥητορικῆς ἐστὶ τὸ μέγιστον μέρος, καὶ οἷς πᾶσι κοσμούμενον τοῖς τῶν ῥητόρων χορεῖς ἐγγράφομέν σε

(1) Demosth. de Halonn. extr.: εἴπερ ὑμῖς τὸν ἐγκέφαλον ἐν ταῖς κροπάλοις, καὶ μὴ ἐν ταῖς πλήραις καταπεπαττμένον φορεῖτε. Cf. ad Marin. p. 70. Ibi quos adtuli versiculos de horto edidit olim Morellus cum quatuor aliis ejusdem argumenti epigrammatis, et hoc indice: Κήπου Ἐφεσίας ἀδήλου. Liber est e rarissimis. Nec eum noveram, quum in Marinum commentarer. Nec noverat Morellus ipse, quum, Lutetiæ a. 1609, quinque illa epigrammata, «Regia quæ ex horto dat bibliotheca Pelasgo», typis regiis ederet, jam edita fuisse inter Theodori Prodromi et aliorum poemata, quæ Basileæ prodierunt apud Bebelium a. 1536.

καὶ μὴ βουλόμενον. Τούτοις καὶ ἡ Θεμιστοκλέους ἑταιρεία (1) καὶ σὴ προεῖχε, καὶ τούτοις ἦγε τὰ πράγματα. Τὰ δὲ λοιπὰ σοφιστῶν εἰσι καὶ γραμματικῶν, τῶν περὶ τὰς τῶν δυναστῶν στρεφομένων, ὥς τις εἴρηκε (2), πύλας, καὶ οἱ, περὶ μιᾶς προσῳδίας ἀλλήλοις ἀμφισβητοῦντες, οὕτως ὅλον τὸν βίον αὐτῶν λανθάνουσιν ἐκλοξεύοντες (3), οὐδὲν ὄφελος ὅτε πράττοντες οὔτ' εἰδότες· οὗ χάριν (4) καὶ τὸν εἰλικρινῆ γραμματικὸν ὄνον εἰλικρινῆ τιμῶσα δῆθεν ἡ τῶν Λατίνων ἀποφαίνεται παροιμία (5).

Λέγε τοίνυν οὕτω καλῶς· καὶ πέμπε τοῖς φίλοις ἐπιστολὰς, ὅσοι, νῦν ἔχοντες, τὸ βάθος τῆς διανοίας καὶ τὴν τάξιν τῶν νοημάτων καὶ τὸ φυσικὸν θαυμάσουσι κάλλος, οὐ τὴν ἔξωθεν ὥραν καὶ γραφὰς στοιχείων περιεργάσονται· ἐπεὶ κἂν τούτοις οὕτως εὐδοκιμεῖς, ὥστ' εἶπεν ἄν τις, ἰδὼν πρὸς τὰ γράμματα, ἐκ μουσείων εὐθύς σε καὶ τῆς περὶ ταῦτα μελέτης ἀναστάντα, σταίειν μέν που, τοῖς δὲ σταιστοῖς χρῆσθαι καλῶς. Σὲ δ' οὔτε τὴν ἀρχὴν τὰ παιδευτήρια πολὺν ἐδέξατο χρόνον, οὔτ' εἰκὸς, εὐθὺς πραγμάτων ἁψάμενον, καὶ σχεῖν μελέτας ἐν τοσούτῳ χρόνῳ κατέχειν.

Ἐγὼ δέ σοι καὶ τῶν γραμμάτων σχεῖν χάριν

(1) Vide Plutarchum Them. 2, in primis ubi de Phrearrio Themistoclis magistro narratur.

(2) Conf. Simonidis dictum apud Aristot. Rhet. II, 16.

(3) Aristoph. Plut. 33 : Τὸν ἐμὸν μὲν αὐτῷ τῷ παλαιπώρου σχεδὸν ἤδη νομίζων ἐκπεπλεῦσθαι βίον.

(4) Codex, ὃ χάειν.

(5) Proverbium latinum non memini me tale legisse. Quos vocat Latinos esse puto recentes Italos. Ad sententiam facit notum epigramma : « Je crois que » je deviens puriste ; Je tire au » cordeau chaque mot ; Je suis » les Dangeaux à la piste : Je » pourrois bien n'être qu'un sot. »

εἰδὼς ὑδέποτε παύσομαι, οὕτω μοι πολλὰς ἀφορμὰς τῷ χαίρειν παρασχομένων· ὧν ἁπάντων μέγιστον ἦν, ὅτι καὶ πᾶσι τοῖς μέρεσι τῆς ἐμῆς ἐπισολῆς ἐπεξῆλθε, ὃ μόλις ἂν αὐτὸς δυνηθείην, ὁ τὰ τοιαῦτα τέχνην πεποιημένος.

Πῶ δ' ἂν θείην (1) τὴν διὰ πάντων λάμπουσαν εὔνοιαν, καὶ τὸ τῆς ψυχῆς εὐγενὲς σαφῶς ὑτωσὶ φαινόμενον ὂν τοῖς γράμμασιν; Εἰ δ' ἐπιάτλεις (2) ἡμῖν ὑπὲρ ὧν ἂν δεώμεθα θαῤῥοῦντως μηνύειν, μέγα μέν τοι καὶ τοῦτο καὶ σύνηθες δίδως ἡμῖν, παρέλκον δὲ ἄλλως. Σὺ γὰρ ἤδη καὶ τὰς ἡμῶν μαθευόμενος χρείας φθάνεις τὴν αἴτησιν. Καὶ τὸν ἰατρὸν γὰρ ἡμῖν ἔπεμψας, πείν τι παρ' ἡμῶν εἰδέναι σαφῶς, ὃς καὶ λίαν ἡμῖν ἔδοξεν ἐξαρκεῖν, ὥστε μηκέτι πρᾶγμα' ἔχειν ἄλλων φροντίζοντας.

Σώζοιτο τοίνυν εἰς αἰῶνας, Χριστὲ βασιλεῦ, ἡ πᾶν ἀγαθὸν βρύουσα, πᾶσι δὲ πληροῦσα τὰς ἀγαθὰς ἐπιθυμίας, οἰκία· καί γε τῷ ταύτης παιδὶ καὶ δεσπότῃ παῖδες ὅμοιοι μὲν τὴν ἀρετὴν, τὴν δὲ τύχην βελτίους (3), καὶ τὴν τῶν κοινῶν πραγμάτων φροντίδα καὶ τὴν ἑκάστου διαδεχέσθωσαν πρόνοιαν, ἐπειδὰν αὐτὸν, εἰς εὐδαιμον γῆρας καὶ λιπαρὸν ἀφιγμένον, εἰς τὸν ἀμείνω βίον μετάγῃς.

(1) Vide t. III, p. 382, n. 3. Sophocles Phil. : Πῶ χρὴ πίθεσθαι ταῦτα;

(2) Codex, ἐπιάτλεις, e correctione, quum primum εις esset in fine. Non placet hic conjunctio εἰ. Forsan, ἐπεὶ vel ὅ. Nonnusquam ει et ε fuerunt confusa. Gregorius Naz. Ep. 26 : πᾶν εἴ τι ἂν εἴπῃ τις τῶν καλῶν. Legerim, πᾶν ὅ τι. Acta Theclæ in Grabii Spicil. t. I, p. 117 : εἴ τι ἂν αἰτήσει αὐτήν· forsan ὅ τι ἂν αἰτήσῃ αὐτήν. Himerius Or. XXIII, 3 : λευτρεῖ καὶ οἰκίας καὶ πλοῦτον, καὶ πᾶν εἴ τι κάλλιστον. Ibi apte conjecisse videtur Wernsdorfius, ὅ τι.

(3) Soph. Aj. 550 : Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος, Τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν δ' κακὸς.

ϛ'.

Ὁ μεσάζων τῷ Σχολαείῳ.

Οἱ τῶν μυρεψῶν ἐπισήμονες, ὅτι διαφόρων ἀρωμάτων συμβολὴν συντιθέντες ἁρμόδιον, εὔοσμον εὕρεντο τῷ βίῳ τὸ θυμίαμα (1), ὅπερ ὡς κάλλιστόν τε θυμιᾶν καὶ τῷ Κυρίῳ προσάγειν ἐθέλομεν ἄνθρωποι, καὶ τούτῳ μᾶλλον χρῆσθαι, ὡς τῶν ἄλλων ἀμείνονι. Τοῦτο καθ' ἑαυτὸ τυγχάνον εὔοδμον φύσει τοῖς ὀσφραινομένοις ἐγγύτερον, ὅταν πυρὸς ἅψηται, δὴ ἔτι κατέχει παρ' ἑαυτῷ τὴν εὐωδίαν (2), ἀλλὰ καὶ τοῖς πόρρωθεν μεταδίδωσι. Τοιοῦτον δή τι καὶ ἐν ἡμῖν γίνεται. Ὅπερ καὶ τὸ πῦρ ἐν ἐκείνῳ, τοῦθ' ἡμῖν ἀντὶ τοῦ πυρὸς συμβαίνει τὰ γράμματα. Ὅταν ἐρεθίζωμέν σου τὴν μελίῤῥυτον γλῶτταν, ἀπολαύουσι πάντες τῆς εὐοσμίας τοῦ λόγου, αἰσθητῶς τε ἅμα καὶ νοητῶς ὠφελούμενοι, καὶ πλέον ἢ ἐκεῖνοι (3) τοῦ εὐώδους τῶν ἀρωμάτων ἐκείνου καπνοῦ.

Δεδοίκαμεν δὲ ἆρα δυοῖν θάτερον, ἢ μὴ ἐν ὄχλῳ (4) γενόμενοι σε βαρύνοιμεν, ἢ τὴν ἰδέαν τῶν παρ' ἡμῖν γραφομένων, μὴ οὐκ ἀξία παντάπασιν ᾖ. Καὶ οὐδ' αὐτὸς γράψει (5) ἴσως κατὰ τὴν προσοῦσάν σοι σοφίαν (ἀνάλογον κἀντεῦθεν μὴ δείκνυσθαι τὴν προσοῦσαν τοῦ λόγου σοι δύναμιν· ἀξίως γὰρ ἀντεπέσταλκας), εἰ ἦν γράφων καὶ ἀντεπιστέλλων, καὶ νῦν

(1) Inde dicta σύνθετα θυμιάματα p. 48.
(2) Codex, εὐοδίαν.
(3) Codex, πλέον ἤν ἐκεῖνοι.
(4) Reponendum esse videtur δι' ὄχλου, vel ἐν ὄχλῳ, vel ἔνοχλοι.
(5) Cod. γεγάψις. Reposui γράψει, Libanius scilicet.

ὧν τῷδε τῷ βίῳ οἷος πρὸς τὸν μέγαν Βασίλειον, καὶ ὁ θύραθεν σοφιστὴς Λιβάνιος (1).

Ἐπεὶ δὲ τὰ παρὰ σοῦ πεμφθέντα μοι γράμματα μείζω τῆς ἡμετέρας ἦσαν δυνάμεως, καὶ χρεὼν ἦν τοῦ κατ' ἀξίαν παρ' ἡμῶν ἐπαίνου τυχεῖν, τοῖς ἀμείνοσι τῶν παρ' ἡμῖν σοφῶν ἐπεδείξαμεν, ἵν' εἰκότως αὐτοὶ τὸν ποθούμενόν μοι θαυμάσωσι τῆς τε συνθέσεως τῶν νοημάτων καὶ τοῦ κάλλους τῶν λόγων. Τί γὰρ ἂν αὐτὸς εἴποιμι περὶ ἧς μοι νῦν ἐπέσταλκας ἀρίστης ἐπιστολῆς; Ἐπαινέσουσι δὲ μᾶλλον ἀντὶ τοῦ ἑνὸς οἱ πολλοί, εἰ καὶ αὐτοὺς σχεδὸν οἶδα τούτους τὸ πρὸς ἀξίαν ἀποστερήσοντας.

ζ.

Ἑτέρα ὧν ταὐτῷ.

Νέῳ μοι ἔτι ὄντι καὶ ἐς διδασκάλους φοιτῶντι ἤκουσέ ποτε παρ' αὐτῶν πέντε χρῆσθαι γλώτταις τοὺς Ἕλληνας. Ἡ δὲ τῶν πραγμάτων ἀνωμαλία, καὶ τὸ ἄλλοτε ἄλλους ἀμείβειν τόπους, οὐκ ἀφῆκαν μαθεῖν με ταύτας καὶ ὁπωσοῦν σχεδὸν, μίαν δὲ μόνην τὴν κοινὴν, ἣν (2) τοῦ λόγου τῇ χρήσει πρὸς τὰς ἐννοίας ἅπαντες χρώμεθα. Ταύτῃ καὶ πρὸς τὸ γράφειν χρῆσθαί μοι γέγονεν· οὐδὲ γὰρ ἀτλιτίζειν καὶ ἰωνίζειν

(1) Cujus et Basilii mutuæ epistolæ supersunt.

(2) Si sic scripsit auctor, non librarius, κοινότερον est loquutus. Verbi χρῆσθαι syntaxim cum accusativo attigi in Notit. Mss. t. XI, part. II, pp. 194, 204; conf. et pp. 215, 249; et supra t. IV, p. 343, n. 3. Adde Friedemannum De media syll. pag. 345. Puto ἣ scribendum; quum sit statim ταύτῃ χρῆσθαι, ἑρίῳ χρῶνται, et modo fuerit χρῆσθαι γλώτταις. Non fuit Notaras adeo negligens.

μεμάθηκα. Ταὐτόν τι γοῦν ὁρῶ κἀπ' ἐμοὶ γινόμενον, οἷον ταῖς παρ' ἡμῖν γυναιξὶ πολλάκις ἐξ ἀνάγκης ἐγγίνεται. Ἀποβῦσαι γὰρ ἐνιότε μετάξης καὶ τοῦ Αἰγυπτίου λίνου (1), ἐρίῳ τῷ τυχόντι χρῶνται, καὶ τῷ κοινῷ λίνῳ τουτωΐ, ὅπερ ἡ πιότης τῆς καθ' ἡμᾶς λαχούσης γῆς δίδωσιν. Εἰ γὰρ ἐξ ἄλλου τινός ποθεν ἐδανεισάμεθα, ἴσως ἦν ἂν τὸ ὕφασμα λεπτὸν καὶ Αἰγύπτιον.

ιε'.

Ὁ σοφιστὴς Λουκιανὸς, τὸ λόγῳ θέλων δεῖξαι τὴν δύναμιν, ἐξέδοτο καὶ μυίας ἐγκώμιον (2). Τοῦτο καὶ ἐπὶ σοὶ ἴδοι τις ἄν, ἐπαινοῦντι τὸ παρ' ἡμῶν περὶ μικρῶ σοι σταλὲν βραχύ τι γραμμάτιον. Πρὸς γὰρ τοὺς γράφειν εἰδότας παραβαλλόμενον, μυῖαν κ' κώνωπες ἀντιχρυς ἐσμὲν πρὸς ἐλέφαντας. Παυσόμεθα τοίνυν τοῦ λοιποῦ, ἵνα μή σοι κόπους παρέχωμεν, μὴ κ' παρ' ἡμῖν γέννηται ὅπερ ὁ Ἀσὰν (3) ἐκεῖνος παρὰ τῶν ἐπαινούντων αὐτὸν, ἐξ ἀμαθίας, ἢ ἀνοίας μᾶλλον, ὑπενόει πλανώμενος, μὴ εἰδὼς τῶν ῥητόρων ἢ τῶν Φιλοσόφων τὴν κεκρυμμένην ταῖς ἐπιστολαῖς ἔννοιαν· ἐκεῖνοι γὰρ ἑαυτοὺς μᾶλλον ἢ τὸν γράφοντα οἷς ἐπῄνουν ἐπεδείκνυον· αὐτὸς δὲ, νομίζων εἶναι τοιοῦτος, τοῖς Φιλοσόφοις ἑαυτὸν ἐγκατεμίγνυεν. Ἀρκούμεθα τοιγαροῦν ἐφ' ὅσον σοι τοῖς προτέροις γεγράμεν αἴτιοι γράμμασιν, ἐν οἷς σαφῶς ἐπεδείξω οἷος εἶ πρὸς τοὺς

(1) De μετάξη pag. 3. Linum Ægyptium est gossypium.

(2) Quod opusculum supercst adhuc.

(3) Ex multis, quorum est servata memoria, Asanibus, quis nunc significetur ego non habeo dicere.

φίλους καὶ οἷα τὰ ἐκ τῆς σῆς σοφίας αὐγάσματα (1), διὰ θαύματος ἔχοντες ἀεὶ τὴν σὴν μεγαλόνοιαν.

θ'.

Καὶ αὕτη πρὸς τὸν αὐτὸν ἐν ταὐτῷ καὶ ἐπὶ ταῖς τεισὶν ἔτι.

Ἦκει μὲν ἔναγχος ἡ ἐπιστολὴ χαρίεσσά τε ἅμα καὶ θαυμαστή. Δημοσθένους ἂν ἔφη τις εἶναι ταύτην ἢ Πλάτωνος· οἱ δὲ μεμυημένοι (2) τὰ σὰ τοῦ καλοῦ κἀγαθοῦ Σχολαρίου φήσουσιν εἶναι, τοῦ καταπεπωκότος μὲν τὸ τοῦ Ἑρμοῦ νέκταρ, δεξαμένου δὲ καθάπαξ τὴν τῶν Μουσῶν χάριν. Ἀντεπιστέλλειν τοίνυν ἀξίως σοι παραπλησίου τινὸς ἔδει τῶν καλά σε· ἀλλ' οὐκ ἔστιν οὐδείς. Οὐκοῦν, καλὰ δύναμιν ἡμετέραν, ἡμεῖς αὐτοὶ τὸ τῆς ἀμοιβῆς χρέος ἐκτίννυμεν, καί σοι τρεῖς ἀντὶ μιᾶς ἀντεπιστέλλομεν (3), εἴ γε δὴ καὶ ἐπιστολὰς αὐτὰς προσειπεῖν δίκαιον· ἐνδεικνύμεναι μὲν πάντως τὸ τῆς ἡμετέρας ἐνδεὲς δυνάμεως, ἀφοσιούμεναι δ'

(1) Conf. p. 126, 17.

(2) Cod. *οιδαμεμωνημένοι*. Fors. *οἱ δὲ ἀκριβῶς μεμ.*, *οἱ δὲ εὖ μ.*

(3) Codex, *ἀντεπιστέλλοντας*. Debuerat potius librarius, vel auctor, accusativo casu participia sequentia scribere, *ἐνδεικνυμένας*, *ἀφοσιουμένας*. In Philone De col. parent. § 12, pro *ἐνδιδόντες καὶ ἐπιχαλῶντες* prætulerim, quod in codice reperisse se fere meminit editor, *ἐνδιδόντας καὶ ἐπιχαλῶντας*, scilicet *πατέρας καὶ μητέρας*: sed sunt ejus loci non diligentissime editi aliæ difficultates. Tollendus manifestior solœcismus ex eodem libello § 4 : *ἡ* (philosophia) *τὸν νοῦν εἰσφυσιομένου θνητῷ σώματι μετέωρον αἴρουσα, παραπέμπει μέχρις οὐρανοῦ, καὶ τὰς ἐν αὐτῷ μακαρίας καὶ εὐδαίμονας φύσεις ἐνδείκνυται, ζῆλον ἅμα καὶ πόθον ἐνεργαζομένη τῆς ἀτρέπτου καὶ ἐναρμονίου τάξεως, ἣν οὐδέποτε λείπουσι πειθόμενοι τῷ ταξιάρχῳ*· imo *πειθόμεναι*, videlicet *φύσεις*.

ὅμως τὸν περὶ σὲ πόθον. Καὶ ἔστιν ἰδεῖν ἐνταῦθα τοῦτο (1) συμβαῖνόν μοι, ὅπερ καὶ ἐπὶ τρυτάνης ἴδοι τις ἄν. Ἂν γάρ τις, προκαταλαβὼν τὴν ἑτέραν τῆς πλάστιγγος (2) ἐπὶ σταθμῷ, εἰσάξῃ τι ἐν αὐτῇ τῶν βαρυτέρων ἅμα καὶ τιμιωτέρων (χρυσὸς δ' ἂν εἴη ταῦτα πάντως ὁ καθαρώτατος, καὶ λίθων καὶ μαργάρων οἱ διαυγέστεροι), τί ποτ' ἂν ἄλλο τῶν καθ' ἡμᾶς θείη τις ἐν τῇ ἑτέρᾳ, ἀντίσταθμον τοῦ βάρους δηλονότι καὶ τοῦ τιμήματος, ἐκ τῶν σῶν μαργαροειδῶν καὶ χρυσέων λόγων προκατειλημμένης τῆς πλάστιγγος; Ἴσμεν τοιγαροῦν καὶ αὐτοὶ ὡς, εἰ καὶ πολλάκις τρὶς ἀποστείλαιμεν, κατ' οὐδέν τι τὴν πλάστιγγα καθελκύσαιμεν. Πρόσθες τοίνυν, εἰ βούλει, καὶ τὴν παροῦσαν· εἰ γὰρ καὶ πρὸς τὸ βάρος οὐδὲν ἀνύσει, ἀλλά γε ὄγκον τινὰ δή που καὶ ἥδε προσθήσει.

ι'.

Σχολάριος τῷ μεσάζοντι πρὸς ταῦτα.

Ἅγιέ μοι αὐθέντα, παντοίως ἡμᾶς κατεγλύκανας.

(1) Est in codice lacunula, in quam τοῦτο immisi. Lacuna etiam laborare videtur Philo De col. parent. § 8: τοσούτων οὖν ὑπαρχόντων, ἄξιον μὲν οὐδὲν δρῶσιν οἱ τιμῶντες γονεῖς; ... ψόγου δὲ καὶ κατηγορίας καὶ τῆς ἀνωτάτης δίκης (οὐκ ἄξιοι) οἱ μήθ' ὡς πρεσβυτέρους αἰδούμενοι, μήθ'...; Verba οὐκ ἄξιοι sic uncis inclusit editor, addita scilicet e conjectura, quum ex sententia ea requiri putaret. Equidem esse lacunam puto, sed non eo loco. Scripserim, idque absque interrogatione: τοσ..., ἄξιον μὲν οὐδὲν ἐπαίνου δρῶσιν... δίκης οἱ μήθ'...

(2) Exspectabam τὴν ἑτέραν τῶν πλαστίγγων. Philo usus est lancis metaphora loco non omnino sano De col. parent. § 6: συμφρονῆσαι γὰρ οὐκ εἰκὸς ἐπ' ἀναιρέσεως τοῦ παιδὸς ἑκάτερον τῶν γονέων, μὴ βαρυνόντων καὶ καθελκόντων τῶν ἀδικημάτων ὁλκῇ τινι βεβαίῳ νικώσῃ τὴν ἐκ φύσεως ἐνεδρυμένην πάγιον εὔνοιαν. Corruptum est βεβαίῳ. Legerim βιαίῳ, νικώσῃ, vel βιαίῳ καὶ νικ... ἐνιδρυμένην... Alias sunt permutata nomina βίαιος et βέβαιος: cf. Walz. Rhett. t. I, p. 165, n. 50.

Καὶ τοῖς μὲν γράμμασι παρεμυθήσω τὸν πόθον, ὃν ἡ τῆς σῆς ὄψεως καὶ ὁμιλίας μνήμη, τῇ ψυχῇ συνεχῶς συνιζάνουσα, αὔξει (1) μὲν καθ' ἑκάστην ἡμέραν, θεραπεύει δὲ πως, τυχοῦσα συμβόλων γοῦν τινων αὐτῆς, καὶ ταῦτα τοιούτων· τοῖς δὲ γλυκάσμασιν (οὐ γὰρ φροντίζω (2) νῦν τῶν Ἑλλήνων) καὶ πολλὰς ἡμᾶς ἡμέρας παραμυθήσῃ, ὀλίγα μὲν ἔχοντας, εἰ δὲ καὶ δυνάμεθα ἔχειν, τῇ λιτότητι μᾶλλον χαίρειν ἐθιζομένους· φίλου δὲ, μᾶλλον δὲ εὐεργέτου, πέμψαντος, ἀνέγκλητόν ἐστι χρῆσθαι. Κρέασι δὲ εἰ θρέψεις ἡμᾶς, καὶ ταῦτα τοῖς ἀπὸ θήρας, ἡδέως μὲν φαγούμεθα, ἀηδῶς δὲ ἀπαλλάξομεν· πάντα γὰρ τὰ τοιαῦτα, πλὴν περδίκων τῶν εὐχύμων (3) τε καὶ εὐκατεργάστων, ἐνοχλεῖ τῇ τοῦ στομάχου δυσκρασίᾳ τε καὶ χαυνότητι.

Μὴ φρόντιζε τοίνυν περὶ κρεῶν· ἀλλὰ φίλει μόνον καθάπερ φιλεῖς, καὶ εὔχου παντάπασιν ἡμᾶς πραγμάτων ἀπηλλαγμένους (ἔτι γὰρ ὑπὸ λογισμῶν ἐνοχλούμεθα, πολλὰ τῶν οἴκοι καὶ τῶν ἰδίων ἔχοντες ἀδιόρθωτα), καὶ τὴν ποθουμένην ἀκραιφνῶς εὑρόντας σχολὴν, οὕτω καὶ Θεῷ καὶ φίλοις ἀρέσκειν. Εἰ δὲ καὶ παραμυθεῖσθαι βούλει (4), τοιαύταις δέ τισι δωρεαῖς

(1) Codex, αὔξειν, et mox, θεραπεύη.

(2) « Græcos nunc non curo »; excusans, opinor, nominis γλυκάσματα usum, quo purior et vetus sermo vix utebatur.

(3) Codex, εὐχήμων.—De perdicum carne facile concoquenda vide Symeonem Sethi. Inde paucula desumam huc facientia maxime: λυσιτελεῖ τε .... τοῖς τὴν δύναμιν ἀθενέσι, καὶ τοῖς λεπτῆς διαίτης δεομένοις, καὶ τοῖς ὑγροῖς τὸν στόμαχον.

(4) Codex, ἡ δὲ... βούλη. Mox ἐνοχλῆσθαι ἤση. Permutatio solennis vocalium ει et η. Philo De col. parent. § 11: παγκάλως δὲ κἀκεῖνο νενομοθετεῖσθαι δοκεῖ· imo νενομοθετῆσθαι.

ἁπλαῖς οὑτωσὶν, ὁπόταν ἐγγένηται, καὶ λιτοτέραις παραμυθῶ. Ὑφ' ὧν δὲ λογισμῶν φαμὲν ἐνοχλεῖσθαι εἴση καλῶς, ἡμῶν σοι φανερόντων αὐτούς, ὁπόταν ᾖ καὶ τούτου καιρὸς, καὶ ὅταν Θεῶ καὶ τῆς σῆς ἐνεργείας ἐπὶ τῇ τούτων ἀπαλλαγῇ δεησώμεθα.

Αἱ δὲ χρυσαῖ ὄντως ἐπιστολαὶ μένουσαι παρ' ἡμῖν ἄλλην μετὰ σχολῆς ἀποτέξονται, οὐκ ἔτι κατὰ τὰς πρώτας, ἀλλὰ μείζω τε καὶ βελτίω. Μὴ γὰρ ἔλπιζε νικήσειν ἡμᾶς τῷ πλήθει τῶν ἐπιστολῶν· ἀλλ', ὥσπερ αὐτὸς ἐμηχανήσω τὸ πλῆθος, τρεῖς στέμφας ἀντὶ μιᾶς, οὕτως ἐγὼ τὸ μέγεθος ἀντεπινοήσω, ὃ παῦσαι βουλόμενος, ἀλλὰ μεγίστην χαρτουμένους ἡδονὴν ἐκ τῶν τοιούτων ἀγώνων, ἐπεὶ τὴν κατὰ πρόσωπον ὁμιλίαν, ἣν ἁπάντων περετίμων, οὐκ ἔχω.

Ὑγίαινε καὶ εὐτύχει πανοικὶ, ἀρχόντων ἄριστε.

ια'.

Ὁ αὐτὸς μεσάζων καὶ γαμβρὸς τοῦ βασιλέως, ὁ μέγας δοὺξ, τῷ ὁσιοτάτῳ ἐν μοναχοῖς, σοφωτάτῳ λογιωτάτῳ ἁγίῳ διδασκάλῳ κυρῷ Γενναδίῳ, τῷ ποτὲ Σχολαρίῳ.

Ἤθελον γράψαι σοι καὶ περὶ τοῦ (περὶ τῶν κοινῶν γάρ μοι ἡ σπουδή), ἵνα συμβούλῳ σοι χρήσωμαι, ὅπως καὶ αὐτὸς δώσῃς τὴν ἀπὸ τοῦ λόγου βοήθειαν· καταβαλοίμην (1) γὰρ χρήματα, καὶ τῶν διακοσίων χρυσίνων ἐπέκεινα. Νύττει δέ μου τὴν καρδίαν ἡ ἐπιστολιμαία σου γραφὴ, λυπουμένου σε ὁρῶντος, εἰ καὶ οὐ δι' αὐτὸν σὲ, ἀλλὰ διὰ τὸ κοινόν. Τοῦτο γὰρ καὶ

(1) Codex, καταβαλοίμην.

ἐμὲ λυπεῖ, τὸ κακῶς πάσχειν τὴν πατρίδα διὰ τὸ κακῶς κυβερνᾶσθαι· ὅμως δ' ἀνέχου. Τὸν γὰρ ἄριστον κυβερνήτην αἱ μεγάλαι τρικυμίαι στεφανοῦσιν, ὅταν ἄνω γίνεται (1) τῶν κυμάτων (2). Εἰς ταῦτα δὲ κἀγὼ εἰ ῥαΐσω τῆς ὀδύνης, καὶ δυνατά μοι καὶ εἰκότα συνεργήσω, καί σε παρακαλέσω παραθέσθαι μὲν τὴν λύπην, ἰδεῖν δὲ πρὸς τὸ σκάφος κλυδωνιζόμενον (3). Τὰ πλείω δὲ λέξομεν, ὅταν ἐπιδημήσωμεν δι' εὐχῶν σου αὐτόθι. Ἐγὼ δὲ ὃν εἶχον σκοπὸν, πάλιν ἔχομαι τούτου. Φάσκοντος γὰρ τοῦ σοφοῦ (4), « φίλῳ μηδὲν ἄγνωστον », διὰ τοῦτο καὶ τὰ νῦν καὶ κρείττονα διὰ βουλῆς τῆς σῆς ἐθέλω κυρῶσθαι. Τῷ κρατοῦντι γὰρ μόνῳ ἐχρη-

(1) Quamvis supra, p. 129, legerimus non a solœcismis sibi semper Magnum Ducem cavisse, vix opinor ab ipso γίνεται fuisse scriptum, qui mox dicet ὅταν ἐπιδημήσωμεν. Quidquid id sit, amoveatur omnino solœcismus id genus a Philone De colend. parent. § 17 : κἂν μὴ ἐπενέγκῃ μέντοι χεῖρας, κατηγορεῖ δ' οὓς χρέος ἀναγκαῖον εὐφημεῖν.... θνησκέτω· imo κατηγορῇ. Idem § 20 : κἂν διαφύγοι τὰς ἀπ' ἀνθρώπου τιμωρίας· imo διαφύγῃ. Philes De anim. 30, v. 70, κἂν ὑλακήσωσι θῆλοι, et sic codd. tres : malim θήλῃ. Pollux IV, 111 : ὅταν δὲ ὁ ποιητὴς πρὸς τὸ θέατρον βούληται λέγειν, ὁ χορὸς παρελθὼν λέγει ταῦτα. Sumto βούλεται e variantibus, reponam λέγῃ.

(2) Corn. Nepos Attic. 10 : « gubernator præcipua laude fer» tur, qui navem ex hieme ma» rique scopuloso servat » : ubi Loccen. Sid. Apollinaris VIII, 10: « medicus in desperatione, gu» bernator in tempestate cogno» scitur » : ubi Savar.

(3) Metaphora usitatissima σκάφος de re publica dicitur, quam ne verbulo quidem tetigissem, ni ea usus fuisset Ephræmius Chronicorum loco corrupto, v. 3432 : Ὡς ἄγριοι γὰρ κακίαι πνευκότες Ἄνδρες στρατηγοὶ βασιλειῶν τες τότε Ὁλκάδα κράτους κατέδυσαν εἰς βάθος. Pro κακίαι, quod latine versum est « belluæ », rescribendum omnino καικίαι, cæciæ scilicet venti; et, pro βασιλειῶν τες, βασιλειῶντες, quod legisse videtur interpres latine reddens, « duces cupidi tyrannidis. »

(4) Callimachus scilicet, cujus vide Fragm. 422. Conf. not. ad Eunap. p. 274. Sic et sentiebat Diogenes, qui, Epistola ad Cratetem, τὸ σοφὸν τοῦτο ἐπέσταλκα, ait, οὐδὲν βουλόμενος τῶν καλῶν δίχα σου ἐπίστασθαι.

σάμην εἰς ταῦτα, ὡς δι' ἐκείνου κινηθεὶς εἰς ταύτην τὴν ὕλην, ἢ νῦν τῇ σῇ ἁγιότητι. Τάδε εἰσὶ τὰ πρὸς τοὺς ἄρχοντας τῶν Τούρκων γραφέντα μοι γεάμματα· εἰ δέ τι καὶ βαθύτερον ἔχουσιν, ἐν τῷ ἑνὶ εὑρήσεις ἀμυδρῶς πως (1)· τὰ πλείω δὲ εἰλέχθησαν ἐκ σλόματος τῷ κομίζοντι, ἅτινα καὶ ἀναγγελοῦμεν τῇ σῇ αἰδεσιμότητι, ἐπειδὰν ὁ Θεὸς θέλῃ. Κομίζει δὲ ταῦτα ὁ καλὸς Θεόδωρος (2). Καὶ εἴ τι πλέον καλὸν καὶ ὠφέλιμον φανῇ προσλεθῆναι εἰς ταῦτα, τῷ κομίζοντί σοι ἀνάθες. Μὴ σκώπει δὲ βαρβαρότητας· οἶδας γὰρ ὅτι οὐδ' ὁπόσα μέρη τοῦ λόγου μεμάθηκα.

Μετάνοιαν (3), καὶ εὔχου ἡμῖν.

ιϚ'.

Τῷ μεγαλοπρεπεσλάτῳ ἀξιεπαινετωτάτῳ μοναδικῷ τοῦ γένους ἐρείσματι, τῷ μεγάλῳ δουκὶ, εὐτυχῶς τῷ κυρίῳ μου, ὁ ἐλάχισλος Γεννάδιος ψυχῆς σωτηρίαν σὺν εὐζωΐᾳ παντοίᾳ.

Τί πρῶτον, τί δ' ὕσλατον, τί δὲ μεταξὺ τῶν ἐν τοῖς γράμμασι τῆς σῆς ἐνδοξότητος καλῶν καταλέξαιμι (4); ὥσλε τοῖς μὲν ὑπ' εὐνοίας εἰρημένοις ἀπο-

(1) Ista sunt adeo brevia et scripta ἀμυδρῶς πως, ut credide-rim nonnihil periisse.

(2) Theodorus forsan Cary-stenus, cui inscripta est epistola pag. 117.

(3) Subaudiendum βάλλω, ποιῶ, aliud, et vertendum, « salutatio-» nem ac reverentiam impertior.» Loquutio est ex stylo ecclesiasti-co ac liturgico desumta. Eadem formula sequens clauditur epi-stola. Symeon quidam in Crusii Turcogræc. p. 220 : ἀποτίμω μέν σοι . . . τὴν ὀφειλομένην μετάνοιαν. Et p. 221 : ἡ κυρὰ Μακαρία ἡ Μπο-ζίκινα σὺ ποιεῖ μετάνοιαν.

(4) Memineral Odyss. I, 14 : Τί πρῶτόν τοι ἔπειτα, τί δ' ὑσλάτον καταλέξω;

δοῦναι τὴν χάριν, τὸ δ' ἐξ ὑπογυίου τοιαῦθ' ὑπαγορευθῆναί σοι θαυμάσαι πρεπόντως, ὑπὲρ ὧν δὲ κάλλιστα συμβουλεύεις, τούτοις εἰ μὴ πεισθείημεν, αἰτῆσαι συγγνώμην, ὡς οὐκ αὐθαδείᾳ μᾶλλον ἡ λογισμοῖς βιαίοις ἀγόμενοι. Ὁπότε δὲ καὶ ἀναπέμπειν θᾶττον ἐχρῆν τὰς καλλίστας ἐκείνας ὑποθέσεις τῶν ἐν τῇ πρεσβείᾳ γραμμάτων, οὐδὲ πειρᾶσθαι οἷόν τ' ἦν (1) ἡμῖν τοῦ ἀγῶνος. Οὐκοῦν ἐκεῖνα μὲν εἰσαῦθις ἡμῖν ὑμνηθήσεται· καὶ μένουσα παρ' ἡμῖν ἡ καλλίστη καὶ τιμιωτάτη γραφὴ σὺν τόκῳ τὴν ἀντιγραφὴν καθ' ἑκάστην εἰσπράξεται, καὶ οὐκ ἐάσει λοιπὸν ἠρεμεῖν, ἕως ἀπολύσαιμέν σοι τὸ χρέος. Τὰ δὲ πρὸς τοὺς ἄρχοντας γεγραμμένα ἐκείνους, οὓς ἡ κακὴ τῶν Ἑλλήνων τύχη φοβεροὺς ἡμῖν οὕτω καὶ χρειώδεις ἐποίησεν, ὑπερήσθην ἰδὼν, καὶ τήν τε φύσιν ἐθαύμασα τοῦ φιλτάτου μοι τήν τε προαίρεσιν, καὶ θαύματος ἐνόμισα κρείττω. Προσθεῖναι (2) δ' αὐτοῖς μόλις ἄν τις ἴσχυσεν ἐκ θειοτέρας ἥκων σχολῆς καὶ τῆς μετὰ τοῦ κρείττονος ὁμιλίας· τὸ δ' ἡμέτερον, εἰλικρινῶς ἀνθρώπινον ὂν καὶ τῆς κοσμικῆς ταύτης διατριβῆς μέχρι καὶ χθὲς σχεδὸν, τοσοῦτον ἀπέχει τῇ σῇ συνέσει καὶ πείρᾳ παραβληθῆναι, ὅσον ἡμεῖς δοκοῦμεν εἶναι δεινότεροι τῶν μηδαμῶς ἐν τούτοις συνειθισμένων (3)· ὥστε καὶ

(1) Codex, οἷον τήν. Addito sic apostrophi signo Sophoclem juvit Hermannus Antigona extrema: χρὴ δὲ τά γ' εἰς θεοὺς μηδέν' ἀσεπτεῖν. Sic, pro vulgata μηδὲν, scripsit μηδέν', quod nitide exhibet codex 2886. Alio modo τὴν corruptum videtur in scholiis ad Ranas 1157: τὰ πατρῷα κεκίνηκε τὴν ἀμφιβολίαν. Malim, κεκίνηκέ τιν' ἀμφιβολίαν.

(2) Codex, προσθῆναι.

(3) Codex, συνηθισμένων: mox παραλελῆφθαι. Basilius Macedo Præc. c. 39: εἴ γε οὖν ἐκείνῳ πάντων μέλει ὡς θεῷ, οὕτω χρὴ καὶ σὲ μηδὲν παροράν ὡς ὑπὸ θεῷ βασιλῖ. Male βασιλεῖ in codice

μηδὲ θέλοντας αὐτοὶ βλασφημησόμεθα, ἀλλὰ τί βελτίους αὐτοὶ τὰ πρὸς Θεὸν ἐσόμεθα σκοπουμένους ἀεὶ, μόλις τοῦτο δυνησομένους, τῆς κατὰ Χριστὸν πτωχείας, αὐτοῦ χείρα διδόντος, ἀπόνασθαι.

Μετάνοιαν (1), ἐκλαμπρότατε.

ιγ'.

Τῷ αὐτῷ μεγάλῳ δουκὶ ὁ αὐτός.

Ἣν μὲν ἐπηγγειλάμην σοι πέμψειν ἐπιστολὴν, καὶ μὴ ἀπαιτοῦντι πεμφθήσεται (καὶ ἡσθήσῃ πάνυ λαβών), τὸ θεῖον ὕλην πεποιημένη, οὗ μάλιστα καὶ περὶ οὗ τὸν πλεῖστον ποιουμένῳ σοι λόγον πολλὴ μὲν ἐπὶ τῆς γῆς εὐφημία, πλείων δὲ ἐν τοῖς οὐρανοῖς μισθὸς, συναθροίζεται. Ἀλλὰ νῦν ταῖς καλλίσταις ἐπιστολαῖς ἠρέθισας ἡμᾶς ἀντιγράφειν, οὐκ ἀνασχομένους σιωπῇ παρελθεῖν τὴν ἐν ἐκείναις διαπρέπουσαν χάριν καὶ σύνεσιν. Ὁ μὲν γὰρ Ἡσίοδος (2) σοφόν φησιν εἶναι τὸν πολλὰ εἰδότα φυᾷ· σὺ δέ γε τῇ μὲν φύσει νικᾷς τοὺς καὶ τέχνῃ μετὰ ταύτης σεμνυνομένους, ταύτην δὲ τῇ παιδεύσει λαμπροτέραν ἀπέφηνας, ὥστε καὶ λέγων ἀεὶ περὶ τῶν ἑκάστοτε συμπιπτόντων, κἄν ποτε δεήσειε γράφων, ἐν μὲν λογίων χοροῖς ὑπ' ὀλίγων ἂν παρευδοκιμηθείης, οἳ πολὺ πλεῖον ἡττηθεῖεν ἂν ἐν τῇ τῶν νοημάτων δεινότητι, ἢ ὅσον δοκοῦσιν ἐν τῷ τῆς φράσεως ἀκριβεστέρῳ προέχειν. Εἰ δὲ ῥητορείας (3)

(1) Vide p. 140, n. 3.

(2) Non Hesiodus, sed Pindarus, Ol. II, 154: σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ.

(3) Codex, ῥητορίας. Contrario mendo p. 73, 7, codex exhibuit συμβουλείας. Aristoteles Epist. I, edit. Ald. et Genev.: τὸ δὲ ὁμολογουμένης ἀβουλείας τεκμήριον. Codex 3054, ἀβουλίας.

ἀληθινῆς, ἢ τὰς πολιτείας συνίστησιν, ἅμιλλα προὔκειτο, κἂν ἀπῆλθόν σου κατόπιν πάντες εὐθὺς, ὅσοις γε (1) τοῦ χρήματος μέτεστιν.

Ἐγὼ δὲ οὐδὲν τοῦτο θαυμάζω, καί τοι τοσοῦτον ὄν, ἀλλ', ὅτι τοσαῦτα πράττειν ἔχων, ἐπεὶ καὶ τῷ μέρει τῶν λόγων ἐβουλήθης νεῖμαι σαυτὸν, οὔτ' ἐν ταῖς πράξεσιν ἀργότερος ὤφθης διὰ τοὺς λόγους, οὔτε πρὸς τοὺς λόγους ἐκ τοῦ πλεῖστα πράττειν ἀμβλύτερος, ὥστ' ἀφυεστέρους ἡμᾶς τοὺς παρὰ πάντα τὸν βίον λόγοις ἐνησχολημένους ἐλέγχεις. Οὐ γὰρ τῷ πλέον εἰδέναι φιλοτιμησόμεθα μᾶλλον, ἢ τὸ τοὺς ἀπὸ τῶν πραγμάτων ὑμᾶς ἐγγὺς ἡμῶν γίνεσθαι καὶ πάνυ νομιοῦμεν ἧττλαν ἡμῶν· δι' ὃ κἂν δεινῶς ἐβασκήναμεν, εἴ γε ἀπὸ τῆς ἴσης ἐκρινόμεθα τύχης.

Νῦν δὲ τὴν ὑμῶν ἀρετὴν εὐδαιμονίαν οἰκείαν κρίνομεν εἶναι, ὥστε καὶ σοφωτέρους ἡμῶν γενέσθαι καθάπαξ ηὐξάμεθ' ἄν, εἰ οἷόν τε ἦν. Εἴ τε γὰρ δέοι τοὺς περὶ λόγους ἔχοντας ἐλπίζειν τι παρ' ὑμῶν ἀγαθὸν, πότε μᾶλλον αὐτοῖς χαριεῖσθε, ἢ τοῦ καλλίστου τῶν ἐπιτηδευμάτων ἐκ τῶν ἴσων αὐτοῖς συμμετέχοντες, ἔστι δ' οὗ καὶ νικῶντες· εἴ τε μέλλοιμεν ὑπὸ λόγου κυβερνώμενοι σώζεσθαι, τοὺς ἐπὶ τῶν πραγμάτων ὑμᾶς εὐξαίμεθ' ἂν ὑπερβάλλειν σοφίᾳ τοὺς ἀρχομένους, ὡς ἂν καὶ σώζειν μᾶλλον εἰδείητε. Εἰ δὲ σὺ μόνος

(1) Codex, ὅσοις τε. Epistola Socrat. 17: ὁ πρὸς σέ γε καὶ τὸν Κεῖον Πρόδικον καὶ Πρωταγόραν τὸν Ἀβδηρίτην διαμαχόμενος. Codex 3054, πρὸς σέ τε: quod malim. Polybius Fragm. p. 434: εἰ γὰρ λάβοι τις μὴ χρόνον ἄπειρον, μηδὲ γενεὰς πολλὰς, ἀλλὰ πεντήκοντα μόνον ἔτη ταυτὶ τὰ πρὸ ἡμῶν, γνοίητ' ἂν ὡς τὸ τῆς τύχης χαλεπὸν ἐνταῦθα. Locus recte procedet, rescripto γνοίη γ' ἄν. In Sophoclis Antig. 1263, codices 2712, 2884, habent ἔχων τε, non ἔχων γε.

μεμάθηκα. Ταύτόν τι γῦν ὁρῶ κἀπ' ἐμοὶ γινόμενον, οἷον ταῖς παρ' ἡμῖν γυναιξὶ πολλάκις ἐξ ἀνάγκης ἐγγίνεται. Ἀποβῦσαι γὰρ ἐνιότε μετάξης καὶ τοῦ Αἰγυπτίου λίνου (1), ἐρίῳ τῷ τυχόντι χρῶνται, καὶ τῷ κοινῷ λίνῳ τουτωΐ, ὅπερ ἡ πιότης τῆς καθ' ἡμᾶς λαχούσης γῆς δίδωσιν. Εἰ γὰρ ἐξ ἄλλου τινός ποθεν ἐδανεισάμεθα, ἴσως ἦν ἂν τὸ ὕφασμα λεπτὸν καὶ Αἰγύπτιον.

ιδ'.

Ὁ σοφιστὴς Λουκιανὸς, τὸ λόγῳ θέλων δεῖξαι τὴν δύναμιν, ἐξέδοτο καὶ μυίας ἐγκώμιον (2). Τοῦτο καὶ ἐπὶ σοὶ ἴδοι τις ἄν, ἐπαινοῦντι τὸ παρ' ἡμῶν περὶ μικρῦ σοι σταλὲν βραχύ τι γραμμάτιον. Πρὸς γὰρ τοὺς γράφειν εἰδότας παραβαλλόμενον, μυῖαι κ᾽ κώνωπες ἀντικρυς ἐσμὲν πρὸς ἐλέφαντας. Παυσόμεθα τοίνυν τοῦ λοιποῦ, ἵνα μή σοι κόπους παρέχωμεν, μὴ κ᾽ παρ' ἡμῖν γένηται ὅπερ ὁ Ἀσὰν (3) ἐκεῖνος παρὰ τῶν ἐπαινούντων αὐτὸν, ἐξ ἀμαθίας, ἢ ἀνοίας μᾶλλον, ὑπενόει πλανώμενος, μὴ εἰδὼς τῶν ῥητόρων ἢ τῶν Φιλοσόφων τὴν κεκρυμμένην ταῖς ἐπιστολαῖς ἔννοιαν· ἐκεῖνοι γὰρ ἑαυτοὺς μᾶλλον ἢ τὸν γράφοντα οἷς ἐπῄνουν ἐπεδείκνυον· αὐτὸς δὲ, νομίζων εἶναι τοιοῦτος, τοῖς Φιλοσόφοις ἑαυτὸν ἐγκατεμίγνυεν. Ἀρκούμεθα τοιγαροῦν ἐφ' ὅσον σοι τοῖς προτέροις γεγράμεν αἴτιοι γράμμασιν, ἐν οἷς σαφῶς ἐπεδείξω οἷος εἶ πρὸς τὸ

(1) De μετάξη pag. 3. Linum Ægyptium est gossypium.

(2) Quod opusculum supercst adhuc.

(3) Ex multis, quorum est servata memoria, Asanibus, quis nunc significetur ego non habeo dicere.

φίλους καὶ οἷα τὰ ἐκ τῆς σῆς σοφίας αὐγάσματα (1), διὰ θαύματος ἔχοντες ἀεὶ τὴν σὴν μεγαλόνοιαν.

θ'.

Καὶ αὕτη πρὸς τὸν αὐτὸν ἐν ταὐτῷ καὶ ἐπὶ ταῖς τεισὶν ἔτι.

Ἦκει μὲν ἔναγχος ἡ ἐπιστολὴ χαρίεσσά τε ἅμα καὶ θαυμαστή. Δημοσθένους ἂν ἔφη τις εἶναι ταύτην ἢ Πλάτωνος· οἱ δὲ μεμυημένοι (2) τὰ σὰ τοῦ καλοῦ κἀγαθοῦ Σχολαρίου φήσουσιν εἶναι, τοῦ καταπεπωκότος μὲν τὸ τοῦ Ἑρμοῦ νέκταρ, δεξαμένου δὲ καθάπαξ τὴν τῶν Μουσῶν χάριν. Ἀντεπιστέλλειν τοίνυν ἀξίως σοι παραπλησίου τινὸς ἔδει τῶν καλά σε· ἀλλ' οὐκ ἔστιν οὐδείς. Οὐκοῦν, καλὰ δύναμιν ἡμετέραν, ἡμεῖς αὐτοὶ τὸ τῆς ἀμοιβῆς χρέος ἐκτίννυμεν, καί σοι τρεῖς ἀντὶ μιᾶς ἀντεπιστέλλοντες (3), εἴ γε δὴ καὶ ἐπιστολὰς αὐτὰς προσειπεῖν δίκαιον· ἐνδεικνύμεναι μὲν πάντως τὸ τῆς ἡμετέρας ἐνδεὲς δυνάμεως, ἀφοσιούμεναι δ'

(1) Conf. p. 126, 17.

(2) Cod. *οἱδαμεμυημένοι*. Fors. *οἱ δὲ ἀκριβῶς μεμ.*, *οἱ δὲ εὖ μ.*

(3) Codex, *ἀντεπιστέλλοντας*. Debuerat potius librarius, vel auctor, accusativo casu participia sequentia scribere, *ἐνδεικνυμένας*, *ἀφοσιουμένας*. In Philone De col. parent. § 12, pro *ἐνδιδόντες καὶ ἐπιχαλῶντες* prætulerim, quod in codice reperisse se fere meminit editor, *ἐνδιδόντας καὶ ἐπιχαλῶντας*, scilicet *πατέρας καὶ μητέρας*: sed sunt ejus loci non diligentissime editi aliæ difficultates. Tollendus manifestior solœcismus ex eodem libello § 4: *ἡ* (philosophia) *τὸν τοῦν εἰσωπισμένον θνητῷ σώματι μετέωρον αἴρουσα, παραπέμπουσι μέχρις οὐρανοῦ, καὶ τὰς ἐν αὐτῷ μακαρίας καὶ εὐδαίμονας φύσεις ἐνδείκνυται, ζῆλον ἅμα καὶ πόθον ἐνεργαζομένη τῆς ἀτρέπτου καὶ ἐναρμονίου τάξεως, ἣν οὐδέποτε λείπουσι πειθόμενοι τῷ ταξιάρχῳ*· imo *πειθόμεναι*, videlicet *φύσεις*.

ὅμως τὸν περὶ σὲ πόθον. Καὶ ἔστιν ἰδεῖν ἐνταῦθα τοῦτο (1) συμβαῖνόν μοι, ὅπερ καὶ ἐπὶ τρυτάνης ἴδοι τις ἄν. Ἂν γάρ τις, προκαταλαβὼν τὴν ἑτέραν τῆς πλάστιγγος (2) ἐπὶ σταθμῷ, εἰσάξῃ τι ἐν αὐτῇ τῶν βαρυτέρων ἅμα καὶ τιμιωτέρων (χρυσὸς δ' ἂν εἴη ταῦτα πάντως ὁ καθαρώτατος, καὶ λίθων καὶ μαργάρων οἱ διαυγέστεροι), τί ποτ' ἂν ἄλλο τῶν καθ' ἡμᾶς θείη τις ἐν τῇ ἑτέρᾳ, ἀντίσταθμον τοῦ βάρους δηλονότι καὶ τοῦ τιμήματος, ἐκ τῶν σῶν μαργαρειδῶν καὶ χρυσέων λόγων προκατειλημμένης τῆς πλάστιγγος; Ἴσμεν τοιγαροῦν καὶ αὐτοὶ ὡς, εἰ καὶ πολλάκις τρὶς ἀποστείλαιμεν, κατ' οὐδέν τι τὴν πλάστιγγα καθελκύσαιμεν. Πρόσθες τοίνυν, εἰ βούλει, καὶ τὴν παροῦσαν· εἰ γὰρ καὶ πρὸς τὸ βάρος οὐδὲν ἀνύσει, ἀλλά γε ὄγκον τινὰ δή που καὶ ἤδε προσθήσει.

ι'.

Σχολάριος τῷ μεσάζοντι πρὸς ταῦτα.

Ἀγιέ μοι αὐθέντα, παντοίως ἡμᾶς κατεγλύκανας.

(1) Est in codice lacunula, in quam τοῦτο immisi. Lacuna etiam laborare videtur Philo De col. parent. § 8: τοιούτων οὖν ὑπαρχόντων, ἄξιοι μὲν οὐδὲν δρῶσιν οἱ τιμῶντες γονεῖς;... ψόγου δὲ καὶ κατηγορίας καὶ τῆς ἀνωτάτης δίκης (οὐκ ἄξιοι) οἱ μήθ' ὡς πρεσβυτέρους αἰδούμενοι, μήθ'...; Verba οὐκ ἄξιοι sic uncis inclusit editor, addita scilicet e conjectura, quum ex sententia ea requiri putaret. Equidem esse lacunam puto, sed non eo loco. Scripserim, idque absque interrogatione: τοι..., ἄξιοι μὲν οὐδὲν ἐπαίνου δρῶσιν... δίκης οἱ μήθ'...

(2) Exspectabam τὴν ἑτέραν τῶν πλαστίγγων. Philo usus est lancis metaphora loco non omnino sano De col. parent. § 6: συμφορῆσαι γὰρ οὐκ εἰκὸς ἐπ' ἀναιρέσεως τοῦ παιδὸς ἑκάτερον τῶν γονέων, μὴ βαρυνόντων καὶ καθελκόντων τῶν ἀδικημάτων ὁλκῇ τινι βεβαίῳ νικώσῃ τὴν ἐκ φύσεως ἐνιδρυμένην πάγιον εὔνοιαν. Corruptum est βεβαίῳ. Legerim βιαίῳ, νικώσῃ, vel βιαίῳ καὶ νικ... ἐνιδρυμένην... Alias sunt permutata nomina βίαιος et βέβαιος: cf. Walz. Rhett. t. 1, p. 165, n. 50.

Καὶ τοῖς μὲν γεφύμμασι παρεμυθήσω τὸν πόθον, ὃν ἡ τῆς σῆς ὄψεως καὶ ὁμιλίας μνήμη, τῇ ψυχῇ συνεχῶς συνιζάνουσα, αὔξει (1) μὲν καθ' ἑκάστην ἡμέραν, θεραπεύει δὲ πως, τυχοῦσα συμβόλων γοῦν τινων αὐτῆς, καὶ ταῦτα τοιούτων· τοῖς δὲ γλυκάσμασιν (οὐ γὰρ φρυντίζω (2) νῦν τῶν Ἑλλήνων) καὶ πολλὰς ἡμᾶς ἡμέρας παραμυθήσῃ, ὀλίγα μὲν ἔχοντας, εἰ δὲ καὶ δυνάμεθα ἔχειν, τῇ λιτότητι μᾶλλον χαίρειν ἐθιζομένους· φίλου δὲ, μᾶλλον δὲ εὐεργέτου, πέμψαντος, ἀπέγκλητόν ἐστι χρῆσθαι. Κρέασι δὲ εἰ θρέψεις ἡμᾶς, καὶ ταῦτα τοῖς ἀπὸ θήρας, ἡδέως μὲν φαγούμεθα, ἀνδῶς δὲ ἀπαλλάξομεν· πάνια γὰρ τὰ τοιαῦτα, πλὴν περδίκων τῶν εὐχύμων (3) τε καὶ εὐκατεργάστων, ἐνοχλεῖ τῇ τῦ στομάχυ δυσκρασίᾳ τε καὶ χαυνότητι.

Μὴ φρυντίζε τοίνυν περὶ χρεῶν· ἀλλὰ φίλει μόνον καθάπερ φιλεῖς, καὶ εὔχυ παντάπασιν ἡμᾶς πραγμάτων ἀπηλλαγμένους (ἔτι γὰρ ὑπὸ λογισμῶν ἐνοχλούμεθα, πολλὰ τῶν οἴκοι καὶ τῶν ἰδίων ἔχοντες ἀδιόρθωτα), καὶ τὴν ποθυμένην ἀκραιφνῶς εὐρύνιας σχολὴν, οὕτω καὶ Θεῷ καὶ φίλοις ἀρέσκειν. Εἰ δὲ καὶ παραμυθεῖσθαι βούλει (4), τοιαύταις δέ τισι δωρεαῖς

(1) Codex, αὖξειν, et mox, θεραπύη.

(2) « Græcos nunc non curo »; excusans, opinor, nominis γλυκάσματα usum, quo purior et vetus sermo vix utebatur.

(3) Codex, εὐχύμων.—De perdicum carne facile concoquenda vide Symeonem Sethi. Inde paucula desumam huc facientia maxime : λυσιτελεῖ τε . . . τοῖς τὴν δύναμιν ἀθενέσι, καὶ τοῖς λεπτῆς διαίτης δεομένοις, ἢ τοῖς ὑγροῖς τὸν στόμαχον.

(4) Codex, ἢ δὲ . . . βούλη. Mox ἐνοχλῆσθαι ἥσῃ. Permutatio solennis vocalium ει et η. Philo De col. parent. § 11 : παγκάλως δὲ καιρίῳ νενομοθετῆσθαι δοκεῖ· imo νενομοθετῆσθαι.

ἁπλαῖς οὑτωσὶν, ὁπόταν ἐγγένηται, καὶ λιτοτέραις παραμυθῇ. Ὑφ' ὧν δὲ λογισμῶν φαμὲν ἐνοχλεῖσθαι εἰσὶ καλῶς, ἡμῶν σοι φανερόντων αὐτοὺς, ὁπόταν ᾖ καὶ τούτου καιρὸς, καὶ ὅταν Θεῷ καὶ τῆς σῆς ἐνεργείας ἐπὶ τῇ τούτων ἀπαλλαγῇ δεησώμεθα.

Αἱ δὲ χρυσαῖ ὄντως ἐπιστολαὶ μένουσαι παρ' ἡμῖν ἄλλην μετὰ σχολῆς ἀποτέξονται, οὐκ ἔτι κατὰ τὰς πρώτας, ἀλλὰ μείζω τε καὶ βελτίω. Μὴ γὰρ ἔλπιζε νικήσειν ἡμᾶς τῷ πλήθει τῶν ἐπιστολῶν· ἀλλ', ὥσπερ αὐτὸς ἐμηχανήσω τὸ πλῆθος, τρεῖς στέμφας ἀντὶ μιᾶς, οὕτως ἐγὼ τὸ μέγεθος ἀντεπινοήσω, ὃ παῦσαι βουλόμενος, ἀλλὰ μεγίστην καρτούμενος ἡδονὴν ἐκ τῶν τοιούτων ἀγώνων, ἐπεὶ τὴν κατὰ πρόσωπον ὁμιλίαν, ἣν ἁπάντων πρετίμων, οὐκ ἔχω.

Ὑγίαινε καὶ εὐτύχει πανοικὶ, ἀρχόντων ἄριστε.

ια'.

Ὁ αὐτὸς μεσάζων καὶ γαμβρὸς τοῦ βασιλέως, ὁ μέγας δοὺξ, τῷ ὁσιοτάτῳ ἐν μοναχοῖς, σοφωτάτῳ λογιωτάτῳ ἁγίῳ διδασκάλῳ κυρῷ Γενναδίῳ, τῷ ποτὲ Σχολαρίῳ.

Ἤθελον γράψαι σοι καὶ περὶ τοῦ (περὶ τῶν κοινῶν γάρ μοι ἡ σπουδή), ἵνα συμβούλῳ σοι χρήσωμαι, ὅπως καὶ αὐτὸς δώσῃς τὴν ἀπὸ τοῦ λόγου βοήθειαν· καταβαλοίμην (1) γὰρ χρήματα, καὶ τῶν διακοσίων χρυσίνων ἐπέκεινα. Νύττει δέ μου τὴν καρδίαν ἡ ἐπιστολιμαία σου γραφὴ, λυπουμένου σε ὁρῶντος, εἰ καὶ οὐ δι' αὐτὸν σὲ, ἀλλὰ διὰ τὸ κοινόν. Τοῦτο γὰρ καὶ

(1) Codex, κατιβαλοίμην.

ἐμὲ λυπεῖ, τὸ κακῶς πάσχειν τὴν πατρίδα διὰ τὸ κακῶς κυβερνᾶσθαι· ὅμως δ' ἀνέχου. Τὸν γὰρ ἄριστον κυβερνήτην αἱ μεγάλαι τρικυμίαι στεφανοῦσιν, ὅταν ἄνω γίνεται (1) τῶν κυμάτων (2). Εἰς ταῦτα δὲ κἀγὼ εἰ ῥαΐσω τῆς ὀδύνης, καὶ δυνατά μοι καὶ εἰκότα συνεργήσω, καί σε παρακαλέσω παραθέσθαι μὲν τὴν λύπην, ἰδεῖν δὲ πρὸς τὸ σκάφος κλυδωνιζόμενον (3). Τὰ πλείω δὲ λέξομεν, ὅταν ἐπιδημήσωμεν δι' εὐχῶν σου αὐτόθι. Ἐγὼ δὲ ὃν εἶχον σκοπὸν, πάλιν ἔχομαι τούτου. Φάσκοντος γὰρ τοῦ σοφοῦ (4), « φίλῳ μηδὲν ἄγνωστον », διὰ τοῦτο καὶ τὰ νῦν καὶ κρείττονα διὰ βουλῆς τῆς σῆς ἐθέλω κυροῦσθαι. Τῷ κρατοῦντι γὰρ μόνῳ ἐχρη-

(1) Quamvis supra, p. 129, legerimus non a solœcismis sibi semper Magnum Ducem cavisse, vix opinor ab ipso γίνεται fuisse scriptum, qui mox dicet ὅταν ἐπιδημήσωμεν. Quidquid id sit, amoveatur omnino solœcismus id genus a Philone De colend. parent. § 17 : κἂν μὴ ἐπενέγκῃ μέντοι χεῖρας, κακηγορεῖ δ' οὓς χρέος ἀναγκαῖον εὐφημεῖν.... θνησκέτω· imo κακηγορῇ. Idem § 20 : κἂν διαφύγοι τὰς ἀπ' ἀνθρώπου τιμωρίας· imo διαφύγῃ. Philes De anim. 30, v. 70, κἂν ὑλακῆσαι θέλοι, et sic codd. tres : malim θέλῃ. Pollux IV, 111 : ὅταν δὲ ὁ ποιητὴς πρὸς τὸ θέατρον βούληται λέγειν, ὁ χορὸς παρελθὼν λέγει ταῦτα. Sumto βούλεται e variantibus, reponam λέγῃ.

(2) Corn. Nepos Attic. 10 : « gubernator præcipua laude fertur, qui navem ex hieme marique scopuloso servat » : ubi Loccen. Sid. Apollinaris VIII, 10 : « medicus in desperatione, gubernator in tempestate cognoscitur » : ubi Savar.

(3) Metaphora usitatissima σκάφος de re publica dicitur, quam ne verbulo quidem tetigissem, ni ea usus fuisset Ephræmius Chronicorum loco corrupto, v. 3432 : Ὡς ἄγριοι γὰρ κακίαι πεπνευκότες Ἄνδρες στρατηγοὶ βασιλειῶν τις τότε Ὀλκάδα κράτους κατέδυσαν εἰς βάθος. Pro κακίαι, quod latine versum est « belluæ », rescribendum omnino καικίαι, *cæciæ* scilicet venti; et, pro βασιλειῶν τις, βασιλειῶντες, quod legisse videtur interpres latine reddens, « duces cupidi tyrannidis. »

(4) Callimachus scilicet, cujus vide Fragm. 422. Conf. not. ad Eunap. p. 274. Sic et sentiebat Diogenes, qui, Epistola ad Cratetem, τὸ σοφὸν τοῦτο ἐπέσταλκα, ait, οὐδὲν βουλόμενος τῶν καλῶν δίχα σου ἐπίστασθαι.

σάμην εἰς ταῦτα, ὡς δι' ἐκείνου κινηθεὶς εἰς ταύτην τὴν ὕλην, καὶ νῦν τῇ σῇ ἁγιότητι. Τάδε εἰσὶ τὰ πρὸς τοὺς ἄρχοντας τῶν Τούρκων γραφέντα μοι γεάμματα· εἰ δέ τι καὶ βαθύτερον ἔχουσιν, ἐν τῷ ἑνὶ εὑρήσεις ἀμυδρῶς πως (1)· τὰ πλείω δὲ εἰλέχθησαν ἐκ σλόματος τῷ κομίζοντι, ἅτινα καὶ ἀναγγελοῦμεν τῇ σῇ αἰδεσιμότητι, ἐπειδὰν ὁ Θεὸς θέλῃ. Κομίζει δὲ ταῦτα ὁ καλὸς Θεόδωρος (2). Καὶ εἴ τι πλέον καλὸν καὶ ὠφέλιμον φανῇ προσλεθῆναι εἰς ταῦτα, τῷ κομίζοντί σοι ἀνάθες. Μὴ σκόπει δὲ βαρβαρότητας· οἶδας γὰρ ὅτι οὐδ' ὁπόσα μέρη τοῦ λόγου μεμάθηκα.

Μετάνοιαν (3), καὶ εὔχου ἡμῖν.

ιϚ'.

Τῷ μεγαλοπρεπεσλάτῳ ἀξιεπαινετωτάτῳ μοναδικῷ τοῦ γένους ἐρείσματι, τῷ μεγάλῳ δουκὶ, εὐτυχῶς τῷ κυρίῳ μου, ὁ ἐλάχισλος Γεννάδιος ψυχῆς σωτηρίαν σὺν εὐζωΐᾳ παντοίᾳ.

Τί πρῶτον, τί δ' ὕσλατον, τί δὲ μεταξὺ τῶν ἐν τοῖς γράμμασι τῆς σῆς ἐνδοξότητος καλῶν καταλέξαιμι (4); ὥσλε τοῖς μὲν ὑπ' εὐνοίας εἰρημένοις ἀπο-

(1) Ista sunt adeo brevia et scripta ἀμυδρῶς πως, ut credide-rim nonnihil periisse.

(2) Theodorus forsan Cary-stenus, cui inscripta est epistola pag. 117.

(3) Subaudiendum βάλλω, ποιῶ, aliud, et vertendum, « salutatio-» nem ac reverentiam impertior.» Loquutio est ex stylo ecclesiasti-co ac liturgico desumta. Eadem formula sequens clauditur epi-stola. Symeon quidam in Crusii Turcogræc. p. 220 : ἀποτίμω μέν σοι . . . τὴν ὀφειλομένην μετάνοιαν. Et p. 221 : ἡ κυρὰ Μακαρία ἡ Μπο-ζίκενα σὺν ποιεῖ μετάνοιαν.

(4) Memincrat Odyss. I, 14 : Τί πρῶτόν τοι ἔπειτα, τί δ' ὑσλάτον καταλέξω ;

δοῦναι τὴν χάριν, τὸ δ' ἐξ ὑπογυίου τοιαῦθ' ὑπαγορευθῆναί σοι θαυμάσαι πρεπόντως, ὑπὲρ ὧν δὲ κάλλιστα συμβουλεύεις, τούτοις εἰ μὴ πεισθείημεν, αἰτῆσαι συγγνώμην, ὡς οὐκ αὐθαδείᾳ μᾶλλον ἡ λογισμοῖς βιαίοις ἀγόμενοι. Ὁπότε δὲ καὶ ἀναπέμπειν θᾶττον ἐχρῆν τὰς καλλίστας ἐκείνας ὑποθέσεις τῶν ἐν τῇ πρεσβείᾳ γραμμάτων, οὐδὲ πειρᾶσθαι οἷόν τ' ἦν (1) ἡμῖν τοῦ ἀγῶνος. Οὐκοῦν ἐκεῖνα μὲν εἰσαῦθις ἡμῖν ὑμνηθήσεται· καὶ μένουσα παρ' ἡμῖν ἡ καλλίστη καὶ τιμιωτάτη γραφὴ σὺν τόκῳ τὴν ἀντιγραφὴν καθ' ἑκάστην εἰσπράξεται, καὶ οὐκ ἐάσει λοιπὸν ἠρεμεῖν, ἕως ἀπολύσαιμέν σοι τὸ χρέος. Τὰ δὲ πρὸς τοὺς ἄρχοντας γεγραμμένα ἐκείνους, οὓς ἡ κακὴ τῶν Ἑλλήνων τύχη φοβεροὺς ἡμῖν οὕτω καὶ χρειώδεις ἐποίησεν, ὑπερήσθην ἰδὼν, καὶ τήν τε φύσιν ἐθαύμασα τοῦ φιλτάτου μοι τήν τε προαίρεσιν, καὶ θαύματος ἐνόμισα κρείττω. Προσθεῖναι (2) δ' αὐτοῖς μόλις ἄν τις ἴσχυσεν ἐκ θειοτέρας ἥκων σχολῆς καὶ τῆς μετὰ τοῦ κρείττονος ὁμιλίας· τὸ δ' ἡμέτερον, εἰλικρινῶς ἀνθρώπινον ὂν καὶ τῆς κοσμικῆς ταύτης διατριβῆς μέχρι καὶ χθὲς σχεδὸν, τοσοῦτον ἀπέχει τῇ σῇ συνέσει καὶ πείρᾳ παραβληθῆναι, ὅσον ἡμεῖς δοκοῦμεν εἶναι δεινότεροι τῶν μηδαμῶς ἐν τούτοις συνειθισμένων (3)· ὥστε καὶ

(1) Codex, οἷον τήν. Addito sic apostrophi signo Sophoclem juvit Hermannus Antigona extrema: χρὴ δὲ τά γ' εἰς θεοὺς μηδέν' ἀσπτεῖν. Sic, pro vulgata μηδὲν, scripsit μηδέν', quod nitide exhibet codex 2886. Alio modo τὴν corruptum videtur in scholiis ad Ranas 1157: τὰ πατρῷα κεκίνηκε τὴν ἀμφιβολίαν. Malim, κεκίνηκέ τιν' ἀμφιβολίαν.

(2) Codex, προσθῆναι.

(3) Codex, συνηθισμένων: mox παραλελῆφθαι. Basilius Macedo Præc. c. 39: εἴ γε οὖν ἐκείνῳ πάντων μέλει ὡς θεῷ, οὕτω χρὴ καὶ σὲ μηδὲν παρορᾷν ὡς ὑπὸ θεῷ βασιλῖ. Male βασιλεῖ in codice

τὸ Θεοχρίτου (1) μεταβαλόντες ἂν εἴποιμεν, καὶ πάνυ δικαίως. Ὁ μὲν γὰρ τὴν ἀφυΐαν ὀνειδίζων τῷ ποιητοῦ πυθομένου ποῖα ἂν εἴη τὰ καλῶς εἰρημένα, « ἃ παρέλιπες », ἔφη· ἡμεῖς δὲ ἐκεῖνα παραλελεῖφθαι φαμὲν, ἅπερ οὐκ ἂν ἐδέησε λέγεσθαι.

Ἀλλὰ πέμπε θαῤῥούντως, ἀνδρῶν φρονιμώτατε, ὑφ' ἡγεμόνι Θεῷ, ὅς σου τὴν διάνοιαν καὶ τὴν γνώμην ἐπὶ τὰ τῷ γένει συνοίσοντα καθ' ἡμέραν κινεῖ, τοῦτο χάριν σε τῇ χρείᾳ παρασκευάσας πανταχόθεν πορισήκοντα, ὡς ἕνα σε κ᾽ μόνον ἀρκεῖν, διανοούμενον μὲν ἃ μηδὲ διδασκομένοις ἄλλοις πράττειν ἐξέσται, πράττοντα δὲ ἃ κ᾽ λογίσασθαι μόνον δυσχερές ἐστι τοῖς ἐπὶ τῷ διορᾶν τι φρονοῦσι, πονοῦντα δὲ ὁπόσα κ᾽ τῶν ἐν ὑπουργίαις τεταγμένων ἄν τις ὀκνήσειεν, ἐν δὲ ταῖς τῶν χρημάτων σπενότησιν ἀντὶ κοινοῦ πρυτανείου τῇ πόλει τοὺς οἴκοι θησαυροὺς (2) ἀνιέντα, ἃ δὲ τῇ πόλει φέρει φιλοτιμίαν, ἀδόμενα πανταχοῦ μεγαλοψύχίας ἔργα, οὐκ ἐν τοῖς ὕστι νῦν μόνον, ἀλλὰ κ᾽ τῶν μνημονευομένων κάλλιστα, πράττοντα. Ἡμᾶς δὲ τῶν πραττομένων εἰ συνίστορας ἔχοις ἐν τοῖς καιρίοις, ὡς ἔφησθα (3), τοῦτο μὲν δήπου φιλανθρωπίας ἕστιν τῆς σῆς· λήψῃ δὲ ἐξ ἡμῶν οὐδὲν, πλὴν ἐπαίνου καὶ θαύματος. Ἡσθησόμεθα δὲ καὶ ταῖς ὑπὲρ τοῦ κοινοῦ σοῦ σπουδαῖς, σέ τε τοιαῦθ' ὑπὲρ αὐτοῦ δύνασθαι, καὶ τοῦτο τοιούτων

2991 A scriptum est; nec bene θῷ.

(1) Agi puto de Theocrito Chio, cujus nota est dicacitas. Dicti fontem non memini.

(2) Ditissimus fuit Notaras. Urbe capta, immensos auri, argenti, lapidum pretiosissimorum thesauros sultano frustra obtulit, quibus scilicet suam ac suorum vitam libertatemque redimeret. Illum tyrannus et filios vita simul ac thesauris privavit. Res narratur a Phranza Chron. III, c. 9. — Cf. p. 152, 17.

(3) Codex, ἔφισθα.

ἀπολαύειν ἐκ σοῦ καλῶν, ἐν ἴσῳ τῆς ἡμῶν εὐχόμενοι σωτηρίας. Παρατίθετω δέ σε τὰ παρὰ τοῦ φθόνου βέλη μηδόλως· ψηγαὶ γάρ εἰσι νηπίων (1), οὐκ ἀμαυρῶν, ἀλλὰ λαμπρύνειν μᾶλλον, δυνάμενα· μόνος γὰρ σύ γε τῶ φθονεῖν κρείττων. Καὶ κακοηθείας μᾶλλον ἢ φθόνου σημεῖον ἐκφαίνουσι καθ' ἑαυτῶν οἱ τολμῶντές τι τῶν σῶν ἔργων μέμφεσθαι. Οὐ γὰρ ἔχει τις ἀμιλλᾶσθαί σοι περὶ τῶν ὑπαρχόντων σοι καλῶν οὐδενός, οὐθ' ἁρπάζεις τὴν ὑπὲρ τῶν κοινῶν στρατείαν, ἀλλὰ μᾶλλον ἡρεμεῖν σε βουληθέντα πολλάκις, ὥσπερ ψυχῆς τινος ἔρημα λελειμμένα, πρὸς ἑαυτὰ μεῖα βοῆς ἐβιάσανθο (2). Καὶ σύ γε πείθῃ τοῖς πράγμασι, καὶ ἡμῖν πᾶσιν ὑπὲρ τῆς αὐτῶν σωτηρίας σε δυσωποῦσιν, καὶ περὶ τούτων ἕπῃ Θεῷ (3) κελεύονλι· ὅθεν ἐλπίζεις ἥξειν σοι τοὺς μισθοὺς τῆς εἰς τὸ γένος κηδεμονίας· ἃ γὰρ δοκεῖς ἐκ τοῦ γένους εἰς ἀμοιβὴν ἔχειν τῆς ἀρετῆς, καὶ ταῦτα σῶ μᾶλλον πρὸς αὐτὸ τυγχάνουσι χάριτες.

Ζῆθι τοίνυν, ἡμέτερε κόσμε καὶ κοινὸν ἄγαλμα, καὶ ἡμᾶς εὔχου σὺν ἰδιοπραγμοσύνῃ τὸν λοιπὸν ἀνύσαντας βίον, ἣν μετὰ τὰς ἀκάρπους τύρβας ἐκείνας εἰλόμεθα σὺν Θεῷ, οὐ τί τοὺς ἄλλους ὠφελήσαντες

(1) Eustathius, De urbis Thessalonices excidio pag. 292, 6: ἦσαν δὲ τὰ πιαῦτα ὡστὶ καὶ βέλη νηπίων. Conf. supra t. IV, p. 452, 11. Joannes Chrysost. in martyres Ægypt. p. 28, ed. Ingolst.: ἀλλὰ καὶ τὰς ἀοράτων δαιμόνων ἐπιβουλὰς καὶ πᾶσαν τῦ διαβόλου μεθοδίαν ἀνατρέπεσί τε καὶ διαλύουσιν, οὕτως εὐκόλως ὡς' εἴ τις γενναῖος ἀνὴρ παίδων ἀθύρματα ἀνατρέψειε καὶ καταβάλοι. Cod. Coislinianus 110: τὰς τῶν ἀοράτων δαιμόνων.

(2) Codex, ἐβιώσαντο.

(3) Respectu ad antiquum Pythagoræ dictum ἕπου θεῷ, de quo vide t. I, p. 127, n. 1. Demetrius Phal. § 9: τὸ γνῶθι σαυτὸν καὶ τὸ ἕπου θεῷ, τὰ τῶν σοφῶν. Vide Heeren. ad Stob. t. I, pag. 102; Falster. Amœnit. philolog. t. III, pag. 25.

μηδὲ θέλοντας αὐτοὶ βλασφημησόμεθα, ἀλλὰ τί βελτίους αὐτοὶ τὰ πρὸς Θεὸν ἐσόμεθα σκοπουμένως ἀεὶ, μόλις τοῦτο δυνησομένους, τῆς κατὰ Χεισὸν σωχείας, αὐτοῦ χείρα διδόντος, ἀπόνασθαι.

Μετάνοιαν (1), ὠλαμπρότατε.

ιγ'.

Τῷ αὐτῷ μεγάλῳ δουκὶ ὁ αὐτός.

Ἦν μὲν ἐπηγειλάμην σοι πέμψειν ἐπισολήν, καὶ μὴ ἀπαιτοῦντι πεμφθήσεται (καὶ ἡσθήση πάνυ λαβών), τὸ θεῖον ὕλην πεποιημένη, οὗ μάλισα καὶ περὶ οὗ τὸν σωτῆρα ποιουμένῳ σοι λόγον πολλὴ μὲν ἐπὶ τῆς γῆς εὐφημία, σωτῆρα δὲ ἐν τοῖς ὑρανοῖς μισθὸς, συναθροίζεται. Ἀλλὰ νῦν ταῖς καλλίσαις ἐπισολαῖς ἡρέθισας ἡμᾶς ἀντιγράφειν, οὐκ ἀνασχομένους σιωπῇ παρελθεῖν τὴν ἐν ὠείναις διαπρέπουσαν χάριν καὶ σύνεσιν. Ὁ μὲν γὰρ Ἡσίοδος (2) σοφόν φησιν εἶναι τὸν πολλὰ εἰδότα φυᾷ· σὺ δέ γε τῇ μὲν φύσει νικᾷς τοὺς καὶ τέχνῃ μετὰ ταύτης σεμνυνομένους, ταύτην δὲ τῇ παιδεύσει λαμπροτέραν ἀπέφηνας, ὥσε καὶ λέγων ἀεὶ περὶ τῶν ἑκάσοτε συμπιπτόντων, κἂν ποτε δεήσειε γράφων, ἐν μὲν λογίων χορηγῆς ὑπ' ὀλίγων ἂν παρευδοκιμηθείης, οἱ πολὺ πλεῖον ἡττηθεῖεν ἂν ἐν τῇ τῶν νοημάτων δεινότητι, ἢ ὅσον δοκοῦσιν ἐν τῷ τῆς Φράσεως ἀκριβεσέρῳ προέχειν. Εἰ δὲ ῥηορείας (3)

(1) Vide p. 140, n. 3.

(2) Non Hesiodus, sed Pindarus, Ol. II, 154 : σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ.

(3) Codex, ῥητορίας. Contrario mendo p. 73, 7, codex exhibuit συμβουλείας. Aristoteles Epist. 1, edit. Ald. et Genev. : τὸ δὲ ὁμολογουμένης ἀβουλείας τεκμήριον. Codex 3054, ἀβουλίας.

ἀληθινῆς, ἢ τὰς πολιτείας συνίστησιν, ἅμιλλα προὔκειτο, κἂν ἀπῆλθόν σου κατόπιν πάντες εὐθὺς, ὅσοις γε (1) τοῦ χρήματος μέτεστιν.

Ἐγὼ δὲ οὐδὲν τοῦτο θαυμάζω, καί τοι τοσοῦτον ὄν, ἀλλ', ὅτι τοσαῦτα πράττειν ἔχων, ἐπεὶ καὶ τῷ μέρει τῶν λόγων ἐβουλήθης νεῖμαι σαυτὸν, οὔτ' ἐν ταῖς πράξεσιν ἀργότερος ὤφθης διὰ τοὺς λόγους, οὔτε πρὸς τοὺς λόγους ἐκ τοῦ πλεῖστα πράττειν ἀμβλύτερος, ὥστ' ἀφυεστέρους ἡμᾶς τοὺς παρὰ πάντα τὸν βίον λόγοις ἐνησχολημένους ἐλέγχεις. Οὐ γὰρ τῷ πλέον εἰδέναι φιλοτιμησόμεθα μᾶλλον, ἢ τὸ τοὺς ἀπὸ τῶν πραγμάτων ὑμᾶς ἐγγὺς ἡμῶν γίνεσθαι καὶ πάνυ νομιοῦμεν ἧττιαν ἡμῶν· δι' ὃ κἂν δεινῶς ἐβασκήναμεν, εἴ γε ἀπὸ τῆς ἴσης ἐκρινόμεθα τύχης.

Νῦν δὲ τὴν ὑμῶν ἀρετὴν εὐδαιμονίαν οἰκείαν κρίνομεν εἶναι, ὥστε καὶ σοφωτέρους ἡμῶν γενέσθαι καθάπαξ ηὐξάμεθ' ἄν, εἰ οἷόν τε ἦν. Εἴ τε γὰρ δέοι τοὺς περὶ λόγους ἔχοντας ἐλπίζειν τι παρ' ὑμῶν ἀγαθὸν, πότε μᾶλλον αὐτοῖς χαριεῖσθε, ἢ τοῦ καλλίστου τῶν ἐπιτηδευμάτων ἐκ τῶν ἴσων αὐτοῖς συμμετέχοντες, ἔστι δ' οὗ καὶ νικῶντες· εἴ τε μέλλοιμεν ὑπὸ λόγου κυβερνώμενοι σώζεσθαι, τοὺς ἐπὶ τῶν πραγμάτων ὑμᾶς εὐξαίμεθ' ἂν ὑπερβάλλειν σοφίᾳ τοὺς ἀρχομένους, ὡς ἂν καὶ σώζειν μᾶλλον εἰδείητε. Εἰ δὲ σὺ μόνος

(1) Codex, ὅσοις τι. Epistola Socrat. 17: ὁ πρὸς σέ γε καὶ τὸν Κεῖον Πρόδικον καὶ Πρωταγόραν τὸν Ἀβδηρίτην διαμαχόμενος. Codex 3054, πρὸς σέ τι: quod malim. Polybius Fragm. p. 434: εἰ γὰρ λάβοι τις μὴ χρόνον ἄπειρον, μηδὲ γενεὰς πολλὰς, ἀλλὰ πεντήκοντα μόνον ἔτη ταυτὶ τὰ πρὸ ἡμῶν, γνοίητ' ἂν ὡς τὸ τῆς τύχης χαλεπὸν ἐνταῦθα. Locus recte procedet, rescripto γνοίη γ' ἄν. In Sophoclis Antig. 1263, codices 2712, 2884, habent ἔχων τε, non ἔχων γε.

ἐκ τῶν ἐφεσίων τοῖς πράγμασι λόγων γεγονὼς θιασώτης, σὺν λόγῳ μὲν τὸ σκάφος ἰθύνεις ἡμῶν καὶ ταῦτ' ἐν τοσούτῳ χειμῶνι, εἰ δέ τι καὶ ἡμεῖς ἔχομεν ὠφελεῖν (ἐπιγνώσκεις καλῶς), τῶν ἄλλων, ὅ φασιν, ὐδ' ἴκταρ βαλόντων (1), ἆρα νεμεσητέον ἂν εἴη σοι τῆς περὶ λόγους φιλοτιμίας; ἢ κοινὴν εὐδαιμονίαν τόδε τίθεσθαι χρή, καὶ κόσμον μὲν τῆς πατρίδος, ἐπειδάν τις ἄλλοθέν ποθεν ἥκων, θαυμάσας σὸν τὴν παίδευσιν, ἀπαλλάττηται, ὠφέλειαν δὲ πρὸς τῷ (2) κοινῷ καὶ ἡμῶν, ὅσοι παρὰ βαρβάροις ἂν ὠήθημεν ζῆν, εἰ μὴ σὺ θεόθεν πεμφθεὶς δίδοναι λόγον καὶ λαμβάνειν ἠδύνασο (3), καὶ ὁπόσον τι τῶν ἀπαιδεύτων διαφέρουσιν εἰδέναι καλῶς πόλει μελλούσῃ σώζεσθαι ἄνδρες ἀπὸ βιβλίων ἀνημένοι καὶ λόγων μετὰ φρονήσεως;

Ἐγὼ δὲ τοὺς μὲν τῶν ἀνθρώπων οἶδα τὴν ἔμφυτον πονηρίαν δυνάμει λόγων (4) αὐξήσαντας, τοὺς δ' ὑπὸ πολλῆς ἀλογίας ὐδὲν ἀμείνοσι τῶν ἐκ ναυαγίας κακοῖς σφίσι συνόντας περιβαλόντας, τοὺς δὲ τὴν φυσικὴν ἀμορφίαν τοῖς ἐκ τῶν λόγων κάλλεσιν ἐπιχρώ-

(1) Apostolius Adag. XV, 6: οὐδ' ἴκταρ βάλλειν ἔχεις· ἐπὶ τῶν παραβαλλομένων τισὶ, καὶ μὴ ἐξομοιουμένων μηδὲ βραχύ· ἴκταρ γάρ ἐστι τὸ ἐγγύς. Ἄλλοι δέ φασιν αὐτὴν λέγεσθαι ἐπὶ τῶν ἀποτυγχανόντων, ἐκ μεταφορᾶς τῶν τοξοτῶν, τῶν οὐχ ὅπερ τῷ σκοπῷ τυγχανόντων, ἀλλ' οὐδ' ἐγγὺς βαλόντων. Pro οὐχ ὅπερ, lege οὐχ ὅπως, præeunte Thoma Magistro, voce ἴκταρ, ubi: τῶν οὐχ ὅπως τῷ σκοπῷ μὴ τυγχανόντων, ἀλλ' οὐδὲ ἐγγὺς βαλόντων. In Thoma codd. nonnulli non exhibent μὴ, quod abest et a cod. regio 2629; sed potest servari, potest abesse. Lucianus Epist. Saturn. 20: πάμπολλα δὲ ταῦτα ἔκαστα κεκτημένοι, οὐχ ὅπως οὐ μεταδοσαι ἡμῖν ποτε αὐτῶν, ἀλλ' οὐδὲ προσβλέπειν τοὺς πολλοὺς ἀξιοῦσι. Caret negatione οὐ codex 2600, qua quidem locus carere potest. Prout aderit negatio, aut non, versio nonnihil erit varianda.

(2) Codex, τοὺς τό.

(3) Codex, εἰδύνασο.

(4) Codex, λόγοι.

σαντας. Ἀλλὰ σύγε, ἀνδρῶν ἄρισθε, μετ' ὀλίγων, τὴν μὲν φύσιν, ᾗ πεὶν τοῖς βιβλίοις σεαυτὸν ἐπιδοῦναι, τελεώτατος ἦσθα, νεώτερος μὲν ὤν, ᾗ βυλεύεσθαι, καὶ σθρατηγεῖν, καὶ πρεσβεύειν, οὐδενὸς τῶν ἐγγεγραπτων τοῖς πράγμασι ᾗ ταῖς ἐκείνοις (1) δεύτερος δόξας, πεοὶ ἃ δὲ τοὺς ἐπὶ τὰ μείζω γυμναζομένους πονεῖσθαι χρὴ, ἐν τούτοις ἅπανθας ὑπερβὰς ἀπ' ἐλάττονος τῆς ἀσκήσεως, ὁπόσοι γε ταυτὶ συνεπόνουν· χαίρω δὲ συναυξομένων σοι τῶν καλῶν, οὐ κατὰ πλῆθος (εὐθὺς γὰρ πάντα σὺ τῇ φύσει συνῆν), ἀλλὰ μεγέθει μόνον καὶ κάλλει, καὶ ζῶντας τοὺς ἐφ' ἡμῶν ἀρίστους μεθ' ὑπερβολῆς ἀποκρύψας (2)· ἐκείνων δὲ οἰχομένων, οὐ μετὰ πλειόνων, ἀλλὰ μόνος σχεδὸν ἐμπρέπων τῇ κυβερνήσει τῆς πόλεως, ὥσθε δοκεῖν μὲν ταὐτὰ (3) σοί τε καὶ τῷ καλλίστῳ νῦν βασιλεῖ καὶ περὶ αὐτοῦ τἀδελφῷ (4), δοκεῖν δὲ τοῖς ἄλλοις οὐδὲν ὃ μὴ πρώτοις ὑμῖν δόξειεν, ἀλλ', ὥσπερ νόμοις ἑπομένους, συναγωνίζειν καὶ ὑπουργεῖν, οὐκ ἔχοντας ἄμεινον ὧν ἂν ὑμεῖς ἐξεύροιτον ἐπινοεῖν, οὔτε τὴν ἀρχὴν πειρωμένους· ἅπαξ γὰρ συνεγνώκεσαν ἑαυτοῖς δυοῖν ἡττωμένοις, εἰ καὶ δοκοῦσιν ἄλλων πεφέχειν, εἰσὶ δ' ὧν ὡς εἰκὸς ἐσθι καὶ πεφέχουσιν (5). Οὐ λέγω δὲ τοῖς ἄλλοις

(1) Sic codex, loco corrupto. An τοῖς κοινοῖς?

(2) Aristid. t. I, p. 459 : ὃ πρότερον μὲν κάλλει καὶ μούσαις ἁπάσαις πάλαι ἀπεκρύψασε, νυνὶ δὲ ἀποκρύψασε τὸ τῆς Ῥόδου σθῆμα· ibi malim sedem participia permutare, ut fiat prius quod est posterius. Conf. t. II, pp. 116, 240, 303; t. III, p. 7.

(3) Codex, δοκεῖ et ταῦτα.

(4) Constantino Palæologo, tunc imperatori, et, ante illum, fratri Joanni Palæologo.

(5) Codex, πεσείχουσιν. Frequens harum præpositionum confusio. In Juliani Epist. 6, Heylerus apte substituit πεσεπμήσαι μι vulgatæ πεσεπμήσαιμι. Est et πεσόλιμι. in codice 2964.

μεμφόμενος· τοῦτο γὰρ οὐδὲ σὸς ἂν ἦν ἔπαινος δήπου· ἀλλά σε πάνυ καλῶν (1) τοιοῦτον ἀποφαίνω βελτίω.

Ἐπεὶ δέ γε καὶ τὸν ἐκ τῶν λόγων κόσμον ἐζήτεις (2) (οὗτος γὰρ ἐνέδει τῷ μεγέθει τῆς φύσεως), ἐν βραχεῖ χρόνῳ συνελέξω τὰ κάλλιστα, βιβλίοις ἐγκύψας, ἢ παρασέχων, ἀναγινωσκόντων ἑτέρων, οὓς ἡ τῆς σῆς ἀρετῆς αἰδὼς, οἶμαι δὴ καὶ ἡ χρεία, καθ' ἡμέραν εἰς τὴν σὴν οἰκίαν συνῆγεν. Καὶ νῦν, ἂν δέῃ τὸ συμφέρον ζητεῖν, συντάξει τε καὶ δεινότητι τοὺς περὶ αὐτοῦ ποιῇ λόγους, ὥσπερ ἄν τις ἥκων ἐκ τῶν Ἀθήνησί ποτε γυμνασμάτων· κἂν ἄλλη τις ὕλη λόγων προκέηται (3), πᾶς τις ἀκούσας εὐθὺς τὰ κράτιστα τῶν ἀρχαιοτέρων εἰς τὴν σὴν ἂν φαίη συνεῤῥυηκέναι ψυχήν. Τίς γὰρ γνώμη σοφῶν τινος, τί δὲ μνήμης ἄξιον ἔργον τῶν ὁπουδήποτε γῆς ἀρξάντων καλῶς, οὐ συνεπίσταται (4) σοι τὸν λόγον, ἀραιρότως μνημονευθέντα; Καὶ πειρῶνται μὲν καὶ ἄλλοι τοῦ χρήματος, ἀλλ' ἐοίκασι τοῖς ἐκ ξύλου καὶ λίνου συμπλέκειν καλώδιον βουλομένοις· ὅτως ἀφαρμόζει τῆς χρείας ἅπερ ἀπομνη-

(1) Forsan τῶν π. καλῶν. Sæpe perit articulus. Choricius Villois. Diatr. p. 26 : παρ' αὐτὴν τὴν τοσήμαπος ἀκμήν. Codex 2967 bene, τοσ. τὴν ἀκμήν. Idem in Summum § 22 : ἤδη λόγου τὸ πίεας ὁρᾶται. Duo codd., ἤδη τῶ λ. . . . Lucianus D. D. v, 3 : παιδιρασῶν ὅπου λόγοι. Scrib. ex cod. 1310 : π. ο. οἱ λ. Ita recte statim : ὅπου γὰρ ὁ Σκυθρίας, ὁ βάρβαρος, ὁ μαλθακὸς, ἡδίων κἀμοὶ ποθεινότερος· ubi idem codex, ἡδίων ἐμοὶ καὶ ποθ., nec id male. Idem D. D. xx, 1 : λαβὼν τοῦτο μᾶλλον, ἄπιθι· codex idem, τοῦτο τὸ μ. Rursus Asin. 6 : ὃ γὰρ μόνα ταῦτα φαῦλα ἐδώδιμα κατασκευάζω, ἀλλ' ἤδη. . . Codex idem : ταῦτα τὰ φαῦλα κἀ ἐδώδ. . . . . Libanius t. IV, p. 226 : ὁρίξατε τὸ κάρτιον· ταύτην μοι φερπίνει φιλοτησίαν ἡ Τύχη. Codex 3017, τὴν φιλ. : habet et φερπίνει.

(2) Codex, ἐζήτης.

(3) Tempus id non valde obvium poterit reponi apud Moschopulum Π. σχ. p. 191 : ὅτι μέρος τοῦ λόγου κεῖται δοτικὴ ἀπαρτῶν. Codex 2599, ὅταν μ. λ. κέηται.

(4) Codex, συναπισομαῖ.

μονεύοντες λέγουσιν· σοῦ δέ ποτε τοιοῦτό τι λέγοντος, πᾶς ἄν τις φαίη μηδὲ τὴν ἀρχὴν πρὸς ἄλλην τοῦτο χρείαν εἰρῆσθαι, μήτ' ἄλλο τοῖς λόγοις δεῖν ἐπεννενέχθαι παράδειγμα.

Δογμάτων δὲ περὶ τῶν ἱερῶν οὔπω σε βούλομαι καθαρῶς ἐπαινεῖν· δέος γάρ ἐστι μή, τὴν ψῆφον ταύτην ἁρπάσας, ἐπαχθὴς ἡμῖν (1) ποτε γένοιο, τὸ πολλάκις εἰρημένον σκεῖνο φέρων εἰς μέσον, τὸ τὸν Πάπαν (2) ἐν ἡμῖν ἀνακηρύττεσθαι δεῖν, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας (3), ἐπειδάν τι πρὸς Θεὸν εὐσεβῶμεν, εἶναι δὲ καὶ οὕτως ὀρθοδόξους ἡμᾶς, καί τοι τἀναντία περιφανῶς τῷ Πάπα πιστεύοντας, οὔτε δυναμένους ἄλλως πιστεύειν· ταῦτα δὲ καὶ τὸν Γαβριὴλ ἐξ οὐρανῶν νουθετοῦντα (4) παρεδράμομεν εὐλαβῶς, ὡς εἰκῇ τῇ πιθανότητι χρώμενον· εἰ γὰρ δύναιντο ταυτὶ συνεσθίειν, αἴνιγμα τοῦτ' ἂν εἴη καὶ πέρα (5) παντὸς αἰνίγματος.

Οὐ τοίνυν βουλόμεθα, πειρωμένου σου καὶ αὖθις περὶ τούτων πείθειν ἡμᾶς (6), μαλακώτερον ἀντι-

(1) Codex, ἡμῶν.

(2) De unione ecclesiarum et primatu Papæ validæ tunc agitabantur Byzantii inter aulicos homines et ecclesiasticos controversiæ.

(3) Paulus II ad Tim. II, 15: σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ Θεῷ. . . . ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.

(4) Forsan de Eugenio Papa hæc sunt intelligenda, cui sæculare nomen Gabrieli fuit. Atque respectus fit ad verba Pauli ad Gal. 1, 8: ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν. . . . . .

(5) Codex, πρά.

(6) Est hic aliquid difficultatis. Qui nunc Papæ ambitionem apud Gennadium defendisse videtur, fuit tamen unioni ac Papæ omnino adversarius, si Ducæ fides est habenda, qui, Histor. pag. 148, Lucam Notaram tradit cum Gennadio operam consociasse, et dixisse quoque summa cum petulantia, conducere magis ὁ μίσθ τῇ πόλει εἰδέναι φακιόλιον Σασιλεῦσι Τούρκων, ἢ καλύπτραν Λατινικήν. Quæ est humanæ

ζαίνειν, ὡς ἐνισχημένοι τῇ ψήφῳ, ἣν ἄν σοι νῦν περὶ τὰ δόγματα δοίημεν. Εἰ δὲ μὴ τοῦτὶ τὸ δέος ὑπῆν, κἂν παρεδώκαμέν σοι τῶν ἡμετέρων ἡγεμόνων τοὺς πλείους πάντα πεισθησομένους, ἅπερ ἂν βούλοιο· μὴ δυνάμενοι γὰρ ἀντιλέγειν, ἅμα δὲ καὶ περί τινας ἀνὶ τῶν πραγμάτων ἐπλημμένοι σκιάς, ἅπαντα συγχωρήσουσιν. Ὑφ' οὗ δὴ καί, ἐμοῦ ποτε συνόντος, ἐφιλοτιμήσω πολλάκις πεῖσαι μὲν τοὺς πένητας πρότερον ἅπερ οὐδὲ σαυτὸν ἐπέπεικες (1), εἶτα πρὸς τοὐναντίον αὖθις μετασῆσαι σοφίσι τὰς γνώμας· ἐβούλου γὰρ οὐδ' αὐτὸς τὸ ψεῦδος τότε κρατεῖν, ἀλλὰ τὴν τῶν ἀνθρώπων ἕξιν ἐξήλεγχες. Κἀγὼ τὴν μὲν ἀρχὴν ἐταραττόμην δεινῶς καὶ ἀντέλεγον· ἐπεὶ δὲ διατειβὴν ἡσθόμην εἶναι τὸ πρᾶγμα, ἀχθόμενος ἠκροώμην ἅμα καὶ χαίρων. Οὐ δὴ δέδια μή ποτε περαχθείης ἐκὼν ἐξαπατῆσαι τοὺς ἄνδρας, ἀλλὰ μή ποτε μᾶλλον αὐτός τι παρενεχθῇς, εἰδὼς μὲν ὁπόσον σκεῖνα διαφέρει καλῶς, ἀνάγκην δέ τινα νομίσας ἰσχυροτέραν τῆς ἀληθείας, ὅπερ οἱ πολλοὶ πάσχουσι, καὶ κρίνας αἱρετώτερον εἶναι τὴν αὐτίκα ῥᾳστώνην τῶν ἀποκειμένων τοῖς ὀρθῶς δοξάζουσι καὶ περιττοῦσιν ἄθλων, καί τινα τῶν ἀνθρωπίνων φόβων ἐλπίσας ἀπαλλαγὴν ἡμῖν καταπεράσασθαι, τοῦ Θεοῦ παρεξυνομένου, καὶ διὰ τοῦτο πείθειν ἐθελήσῃς τοὺς ἄλλους, ἅπερ ἂν ὑπὲρ σαυτοῦ γε πρῶτον πεισθείης, δυοῖν ἀναγκῶν

mentis natura, potuit Notaras Papæ favisse primum, dein adversatus esse Papæ. Ac sæpe homines politici aliud agunt, sentiunt aliud. Sequentia subindicant pristinis opinionibus Notaram valedixisse.

(1) Codex, ἐπίκαις. « Syllaba» rum æqualium vel similium al» tera sæpe excidit », Walzius ait Rhett. t. 1, p. 269, et apponit exempla. Potest conferri nota ad Planudis Metam. p. 611.

ὑνδεδωκὼς μὲν τῇ μείζονι, καλῶς ποιῶν, μὴ καλῶς δὲ κρίνας τὴν μείζω.

Ὁπόταν τοίνυν, ἐκεῖνα πάντα ἀφεὶς, τὴν τῶν πατρίων ἡμῖν ἐλευθερίαν συγκαταπράξῃ, Λατίνους δὲ ἐάσῃς (1) ἀντιλέγειν ἡμῖν, καὶ πίθειν, εἰ δυνηθεῖεν, μετὰ τῆς ἀληθείας, ὅπερ οὐκ ἂν ποτε δύναιντο, ἕως ἂν περὶ τῶν οὐκ ὄντων μήτ' εἶναι δυναμένων βάλωνται πείθειν, τότε δὴ καὶ περὶ τούτων οἴσομέν σοι τὴν ἁρμόττουσαν ψῆφον, ὅσα δ' εἰς τὴν ἄλλην τῶν λόγων ἥκει δεινότητα, θαῤῥούντως καὶ πλείω τις τῶν εἰρημένων περὶ τούτων εἰπὼν, οὐκ ἂν τῆς ἀληθείας ἁμάρτοι.

Ἐρῶ δ' ἐφεξῆς καὶ τίνα τοῖς ἀπὸ τῶν λόγων ἄνθεσι λαμπρότερος ὤφθης. Ἐλευθεριότης τοίνυν ἔστιν, ἣν ἐπίσημόν τις εἰπὼν ὑπὲρ πάντας τοὺς πώποτε τοιούτους φανέντας σὸν γεγενέναι, ἐκείνους μὲν οὐκ ἂν ἀδικοίη, σοὶ (2) δὲ τὸ κάλλιστον ἀναφέροιτο τῶν ἐπισήμων καὶ ὅσον ἐστὶν ἀντίκρυς, ὅτι τῶν μὲν ἀδομένων ἕκαστος ἑνί τῳ τοὺς ἄλλους ὑπερβαλὼν ἔτυχεν ἐντεῦθεν ὀνόματος, σὺ δ', ἐν ἑκάστῳ παρενεγκὼν ἕκαστον τῶν τῆς ὁμοίας μετασχόντων σοι τύχης, οὐκ ἂν ἔχοις ὅτῳ τῶν ὑπαρχόντων μᾶλλον γνωρίζοιο· καὶ διὰ τοῦτο τὸ πᾶσι μεθ' ὑπερβολῆς κεκοσμῆσθαι (3), σὸν ἐκράτησεν ἐπίσημον εἶναι.

Φρόνησιν μὲν γὰρ πρότερον εἰρηκὼς, παρίημι νῦν·

(1) Codex, ἐάσῃς.

(2) Codex, σί. Philostratus Epist. 57 : κελεύεις μοι μὴ βλέπειν, κἀγὼ σοὶ μὴ βλέπεσθαι. Cod. 1696, μι et σι. Utraque lectio placere potest. Suidas : κελεύω δοπκῆ καὶ αἰπαπκῆ. Vide Piers. ad Herod. Philet. p. 433; Schæfer. ad Theocrit. p. 231. Poterit Philostrati sententia id firmare quod de loco Scythii proposui p. 107, n. 2.

(3) Codex, κεκοσμῆσθαι.

ὐ γὰρ οἷόν τ' ἂν ἦν ἐκεῖνα, μὴ μεῖὰ Φρονήσεως ἀκρας κ᾽ διὰ ταύτην, εἰς τὴν σὴν ψυχὴν συνδραμεῖν. Οὔτε περὶ σωφϱοσύνης φημὶ, ἧς σε πάντες ἴσασι κ᾽ τῶν ταύτην ὑπεσχημένων τε καὶ τηρόντων πολὺ πλέον ἔχειν, ἔν τε ταῖς ἡδοναῖς κ᾽ ταῖς λύπαις ἀκριβῶς τῷ τῦ λόγου κανόνι μάλισῖα χρώμενον. Ἀλλὰ τὴν γενναιότηῖα, τὴν μεγαλοψυχίαν, τὴν δικαιοσύνην, τὴν πϱόνοιαν, τὴν πϱὸς τὺς φίλυς εὐαρμοσίίαν, τὴν πϱὸς τὺς ξένυς φιλανθϱωπίαν, τὸν οἶκῖον, ἐν σοί τις ταῦτα πάντα, βυληθεὶς ἐναργῶς ἰδεῖν, ὄψεται. Ἀρτιμελῆ γὰρ κ᾽ ἀπηκριβωμένην τὴν ἰδέαν ἅπαντα φέρει, ὥσπϱ εἴ πϱὸς ἕν τι μόνον αὐτῶν τὸν σὸν συνέτεινες (1) βίον· ὃ τοῖς πλείσῖοις, οἶμαι, συμβαίνει, οἷς ἕν τι μόλις τῶν καλῶν ἠσκηκόσιν ἀγαπητόν ἐσῖιν, εἰ καὶ δευτέϱου τινὸς ἀμυδϱὸν ἐμφαίνοιεν εἴδωλον. Τὴν δ' ὑπὲϱ τῆς κοινῆς ἁπάντων σωτηϱίας σπουδὴν, οὐκ ἄνευ κινδύνων σοι πολλῶν δεδειγμένην (τῶν γὰϱ ἀναλωμάτων ἥττων σοι (2) λόγος), οὔτε τῶν ἡμετέϱων καιϱῶν ἐσῖιν ἐνεγκεῖν, οὔτε τῶν παϱόντων λόγων ὑμνῆσαι· ἀλλὰ ξένην τινὰ φοϱὰν ὁ καθ' ἡμᾶς ἤνεγκε χϱόνος, ὁμοίως τὺς ἔν τε τοῖς ἔϱγοις μιμεῖσθαι πειϱασομένους, τοῖς τε λόγοις ἐξυμνῆσαι βουλησομένους, ἀμηχάνοις ἐπιχειϱεῖν ἐξελέγχυσαν.

Ἀλλὰ ταῦτα μὲν παϱέϱγως ἀπηϱιθμῆσαι νῦν, καί τοι πϱοὐϱγου καθ' ἡμέϱαν ἡμῖν καὶ πᾶσιν ἀδόμενα· ὑπὲϱ οὗ δὲ νῦν ἐνεσῖησάμεθα γϱάφειν, ἡ τῶν ἐπισῖολῶν ἐκείνων ἔσῖιν ὑπόθεσις. Τϱοφῶν μὲν δὴ μηδετέϱας ἡμῖν φϱόντιζε πέμπειν (3)· εἰ γὰϱ, ὡς ἔφησθα, ταῖς ἐνεϱγείαις τῦ νοῦ τὸ παϱὰ τῶν τϱοφῶν προσίσιαται

(1) Codex, συνίκπιης. Forsan συνεξίπιης.

(2) Conf. p. 142, 13.

(3) Conf. p. 137, 16.

βάρος (1), ἑκάτεραι τὴν ἴσην ἡμῖν ἐνεργάσονται βλάβην, αἱ μὲν οὐκ τῆς ποιότητος αὐτῶν ἀνοχλοῦσαι, αἱ δὲ τῇ ποσότητι λυμαινόμεναι· οὐ γὰρ ῥᾴδιον ἐγκρατῶς αὐτῶν ἅπλεσίαι, τοῦ δοκεῖν εὐκατεργάστους εἶναι, πρὸς τῷ κατὰ τὴν γεῦσιν ἡδεῖ (2), ποιοῦντος, αὐτῶν καὶ ταῦτα δαψιλῶς πεμπομένων, μόλις κεκορεσμένους ἀπανίστασθαι τῆς τραπέζης. Μᾶλλον δὲ φροντίζεις μὲν οὐδαμῶς, ἀλλ' εὐπόριστά σοι θεόθεν γῆ τε καὶ θάλασσα πέμπουσιν, ἀνθ' ὧν ὑπὲρ αὐτῶν ἀγρυπνεῖς ἐλαχίστην ταύτην χάριν ἀποτινῦσαι. Ἡμεῖς δὲ τούτων ἡμῖν ἀνηκόντων ὀλιγωροῦμεν, ὅπως ἀπολαυσόμεθά σου τῶν δώρων φροντίζοντες· προσήκει δ' ἡμῖν ἀντὶ τούτων λιτὴ καὶ σχέδιος τράπεζα, καὶ τῶν ἐν ἀγροῖς (3) ὁσημέραι διαιτωμένων οὐδέν τι πλουσιωτέρα. Καί τοι πονοῦσι μὲν ἐκεῖνοι πολλά, δι' ἃ καὶ ἀβρῶς τρέφοιντο· ἡμῖν δὲ πάντα μεμαγμένη μάζα, φασὶ (4), ἢ τὸν ἀρχὴν βίον ἀνύομεν, δι' ὃν οὐδὲ καθάπαξ ἐσθίειν ὁ τοῦ Παύλου νόμος ἐᾷ (5).

Τοιαῦτα μὲν οὖν μὴ θέλε πέμπειν ἡμῖν· ἀλλ' ἐπειδάν του δεηθῶμεν τῶν ἀναγκαίων, αὐτοὶ πρὸς τὴν σὴν οἰκίαν καταφευξόμεθα, ἢ καὶ ἡμῖν πολλάκις ὂν

(1) Synes. Homil. pag. 295: ὅταν εὐτραφῆ σῶμα περὶ σάρκωσιν, ἀποσβέσει ψυχὴν περὶ φρόνησιν. Codd. 1760, 1038, εὐτραφῆ, quod et bonum est. Nilus Narrat. p. 31: σαρκῶν κραιπάλη τὸν λογισμὸν ὑ βαρυόμενοι. Cf. Theopompus Athenæi IV, 46, ubi Casaubonus; Musonius Stobæi tit. 17, 43.

(2) Codex, ἡδύ.

(3) Codex, ἐν ἀγροῖς.

(4) Suidas: μεμαγμένη μάζα· ἐπὶ τῶν ἐπίμων ἀγαθῶν.

(5) Paulus scilicet II ad Thessalon. III, 10: εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. Hieronymus Vita Hilarionis: « fiscellas jun- » co texens, æmulabatur Ægy- » ptiorum monachorum discipli- » nam, et Apostoli sententiam » dicentis: *Qui autem non ope- » ratur, non manducet.* »

ταῖς χρείαις ἐπήρκεσεν, καθάπερ ὀσημέραι πλείστοις ἀνέῳγεν ἐλέου βωμός. Εἰ δ' ὁπόσον ἡμᾶς φιλεῖς καὶ τιμᾷς ἐντεῦθεν βούλει σοι δείκνυσθαι τοῖς πολλοῖς, ἔχουσιν ὐκ πολλῶν, εἰ βούλοιντο, καὶ ταῦτα γνωρίζειν· τῶν γὰρ ἀτεχνῶς μειζόνων οὐδενὸς ἀμελεῖς (1). Καί τοι καὶ ταῦτα, τῆς σῆς ἀρετῆς ἀπόδειξιν ἔχοντα, γίνεσθαι συγχωρεῦμεν· ἄλλως δὲ, τῶν ἀνθρωπίνων τιμῶν ἅπαξ ἀπερρωγότες, τούτων χωρὶς τὸν ἡμέτερον ἀνύειν θέλομεν βίον. Ἐπαίνοις τε οὓς ἡμᾶς ἐπαινεῖς, ὅσον μὲν εἰς ἀκοῆς ἦχει χάριν, ἡδόμεθα, ἀχθόμεθα δὲ, τῶν λόγων τοῖς πράγμασιν ἐφαρμοζομένων· ἢ γὰρ ὑπ' εὐνοίας ἡμῖν τοσαῦτα χαρίζῃ, ἡμεῖς δὲ ἔρημοι παντὸς ἀγαθοῦ καὶ μάταιον ἄχθος τῇδε τῇ γῇ (2)· καὶ τί ἂν τούτου λυπηρότερον εἴη; ἢ, τοιούτων ὄντων ὑπερφρῶντες, ὑμᾶς αὐτοὺς ἀδικεῖτε· ὅθεν εὐλόγως ἂν ὑμῖν συναχθοίμεθα. Ἐφεντίσατε δ' ἂν οἰκείως ἡμῶν, οὐκ ἰχθῦς πέμποντες, οὐ ταρίχη, οὐδὲ δημοσίαις σιτήσεσι τρέφοντες, οὐδὲ ἀρχήν τινα νέμοντες, θορύβων οὐδὲν πλέον ἔχουσαι, ἀλλ' ἐφ' ἅπερ γεγενήμεθα καὶ ἐληλυθαμεν, φασὶ, κεχρημένοι· ταῦτα δ' ἔστιν, ἐλέγξαι τοὺς ἁμαρτάνοντας, λῦσαι τὴν ἀπιστίαν ἣ ταῖς τῶν ἀνθρώπων ψυχαῖς δεινῶς ἐνεβάκχευσεν, ἀπὸ τῆ ζοφώδους καὶ σκοτεινοῦ πρὸς τὸν ὡς ἀληθῶς ἀνθρώπινον καὶ χειστιανικὸν βίον μετασήσαι λόγῳ τοὺς ἕπεσθαι (3) δυναμένους, δεῖξαι τοῖς ἐπιροπους πᾶσιν, εἴ τε τῶν πραγμάτων, εἴ τε τῆς πίστεως,

(1) Codex, ἀμελῆς.

(2) Hom. Il Σ, 104: Ἀλλ' ἤμαι πρὸς πυσὶν, ἐπώσιον ἄχθος ἀρούρης. Et Od. Υ, 379: αὐτως ἄχθος ἀρούρης. Qui posterior locus, non prior, erat admovendus a scholiaste ad hæc Platonica Theæt. § 85: οὐ λῆροί εἰσι, γῆς ἄλλως ἄχθη, ἀλλ' ἄνδρες.

(3) Codex, ἕπεισθαι.

ἃ πράττοντες ἐπιτροπεύσουσιν ἄμεινον, καὶ ὅπως τήν τε καλλίστην τοῦ μεγάλου βασιλέως ψυχὴν σώσουσιν ἀληθείας λόγοις, οὐκ αἰσχρᾷ κολακείᾳ (1) διαφθεροῦσιν, καὶ σοὶ, τῷ καλλίστῳ τῶν ὀργάνων αὐτοῦ, οὐ ζητοῦντες ἀκόλους καὶ στρεπτοὺς, προσδραμοῦνται (2), καθάπερ ἡμεῖς ποτὲ τοῖς γονεῦσιν, ἀλλὰ μετὰ πατρικῆς παῤῥησίας μᾶλλον ἐροῦσί τι πρὸς ὀργὴν, καὶ δήξουσιν ἐν τῷ βάθει (οὐ γὰρ πάντα γε ὑμεῖς ἀναμάρτητοι, τὸ δὲ μικρὸν ὑμῶν ἀῤῥώστημα τοῖς ὅλοις πράγμασιν ὄλεθρος γίνεται)· ἐξυπνίσαι τὴν πόλιν σύμπασαν δεινὸν ὑπνώττουσαν, καὶ τὸ δεινὸν ἐπιὸν (3) οὐκ αἰσθανομένην, οὗ τὴν ἀπαλλαγὴν καὶ σώμασι καὶ χρήμασι καὶ πᾶσι τρόποις ἐξωνησάμενοι ἂν, ὡς οἱ πανταχοῦ σωφρονοῦντες (4)· τοῖς μὲν ἐντρυφῶσιν, ὡς ἀπόνως σφίσι σωθησομένοις, σκιαῖς δέ τισι καὶ μύθοις ὑπερορίοις (5) τὴν σωτηρίαν πιστεύουσιν, ὧν τὸ μάλιστα προύργου, ἢ μετὰ τὴν προδοσίαν τῆς ἀληθείας ἐκ τῶν Παπικῶν χρημάτων ἐλπίς ἐστιν, ἢ τὸ δοκοῦντας ἔτι Λατίνοις συνῆφθαι ἀνεπιχειρήτους τοῖς ἐχθροῖς διαγίνεσθαι, καὶ τοιαῦταί τινες μικροψυχίαι καὶ δυσπιστίαι, τῆς οὐρανίου συμμαχίας ἐλαυνομένης ἀμφοτέραις χερσὶν, ἧς ἄνευ οὐδὲ μετὰ πλείστων τῶν ὑπαρχόντων ἂν δυναίμεθα σώζεσθαι, πρὸς ἦθος ἀληθοῦς πολιτείας πάντα μεταβαλεῖν συμβουλεύοντα, πείθοντα,

(1) Codex, αἰσχρὰ κολακία. Cf. p. 144, n. 3.

(2) Codex, προσδραμοῦντας. Est ζητοῦντες ἀκόλους imitatio Homerici versus, Αἰτίζων ἀκόλους. . . . Et potuit στρεπτοὺς, quod est placentæ genus quoddam, a Demosthene sumere De cor. § 70.

(3) Turci urbem undique premebant.

(4) Sic codex.

(5) Sunt μῦθοι ὑπερόριοι latinæ ecclesiæ dogmata; vel falsæ spes de Italorum auxiliis, quæ Papa Græcis, unione facta, pollicebatur.

καταναγκάζοντα· ὡς νῦν γε τῶν ἐν ταῖς σκηναῖς οὐδὲν διεννοόχαμεν πόλεων, εἰ μὴ καὶ χεῖρον ἐκείνων ἔχομεν, τῷ μηδὲ κίνδυνόν τινα περσεῖναι ταῖς σεπλασμέναις. Εἰ γάρ τις τὸς τῆς ψυχῆς ὀφθαλμὸς ἐπὶ πάντα διατείνοι τὰ τῆς πόλεως πεφάγματα, οὐ μᾶλλον ἀσθενῆ δι' ὀλιγότητα (1), ἢ διὰ ῥαθυμίαν τε καὶ σύγχυσιν ἀδύνατα σώζεσθαι, καὶ πρὸς τούτοις, οὐδ' εἰ σώζοιτο μέχει πολλοῦ, σεμνὸν οὐδὲν ἔχοντα, ἀλλ', ὥσπερ ἐν σκότει βαθεῖ, ὡς ἔτυχεν ἐωσιόντα ἀλλήλοις καὶ εἰκῆ συμπλεκόμενα, κὴ τῆς ποτὲ ἄνθης οὐδὲ λείψανον ὄντα, οὐδὲ δυνάμενα τέρπειν ψυχὴν εἰδυῖαν, καὶ δυναμένην ἀρετῇ κὴ κάλλει ψυχῶν τέρπεσθαι κὴ πολιτείας, ἴχνος τι σωζούσης τῶν ἀδομένων ἢ ὅσαι νῦν εἰσιν ἐπαινούμεναι.

Ἐπὶ ταῦτ' ἐβουλόμην ὑμᾶς ἐμοὶ κεχρῆσθαι (τὰ γὰρ ἄλλα παρεῖμι), καὶ τὸ νοσοῦν συνορῶντι, καὶ λόγοις ὑφηγησομένῳ καὶ ἔργοις συμπραξομένῳ· ἴσως γάρ τι μετὰ τοιαύτην σπουδὴν ἐγένετ' ἂν τοῖς πράγμασιν ἄμεινον. Ἀλλ' ὁ μὲν ἐν τῷ πρόσθεν σχήματι (2) χρόνος ἀφροδίτους εἶχεν ἡμᾶς, εἰ καί πού τι λαθόντες ἢ βιασάμενοι τὸ κοινὸν ὠφελοῦμεν, οὔτε συνορῶντος σχεδόν τινος, οὔτε χαριζομένου· νῦν δὲ, καὶ τῷ σχήματι (3) κωλυθέντων, ἴσως οὐδὲ βουληθέντες χρῆσθαι δυνήσεσθε. Πρὸς ἄλλοις γὰρ ἡμᾶς εἶναι χρὴ, ἄλλοις πράγμασι καὶ ἄλλῳ δεσπότῃ δεδουλωμένους, ἐπεὶ καὶ τῆς μονῆς, ὡς οἶσθα, τὴν ἐπιμέλειαν ἐσήρξαμεν

(1) Hic aut vicino loco deesse videtur, *τύροι ἄν*, aut simile aliquid. — Mox codex, *σύγχησιν*, ut et p. 157, 12; et infra *κάλλη*.

(2) In priore vitæ statu, quum negotiis publicis interesset, munere fungens aulico *κριτοῦ τῆς βασιλικῆς κρίσεως*.

(3) Habitu scilicet monastico, quem nuper induerat.

μὲν τὴν ἀρχὴν, λογισμοῖς θειοτέροις κεκινημένοι (1), ἀλλὰ νῦν, τῶν δεδωκότων ἐκείνην καὶ δεηθέντων πάνυ λαβεῖν οὐ πάνυ τοι (2) τοῖς ἡμετέροις συμφωνούντων σκοποῖς, οὐράνιον τουτὶ δεξάμενοι σύνθημα περὶ τοῦ δεῖν μᾶλλον ἰδιοπραγμονεῖν, καὶ τὴν ψυχὴν καθαίρειν, καὶ ἀνάγειν πειρᾶσθαι τοῖς ἀπλανέσιν ἐκ Θεοῦ φωτισμοῖς καὶ ταῖς ὁδηγίαις τῶν ἀρχαιοτέρων ἐκείνων, καὶ τὴν μικρὰν ἐκείνην παῤῥησίαν ἀμέμπτως ἐφύγομεν.

Κἂν μὲν ὅτι τάχιστα τοῦ Θεοῦ τε καὶ τῆς πίστεως περιυβρισμένων λόγον ποιήσησθε, καὶ τὴν τῆς ἡμετέρας ἐκκλησίας λύσητε σύγχυσιν, εἴδωλον γοῦν τι τῆς προτέρας εὐταξίας ἐκείνης καταγαγόντες ἡμῖν, σπουδῇ τινι καὶ χρόνῳ κατὰ μικρὸν ἀκριβωθησόμενον ἴσως, γωνία τις καὶ ἡμᾶς συνέχουσα κρύψει, Θεῷ καὶ λόγοις ἐν μέσῃ τῇ πατρίδι προσέχοντας, κόσμου δὲ ἐπεισάκτου φροντίζοντας οὐδενός· ὁ γὰρ θεόθεν ἡμῖν, ὡς εὐδόκησε, δεδομένος καὶ βασιλείας αὐτῆς ἐστὶ τιμιώτερος, εἴ γε δεῖ Σολομῶντι πείθεσθαι (3), ψηφιζομένῳ περὶ ἀμφοτέρων οὕτω καλῶς, τῷ σοφῷ τε ἅμα καὶ βασιλεῖ. Εἰ δὲ μέλλοιμεν περαιτέρω τὸν

(1) Codex, κεκινημένας, cum dittographia, μένοις.

Καὶ τοίνυν διπλῇ ταύτῃ τῇ « παρὰ τοῦ Πατρὸς » χρησάμενος φωνῇ, ἐξ αὐτοῦ δὴ τοῦ Πατρὸς τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα τὸ Ἅγιον διὰ τῆς ἐκπορεύσεως ἐθεολόγησεν, ἐντρέπων ὡσανεὶ τὰ πρόσωπα, καὶ τὰς γλώσσας συγχέων καί γ' ἐμφράττων τὰ στόματα τῶν τολμώντων καὶ ἐκ τοῦ Υἱοῦ λέγειν καὶ τῷ συμβόλῳ προσλιθέναι (3), οὐ μόνον δὲ, ἀλλὰ καὶ προσάπτειν τῇ πρώτῃ παραδόσει τῆς παρὰ τοῦ Σωτῆρος τελείας καὶ παντελοῦς καὶ μηδὲν ἐλλιπὲς ἐχούσης θεολογίας.

Ἦ σὺ τίς εἶ, ὁ καὶ πλέον ἢ Χριστὸς εἰδὼς περὶ τοῦ Πνεύματος καὶ τῆς αὐτοῦ ἐκπορεύσεως; καὶ τίνα νομίζεις εἶναι ταύτην τὴν ἔκπόρευσιν; καὶ τί γ' ἐστὶν ὃ δὴ καὶ ὀρθῶς καὶ ἀσφαλῶς σημαίνει; τέτταρα ἐρεῖς ὑπάρξεως· εὖ γε καὶ καλῶς λέγεις· ἀλλὰ πόθεν μυηθεὶς

(1) Videtur excidisse participium, a quo τολμᾷν pendeat. Possit etiam, ut sententia integra sit, legi, ὡς καὶ μή τινα...

(2) Joann. XV, 26 : ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. Conf. alius locus Joannis, seu Christi potius, XIV, 16.

(3) Nos quidem latini homines ac catholici symbolum fidei recitantes dicimus : πιστεύω... καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρός τι καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορευόμενον. Cf. t. IV, p. 162, n. 5.

καὶ παρὰ τίνος; ἐκ τῶν εὐαγγελίων φαίης ἄν· Χριστὸς εἰρηκότος; εἰ δὲ μὴ Χριστὸς εἰρήκει, ἐνενόησας ἂν αὐτὸς ἢ ἐθάρρησας ὅλως εἰπεῖν ἐκπόρευσιν οὐσιώσεως εἶναι λόγον καὶ τρόπον ὑπάρξεως; καὶ πῶς; ἐπὶ πολλῶν μὲν ταύτης λεγομένης τῆς φωνῆς, ἐπ' οὐδενὸς δὲ τοῦτο σημαινούσης, ἀλλὰ κίνησιν τινὸς ἐκ τινος. Ἀλλ' ὅτι Χριστὸς, παρὰ τοῦ Πατρὸς εἰπὼν ἐκπορεύεσθαι τὸ Πνεῦμα, ἐδίδαξε πάντως καὶ ὅπως ἔχει ὑπάρξεως, διὰ τοῦτο καὶ σὺ κἀγὼ, καὶ πάντες οἱ φρονοῦντες ὀρθῶς καὶ Χριστῷ πειθόμενοι θεολογοῦντι, ὃ δὴ καὶ εἴρηκε πιστεύομεν, οὐ τῇ λέξει, τῷ δ' εἰπόντι προσέχοντες, οὐδ' ἀποδείξεσι χρώμενοι, οὐδὲ λογομαχοῦντες περὶ τῶν σημαινομένων διὰ τῆς λέξεως, πίστει δὲ μόνῃ τὴν θεολογίαν καταλαμβάνοντες, νοῦ μηδενὸς μηδὲ λόγου, μηδ' ἐκ σφόδρα σοφῆς διανοίας καὶ ἐπιστήμης, ἐς αὐτὴν φθάνοντος.

Εἰ τοίνυν μηδ' ἐκ πάνυ σοφίας καὶ θεωρίας, μηδὲ λόγου δυνάμεως μηδεμιᾶς, ἔστιν ἡμῖν μηδὲν περὶ Θεοῦ Φύσεως καὶ οὐσίας εἰδέναι, μηδὲ περὶ αὐτῆς γε τῆς τοῦ Πνεύματος ἐκπορεύσεως ὅ τί ποτέ ἐστιν, εἰ μὴ ὃ παρὰ τοῦ Χριστοῦ ἐδιδάχθημεν· καὶ ὁ πολὺς καὶ πλεῖστος ἐν μέγας τὴν θεολογίαν Γρηγόριος (1), « Εἰπέ » μοι », λέγει, « σὺ τὴν ἀγεννησίαν τοῦ Πατρὸς, κἀγὼ » τὴν γέννησιν τοῦ Υἱοῦ φυσιολογήσω ἐν τὴν ἐκπόρευ- » σιν τοῦ Πνεύματος, ἐν παραπλεκτίσομεν (2) ἄμφω » εἰς μυστήρια Θεοῦ παρεκτείνοντες »· πῶς, αὐτοῦ

(1) Greg. Naz. Orat. XXXVII, pag. 597.

(2) Codex, παρεμπλεκτήσομεν. Prætuli editi Gregorii scripturam. Ubivis η et ι permutata sunt. Xenophon Vectig. I, 6 : οὐκ ἂν ἀλόγως δέ τις οἰηθείη τῆς Ἑλλάδος καὶ πάσης δὲ τῆς οἰκουμένης ἀμφὶ τὰ μέσα ᾠκῆσθαι τὴν πόλιν. Puto ᾠκίσθαι melius fore.

τοῦ Χρισ̀οῦ παρὰ τοῦ Πατρὸς εἰπόντος ταύτην τὴν ἐκπόρευσιν εἶναι καὶ μέχρι τούτου τὴν περὶ τοῦ Πνεύματος θεολογίαν περάναντος, σὺ, ὥσπερ ἐλλιποῦς ταύτης οὔσης καὶ τὸ ἐλλεῖπον πλέον ἢ Χριστὸς εἰδὼς, καὶ « ἐκ τοῦ Υἱοῦ » προσλίθης; Ὡς πολύ σοι τοῦτο καὶ μέγα τὸ τόλμημα, Θεοῦ πλέον καὶ κρεῖττον νομίζειν εἰδέναι, καὶ Θεοῦ φωνὰς ἐπιχειρεῖν διορθοῦσθαι, καὶ τὰ σαυτοῦ τοῖς ἐκείνου προσλιθέναι λόγοις καὶ περὶ τοῦ Πνεύματος δόγμασιν!

Ἀλλὰ μὴν ὅτι καὶ λόγος ἔστιν ἀποχρῶν οὐδεὶς οὐθ' ἱκανὸς αὐτῆς τῆς περὶ τοῦ Πνεύματος ἐφικέσθαι φωνῆς, ἥτις ποτ' ἔστιν αὐτοῦ ἡ ἐκπόρευσις καὶ φράσαι καὶ ἀποδεῖξαι, πείθει μὲν καὶ ἡ τοῦ ἁγίου ἣν εἴπομεν θεολογικὴ φωνή· δῆλον δὲ καὶ ἐξ αὐτῆς τῆς τοῦ Υἱοῦ γεννήσεως. Κατ' ἐκεῖνον (1) ἤδη καὶ τοῦτο. Τίς γάρ ἐστι καὶ αὕτη, ἀπαθὴς οὖσα παντάπασι καὶ ἄχρονος καὶ ἀΐδιος; πῶς δὲ καὶ ἅμα τῷ ἀγεννήτῳ τοῦ Πατρὸς ἐστι καὶ τὸ γεγεννῆσθαι τοῦ Υἱοῦ, καὶ τὸ εἶναι καὶ ἀμφοῖν ἅμα, καὶ μὴ τὸ μὲν πρότερον, τὸ δὲ μετ' αὐτό γε καὶ ὕστερον; οὐδὲ γὰρ ἐπὶ τῶν γεννητῶν οὕτως ταῦτα, οὐδέ γ' ἐπὶ τῶν αἰτίων καὶ τῶν ἐξ αὐτῶν· ἀλλὰ τί; ἀεὶ τὸ ἐξ οὗ πρότερόν ἐστι καὶ προεπινενόηται τοῦ ἐξ αὐτοῦ. Πατὴρ μὲν γὰρ ἅμα καὶ υἱὸς ταῖς φωναῖς καὶ τοῖς ὀνόμασι καὶ αἰτιατὸν καὶ αἴτιον· τῶν πρός τι γὰρ ἄμφω καὶ τῶν γε πρὸς ἄλληλα, καὶ συμβαίνουσι κατὰ ταυτὸν, συναπλούσης τῆς σχέσεως, καὶ οὔτε χρόνῳ οὔτε λόγῳ οὐδενὶ ἀλλήλων ἀφίστανται, οὐδὲ τὸ μὲν προτεινοεῖται, τὸ δ' ἑτεινοεῖται· αἱ δ'

(1) Gregorium scilicet, qui subtiliter, ut theologus, de Filii oratione trigesima-quinta multa generatione disserit.

ὑποσλάσεις ἐν αἷς ταῦτα, ὐκ ἐν ταυτῷ· ἀλλὰ παλὴρ μὲν ὁ γεννῶν αἰεὶ πρότερος, ὁ δ' ἐξ αὐτοῦ καὶ γεννηθεὶς ἢ καὶ γεννώμενος μετ' αὐτόν γε καὶ ὕσλερος· ἓν τῷ γε χρόνῳ ἀπ' ἀλλήλων διήρηνται.

Οὔτ' οὖν ἡ γέννησις τοῦ Υἱοῦ κατ' οὐδεμίαν τῶν γινομένων ἢ καὶ νοημένων ἔσλι γεννήσεων, οὔθ' ἡ ἐκπόρευσις κατ' οὐδὲν τῶν ὑπ' αὐτῆς σημαινομένων καὶ ἡμῖν γε γνωσλῶν, ὐδὲ φωνὴ ὁμώνυμος. Οὐμενοῦν· ἀλλ' ὡς ἡ οὐσία καὶ φύσις ἓν τρισὶ μία (ἡ γὰρ αὐτὴ Πατρὸς καὶ Υἱοῦ ϗ Πνεύματος) ὑπὲρ πάντα λόγον ὐσίας ἁπάσης καὶ φύσεως, οὕτω καὶ ἡ γέννησις ἀκατάληπλος καὶ λόγον ὑπὲρ πάντα καὶ πᾶσαν νόησιν, ϗ αὐτὴ δ' ἡ ἐκπόρευσις. Καὶ τοίνυν χρὴ τῶν δοθέντων ἡμῖν γινώσκειν ὑπ' αὐτοῦ Χρισλοῦ, ὑπ' αὐτοῦ ϗ τοῦ Πνεύματος, μὴ πλέον ζητεῖν, μηδὲ πρσεπινοεῖν τολμᾷν οἷς παρειλήφαμεν, μηδ' ὑπερβαίνειν ὅρους καὶ μέτρα οἷς ἐμμένειν καὶ ἃ τηρεῖν πρσετάχθημεν.

Ἀκούεις Χρισλοῦ περὶ τοῦ Πνεύματος λέγοντος ὅτι παρὰ τοῦ Πατρὸς ἐκπορεύεται· μὴ πρσλίθει μηδὲν, μηδέ γε περαιτέρω πρβαινε, ἐπεὶ μηδ' οἶδας καὶ ὑπὲρ πᾶσαν ἐσλίν, ὅπερ ἔφημεν, νόησιν ἡ τῆς φωνῆς ταύτης δύναμις καὶ τὸ ὑπ' αὐτῆς γε θεολογούμενον. Τοῦτό σοι καὶ αὐτό γε τὸ Πνεῦμα, διὰ τῶν ἐπὶ τοὺς ἀποσλόλους πυρίνων γλωσσῶν (1) καὶ τοῦ ἐξ αὐτῶν πρὸς πάντας καὶ πανταχῆ δραμόντος κηρύγματος, ἐξελεύεται· τοῦτο καὶ διὰ τῶν πατέρων, οἷς ἐμπνεῦσαν (ὅπερ αὐτὸς ἔφη Χρισλός· « ἐκ τοῦ (2) ἐμοῦ » λήψεται καὶ ἀναγγελεῖ ») ἐνέπνευσε, ϗ ἀνήγγειλεν, αὐταῖς δηλονότι ταῖς ἐκείνου θεολογοῦντος φωναῖς

(1) Act. Apost. II, 3. (2) Joann. XVI, 14, 15.

διὰ παντὸς προσανέχειν καὶ τούτων ἐξηρτῆσθαι καὶ μήτε πλέον ζητεῖν, μήτε περαιτέρω προβαίνειν ἐθέλειν, μηδὲ παραλλάττειν μηδὲ προστιθέναι μηδέν. Σὺ δέ, τί μαθὼν ἢ τί παθών, τοσούτων ὄντων ἐμφανῶν καὶ σαφῶν τῶν ἐλέγχων, τοσούτων καὶ τῶν ἀποδείξεων καὶ διδαγμάτων πεῖσαι δεδυνημένων, αὐτὸς ἔξω πίπτεις, καὶ τὰς εὐαγγελικὰς καὶ πατερικὰς συνοδικὰς (1) παραδραμὼν φωνάς, αὐτῆς γ' εἵνεκα τῆς τοῦ Πνεύματος ἐκπορεύσεως, ἐφ' ἑτέρας ἔρχῃ, ἁγίων εἶναι ταύτας λέγων, μηδὲν δὲ σοὶ συναιρομένας, μηδὲ τοῖς σοὶ κακῶς δεδογμένοις συμβαλλομένας μηδέν; Τί γάρ σοι μᾶλλον καὶ πλέον ἢ ἡμῖν διαφέρει, εἴ τις, ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα λέγοντος τοῦ Χριστοῦ, ἔστιν ὅπου ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον τὸ Πνεῦμα καὶ διὰ τοῦ Υἱοῦ ἐκπορεύεσθαι εἴρηκε, μήτ' αὐτὸς τῷ συμβόλῳ προστιθείς, μήθ' ἑτέρους προσθεῖναι βιασάμενος;

Ἀλλὰ μὴν καὶ οὐδὲ ταὐτὸν ἐπὶ τῆς θεολογίας ταύτης ἡ ἐκ τῇ διά, οὐδὲ τὰ ἴσα οὔτε βούλεται οὔτε δύναται· ἀλλ' ἡ μὲν τὴν αἰτίαν σημαίνει, ὅθεν δηλονότι, τουτέστιν ἐκ τοῦ Πατρός, τὸ Πνεῦμα ἐστὶν ἐκπορευόμενον· ἡ δὲ διὰ τὸ συμφυὲς καὶ ἀδιάστατον καὶ ἡνωμένον τῶν ὑποστάσεων, ὡς καὶ τὰ παραδείγματα ἔχει, ῥίζα καὶ κλάδοι, καὶ βραχίων καὶ δάκτυλος,

(1) Compendium ducere posset et ad *πατερικάς*, et sic alibi. Est *πατρικὸς* ecclesiastici styli. Videtur legendum καὶ *συνοδ*., vel *συνοδικάς τε*. Detur obiter copula Proclo De epistolico charactere init.: *προσήκει μὴ ἁπλῶς, μηδ' ὡς ἔτυχεν, ἐπιστέλλειν· ἀλλὰ σὺν ἀκριβείᾳ πολλῇ καὶ τέχνῃ ἄριστ' ἂν ἐπιστείλαι δυνηθείη τις, εἰ γνοίη τί ἐστιν ἐπιστολὴ καὶ τί λέγειν ὅλως ἐν αὐτῇ θέμις, καὶ* ... Codex 1630: ... *τέχνῃ· ἄριστα δ' ἂν* ... *εἰ γνοίη τί τε ἐστιν*... In Cyclope v. 30 recepta lectio, *τῷ τι δυσσεβεῖ*, pro *τῷδε δυσσ.*, est in codd. 2817, 2887.

καὶ δίσκος ἡλίου καὶ ἀκτῖνες καὶ φῶς. Ὡς γὰρ ἐκ μιᾶς ῥίζης οἱ κλάδοι, οὕτω καὶ ἐξ ἑνὸς τοῦ Παιδὸς ἐστι νοεῖν Υἱὸν καὶ Πνεῦμα, τελείας καὶ ἀσυγχύτους καὶ καθ' αὑτὰς ὅσας τὰς ὑποστάσεις, ἐπεὶ κἀξ αὐτοῦ ἄμφω· βραχίων δ' ἐπὶ τοῦ Υἱοῦ λεγόμενος καὶ δάκτυλος ἐπὶ τοῦ Πνεύματος τὸ συναφὲς, ὅπερ ἔφημεν, δηλοῦσι, καὶ μή τί γε μηδαμῶς κεχωρισμένον, μηδ' ἀποτεμνόμενον, μηδὲ διϊστάμενον· ἐπὶ γὰρ τῶν ἐν τόπῳ καὶ περιγραπτῶν ἡ διάστασις, ἐπὶ δὲ τοῦ τὸ πᾶν ἀκαταλήπτου καὶ ἀπεριγράπτου καὶ ἀπείρου, τίς ἂν καὶ ἐπινοηθείη διάστασις, ὅλου τοῦ Πατρὸς ὄντος ἐν ὅλῳ τῷ Υἱῷ, καὶ τοῦ Υἱοῦ αὖθις ὅλου ἐν ὅλῳ τῷ Πατρὶ, καὶ ἐν ὅλῳ τῷ Πατρὶ καὶ ἐν ὅλῳ τῷ Υἱῷ ὅλου τοῦ Πνεύματος; Καὶ τοίνυν ὁ αὐτὸς λόγος τῆς ἑνότητος καὶ συμφυΐας, εἴτουν συναφείας, καὶ ἐπὶ τοῦ δίσκου καὶ τῆς ἀκτῖνος καὶ τοῦ φωτός· φθάνει γὰρ οὐδὲν τῶν παραδειγμάτων ἐντελῶς πρὸς αὐτὴν τὴν ἀλήθειαν· ἀλλὰ πρὸς τὸ μὲν εἰκάζεται, τοῦ δ' ἀπολείπεται. Ἐκ γὰρ τῶν δημιουργημάτων πῶς ἐστὶν εἰκόνα τοῦ δημιουργοῦντος εὑρεῖν; κἀγὼ γὰρ οὐδ' ἐφ' ἡμῖν τινὸς περί τι τεχνουργοῦντος ἢ δημιουργοῦντος. Ἐκ τίνος δὲ καὶ οὐσίας καὶ φύσεως τὴν τοῦ ὑπερουσίου καὶ ὑπερφυοῦς (1); τίς δὲ καὶ νοῦς ἢ λόγος ἐφίκοιτ' ἂν τοῦ ἀκαταλήπτου καὶ ἀπεριλήπτου καὶ ὑπὲρ πάντα μηδενὶ προσιτοῦ; Καὶ καλῶς ἔφη καὶ τῶν Ἑλλήνων ὁ καὶ πλέον πάντων καὶ μᾶλλον σοφός, « Τί μὲν οὐκ ἔστι Θεός » λέγων, « οἶδα », τουτέστι τῶν ὄντων καὶ νοουμένων οὐδέν· « τί δ' ἐστὶν, οὐκ οἶδα. » Περὶ ὃ τοίνυν ἔχομεν ὑδὲν εἰδέναι, πῶς ἡμῖν ἀσφαλὲς προχείρως καὶ θρασέως,

(1) Si nihil perierit, e superioribus repetendum ἐστὶν εὑρεῖν.

ἵνα μὴ τἀληθὲς λέγω, ἀμαθῶς καὶ σφαλερῶς καινὰ θεολογεῖν;

Τούτου δὴ τοῦ τολμήματος καὶ τῆς τοιαύτης καινοτομίας τῶν δογμάτων ὑπῆρξαν ἀρχηγοὶ καὶ πρόσταται, οἱ δὴ καὶ τἆλλα κατ' ἐξουσίαν αὐτονομοῦσι, καὶ οὐκ ἔστιν αὐτοῖς οὐδὲ τῶν πάνυ φοβερῶν εὐλαβητέον οὐδέν. Ταύτῃ τοι καὶ ἡμεῖς ἐπὶ μακροὺς ἤδη τοὺς χρόνους αὐτῶν ἀποῤῥαγέντες τὴν κοινωνίαν ἐφύγομεν, ἡμέρως μὲν καὶ πρόσηνῶς· ἐπ' ἀσφαλοῦς δ' ὅμως ἦμεν τῆς ὁμολογίας καὶ τῆς εὐσεβείας ἱδρυμένοι, καὶ προσευόντες τὰ τῆς ὀρθὰ φρονούσης ἐκκλησίας. Καὶ αὐτὴ δ' εἰσήκει παλίωσ ἐπὶ τῶν κριτηρίων αὐτῆς, τῶν εὐαγγελικῶν δηλονότι καὶ ἀποστολικῶν καὶ πατερικῶν παραδόσεων, ὑπ' οὐδενὸς τῶν ἑτεροδοξούντων μήτ' ἐνοχλουμένη, μήτε ταρατ̣τομένη, μήτε σαλευομένη. Εἶτ' ἐγείρεται καὶ' αὐτῆς σφοδρὸς κλύδων καὶ σάλος καὶ τάραχος, καὶ σάσις πάντα δονοῦσα, καὶ πόλεμος ἐκ τῶν οἰκείων, τὸ χαλεπώτατον, τῆς κοσμικῆς ἀρχῆς λέγω καὶ ἐξουσίας καὶ τῶν ἐπὶ τῆς ἐκκλησίας προεδρευόντων ὥσπερ ὑπ' ἐκείνων τῶν τὰ σφαλερὰ δογματιζόντων περὶ τοῦ Πνεύματος στρατηγῶν δή τινων κεχειροτονημένων, καὶ γοῦν προμαχεῖν ὑπὲρ αὐτῶν βεβλημένων (1).

Τοίνυν καὶ ὡς ἐξ ὕπνου, πάλαι ποτὲ τῶν χρόνων κεκρατηκότος καὶ καθεξῆς ἀεὶ κατέχοντος, ἢ κάρου βαθέος ἀνενεγκόντες, τοὺς ὀφθαλμοὺς ἀπολείψαντες, ἐπὶ τὰς ἱερὰς ἐγκύψασι βίβλους, νομίσαντες ἐκεῖνον αἰῶνα τὸν ἅπαντα ἐξοφωμένως καὶ πλημμελῶς ταῖς

(1) Puto scripsisse auctorem προβεβλημένων. Sæpe librariis excidcrunt præpositiones. Julianus Misop. p. 355 : εἰς αὐτοὺς ὑβρίζοντες τοὺς ἄρχοντας. Cod. 3054, ut Vossianus, ἐξυβρίζοντες. Ælianus

γραφαῖς ὁμιλεῖν, καὶ διὰ τοῦτο τὸν ἐγκεκρυμμένον αὐταῖς νῦν βοηθῶνία τοῖς πρὶν μὲν ἀτόποις δοκοῦσι, νῦν δ' ἀσφαλέσι δογματισταῖς, μὴ τρανῶς αὐτοὺς μηδὲ καθαρῶς ὁρᾶν ἐξισχύσει. Τί γοῦν; λεξείδια ἄλλος ἄλλα ἐρανιζόμενοι καὶ συμπλέκοντες, καὶ τὸν ἐν αὐτοῖς νοῦν διαφθείροντες, ἢ ὡς ἀγνοοῦντες ἢ ὡς κακουργοῦντες, καὶ κατὰ τὸ σπουδαζόμενον αὐτοῖς ἐκλαμβάνοντες, πάντες εἰσέφερον, μισθοῦ χάριν καὶ δι' ἀντίδοσιν. Καὶ ἦν ἡ ἐπὶ τούτῳ σπουδή, οὐχ ἵνα τὴν τῶν μαρτυρίων Κυρίου σκηνὴν (1) ἢ πήξωσιν ἢ πεσοῦσαν ἐγείρωσιν, ἀλλ' ἵν' ἱσταμένην καὶ τὸ ἑδραῖον καὶ πάγιον καὶ ἀκατάσειστον ἔχουσαν βάλωσι κάτω, καὶ χώραν ἐπ' αὐτῆς δώσουσι πόδας μὲν αἰσχροὺς καὶ βεβήλους πατεῖν ἀντὶ τῶν ἁγνῶν καὶ ὡραίων τῶν τὰ τῆς ἀληθείας εὐαγγελιζομένων (2), χεῖρας δ' ἀναγεῖς κατὰ τῶν παναγεστάτων τολμᾶν, γλώσσας δὲ βλασφήμους ἐπὶ τοῦ βήματος τὰ μυστικὰ καὶ ἁγιάζοντα διεξιέναι καὶ φθέγγεσθαι.

Πρῶτον μὲν γὰρ τὸ πρᾶγμα οἰκονομίαν ὠνόμασαν καὶ πραγματείαν εἰρήνης, ἰσχυρῶν ὄντων τῶν ἐκ τῆς Ῥώμης (3), ὧν καὶ τὰ σφαλερὰ δόγματα, καὶ τὰ μεγάλα βλάβη δεδυνημένων, καὶ δῆτα τὴν ἀπ' ἐκείνων ῥῆξιν καὶ φυγὴν ἡμῶν ἐγκαλούντων καὶ πάντα τὰ χείριστ' ἀπειλούντων καὶ μελετώντων καθ' ἡμῶν καὶ συσκευαζόντων. « Καὶ τί δεινόν », ἔφασαν οἱ τὴν εἰρήνην ταύτην

Tact. p. 4 : βεβαιούμενος λέγω· cod. 2540 : διαβεβαιούμενος λέγω.

(1) Alludit ad arcam testimonii de qua mentio toties in Exodo.

(2) Epist. ad Roman. x, 15 : καθὼς γέγραπται· ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην. Cf. Isaï. LII, 7.

(3) Theologi scilicet, qui Papæ ac Romanæ ecclesiæ de processione S. S. opiniones tuebantur.

πραγματευόμενοι καὶ οἰκονομοῦντες, « εἰ, μηδὲν ἡμῶν
» προδεδωκότων μήτε τῶν ὀρθῶν δογμάτων μήτε τῶν
» κατ' ἔθος νενομισμένων, ἀλλ' ἐπὶ τούτων ἀσφαλῶς
» καὶ ἀμεταχινήτως καὶ ἀπερίπλεως ἑστώτων, τοὺς
» πολεμοῦντας καταλλάξομεν, ἑνὸς μόνου παραχω-
» ρήσαντες, μνήμην ἐπὶ τοῦ βήματος τοῦ πρώτου
» ἐν ἐκείνοις ἀρχιερέως (1) ποιεῖσθαι »; Καὶ ἦν, ὡς
εἰπεῖν, τοῦτο, πρόσχημα τοῦ κρυπτομένου, καὶ δέ-
λεαρ ἦν, ἵνα, τῆς καθ' ἡμᾶς ἐκκλησίας εἰσδεξαμένης,
διὰ τούτου ταύτην θηρεύσωσι καὶ πρὸς ἑαυτοὺς ὅλην
ἑλκύσωσιν.

Ὡς δ' οὐδὲν οὐδαμῶς αὐτοῖς τὸ πρᾶγμα προ-
χωρεῖ, μηδ' ἐξέβαινε πρὸς ὅπερ ἠβούλοντο, τῶν ὀξέως
τὸ μέλλον ὁρώντων ἀπιβαινόντων καὶ σφαλλόντων καὶ
μὴ καταδεδεγμένων, ὁ τοῦ καιροῦ τότε ἀρχιερεὺς
Βέκκος τῷ βασιλεῖ προσιών, « Οὐ καλοί τινες ἡμεῖς
» οἰκονόμοι τοῦ ζητουμένου καὶ σπουδαζομένου » φησί,
« βασιλεῦ· σφαλερὰ τοὺς ἐκ τῆς Ῥώμης δογματίζειν
» ἡμᾶς ὑποτιθεμένους, εἶτα πειρᾶσθαι πείθειν ἢ βιά-
» ζεσθαι κοινωνοὺς αὐτοὺς λαμβάνειν τοὺς φεύγοντας
» ἐξ αὐτῶν καὶ ἀποτρεπομένους· τοῦτο γάρ ἐστι τῇ
» μὲν ἕλκειν ταῖν χερσῖν, τῇ δ' ἀπωθεῖσθαι· ἀλλὰ
» χρὴ μᾶλλον ἡμᾶς μεῖ' ἐκείνων φανερῶς συσῖῆναι, καὶ
» συνηθρῆσαι τοῖς δεδογμένοις καὶ ὑπ' αὐτῶν λεγο-
» μένοις, καὶ τοῦτον δὴ τὸν τρόπον μᾶλλον τὸ πᾶν
» ἀνύσαι. » Ταῦτ' εἶπε, καὶ εἰπὼν πείθει.

Ἦν δ' ὁ νοῦς τοῦ σχέμματος τῷ ἀρχιερεῖ, ὃ κατὰ
τὸ λεχθὲν τοῦτο μόνον, ἀλλά τι περιεργότερον καὶ
πλεῖον ἔτι κεῖρον καὶ κακὸν ἐν ἑαυτῷ κρύπτον· δεινὸς

(1) Scilicet Papæ nomen in officio celebrando commemorare.

γὰρ ἦν ὁ ἀνὴρ καὶ κακουργῆσαι καὶ δυνηθῆναι λαθεῖν καὶ τὴν κακουργίαν κλέψαι (1). Τί δ' ἐστὶν ὃ λέγω; Πολλὴν οἶδε καὶ γενναίαν τὴν ἔνστασιν τῶν ἀντικαθισταμένων αὐτῷ καὶ ἀντιλεγόντων, καὶ δή γε καταπαλαιόντων καὶ περιτρεπόντων. Ὡς γοῦν τῆς ἐκ τῶν λόγων ἀπέγνω πειθοῦς, ὅλην τὴν ὁρμὴν ἐπὶ τὸ βιάζεσθαι τρέπει, καὶ τό γε κολάζειν, καὶ τοὺς μὴ πειθομένους τιμωρεῖσθαι. Ἵν' οὖν μὴ δοκῇ τοὺς ὑπὲρ ἀληθείας ἀγωνιζομένους ταῦτ' ἀδίκως πάσχειν, ἀλλ' ὡς κακούργους ἐνδίκως κολάζεσθαι, βουλὴν ταύτην βουλεύεται πονηράν, καὶ ὠδινήσας ἀδικίαν οὐ κατ' ἀνθρώπων μόνον μηδὲν ἡμαρτηκότων, ἀλλά τι καὶ κατ' αὐτοῦ τοῦ Θεοῦ ὑπὲρ οὗ τούτοις τὸ πάσχειν, συλλαμβάνει πόνον καὶ τίκτει ἀνομίαν (2).

Ἀλλ' οὐδὲ τοῦτ' ἔφαγη κατὰ γνώμην αὐτῷ οὐδαμῶς εἰς τέλος ἀπηντηκός. Ἔλαθε γὰρ ἑαυτὸν θερμοτέρως ἐντεῦθεν πεποιηκὼς τοὺς ἀγωνιζομένους ὑπὲρ Θεοῦ, καὶ περισπαλαίοντας καὶ ἀντικαθισταμένους αὐτῷ.

Τούτων εἷς γίνεται, ἵνα μὴ λέγω καὶ πρῶτος, ὁ νῦν ἡμῖν εὐφημούμενος, ὁ τοῦ Χερσίου μέγας καὶ γενναῖος ὁπλίτης, καὶ πόρρωθεν ἐγγεγυμνασμένος πάντα καὶ παθεῖν καὶ παθεῖν, μὴ ὅτι γε κινδυνευούσης τῆς ὀρθῆς ὁμολογίας, ἀλλά τι καὶ ὑπὲρ τῶν ἐντολῶν καὶ τῶν λοιπῶν περισμάτων αὐτοῦ. Γίνεται δὲ πῶς; Ἐπειδὴ πανταχοῦ τῆς καθ' ἡμᾶς γῆς περισπάσματα ἤπλωτο καὶ βλασφημοῦντος πατριάρχου θεσπίσματα, ἢ πάντας περισέρχεσθαι καὶ τῶν βεκκικῶν, ἴσον δ' εἰπεῖν

(1) Vide quam atroci stylo in Veccum debacchetur et supra t. II, p. 54. Adeo sunt acres theologorum hominum iræ.

(2) Psalm. VII, 14 : ὠδινήσεν ἀδικίαν, συνέλαβε πόνον καὶ ἔτεκεν ἀνομίαν. Isai. LIX, 4 : κύουσι πόνον, καὶ τίκτουσιν ἀνομίαν.

καὶ λατινικῶν, ἵνα μὴ τἀληθὲς λέγω ὅτι καὶ πολλῷ χειρόνων καὶ σφαλερωτέρων, δογμάτων γίνεσθαι, ἢ τοὺς μὴ βουλομένους καὶ πατρίδος καὶ πάντων τῶν οἰκείων ἐξωθεῖσθαι, καὶ γῆν ὑπερορίους ἐλαύνεσθαι, κλήσεις πάσας περιῃρημένους καὶ πάντα πράγματα (1), μηδὲ τῶν σωμάτων αὐτῶν φειδομένους τοὺς διώκοντας (2), καὶ χρήματα ἁρπάζοντο καὶ κτήματα δὴ πάντα, καὶ οἶκοι ἐδημεύοντο· ἐπεὶ ταῦτα φθάνει δή που καὶ ἐς αὐτὴν τὴν τούτου πατρίδα, ἦν δὲ τότ' εἰκοσιὸν πέμπτον ἔτος ἄγων τῆς ἡλικίας, καὶ τάξεως τῶν διακονούντων ἐπὶ τῷ βήματος, γυναικὶ συνοικῶν καλῇ τὸ εἶδος, καλλίονι τὸν τρόπον.

Ταύτῃ καὶ οἴκῳ καὶ τοῖς κατ' οἶκον πᾶσιν ἀποταξάμενος, ὑπερόριος εἰς ἐρήμους ἀνθρώπων καὶ ἀοικήτους ἐλαύνεται (3), μηδὲν πλέον μεθ' ἑαυτοῦ φέρων ἢ χλαῖναν μόνην ἐξ εἰρίων τραχέων καὶ τρυχόντων πεποιημένην, μὴ σκέπης ἐκεῖ εὐπορῶν, μὴ ἄρτου, μὴ ἄλλου τινὸς τῶν πρὸς τροφὴν καὶ λύσιν λιμοῦ, ἕτνους δὲ μόνου, κόκκοις, ἐς ὀλίγον καὶ τούτοις ἠριθμημένοις, εἴκοσι καὶ δύο ἑκάστης ἡμέρας τρεφόμενος, διὰ χειρὸν καὶ

(1) Jungit sæpius κτήματα, vel χρήματα καὶ πράγματα, ut et fiet statim, et infra non semel : cf. t. II, pp. 105, 481. Sic Niceph. Gregoras Hist. VII, 9, 2 ; Eustathius in Hexaem. pag. 98.

(2) Locus fit impeditior, et videtur nonnihil excidisse, quo syntaxis fulciebatur.

(3) Exspectabam τόπους, quod nomen occurret in loco non dissimili p. 208, 3. Nil mirum omissum esse nomen a librario. Sic facere solent. Photius Bibl. § 260, p. 1456, 12 : Δημοσθένης δὲ προσῆλθε μὲν αὐτῷ μετὰ σπουδῆς, καὶ χιλίας μὲν ἂς εἰσπράττειν οὐκ ἔχειν παραχεῖν. Codex 2967, οὐκ ἔχειν ἔφη παρασχεῖν, ut fuerat ab editore olim conjectum. Idem § 262, p. 1460, 55 : θαυμάζονται μέντοι γε αὐτοῦ ἄλλοι λόγοι καὶ δὴ καὶ ὁ πρὸς Διογείτονα· codex, ἄλλοι τε πολλοὶ λόγοι. Rursus p. 1461, 8 : καὶ ἁπλῶς ὁ λόγος ἄξιος θαυμάσαι· codex, ὁ λ. ὅλος ἄξ. . .

ταῦτα τινὸς δόντος. Καὶ ἐπὶ συχναῖς ἦν ἡμερῶν τὸν τρόπον τοῦτον ταλαιπωρῶν.

Ἐκεῖ καὶ τῶν ἄλλων ἀθλητῶν τοῖς ὀνομαστοῖς καὶ κλέος ἐσχηκόσιν εὐτυχῶν, γνησίως συζήνεται. Ἐκεῖ καὶ ὁ Σατανᾶς πειράζειν αὐτὸν ἤρξατο πρὸς ἐπιθυμίαν ἄγων καὶ μνήμην τῆς καλῆς ἐκείνης καὶ φιλάνδρου γυναικός. Ὁ δ' ἦν αὖθις ἰσχυρῶς πρὸς τὸν πειράζοντα παρατατόμενος, νηστείαις ἐπὶ πλέον κεχρημένος καὶ κλίσεσι γονάτων, καὶ παννύχοις στάσεσι, καὶ δεήσεσι πρὸς Θεόν, καὶ τήξει σώματος καὶ μαρασμῷ σαρκὸς, καὶ πρωσευχαῖς συνεχέσι βάλλων τὸν ὑβριστὴν, καὶ συχνὰ κατεπάδων τοῦ δαίμονος. Εἶτα τί; Φέρων ἑαυτὸν ὑποκλίνει ἀθλητῶν τῶν εἰρημένων τῶν αὐτῶν καὶ ἀσκητῶν ἑνὶ, τῷ καὶ τὰ πρῶτα τῶν ἄλλων φέροντι, καὶ ὑπ' αὐτῷ τὰ πάντα τοῦ λοιποῦ τετάχθαι δυσωπεῖ, καὶ τὸν πειρασμὸν ἐξαιτέλλει, καὶ καθικετεύει τοῦ πειράζοντος αὐτὸν ἐκεῖνον ταῖς εὐχαῖς ἐξελέσθαι βουληθῆναι. Ὁ δὲ δέχεται· καὶ ὁ διάβολος ὑποχωρεῖ.

Καὶ οὗτος τὸν κατὰ Θεὸν βίον, πρᾶξιν ὁμοῦ καὶ θεωρίαν, καὶ νῆψιν νοὸς, παρ' ἐκείνου, εὖ μάλα καὶ καλῶς καὶ οἱονεὶ καθ' ἐπιστήμην εἰδότος, διδάσκεται. Καὶ δὴ τὰ τῆς τοιαύτης διδασκαλίας δεξάμενος σπέρματα, γῆ τις ὥστερ πίων καὶ καλὴ καὶ καρπῶν ὑπερφυῶν καὶ μεγάλων ἐρρωμένη πρὸς γονὰς, οὐκ εἰς τριάκοντα μόνον καὶ ἑξήκοντα, ἀλλ' εἰς ἑκατὸν καὶ πλέον ἐκαρποφόρησε (1) πόνοις καὶ ἱδρῶσιν ἀσκητικοῖς,

(1) Respectu ad parabolam seminatoris apud Matth. XIII, 8: ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλήν· καὶ ἐδίδου καρπὸν, ὃ μὲν ἑκατὸν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα. Conf. Marc. IV, 8.

καὶ νῷ καθαρότητι καὶ ὀξύτητι, ἐξ ἐργασίας καὶ πράξεως ἀντελῶς ἐς αὐτόν γε σφρεφόμενος αὖθις τὸν νῶν, καὶ τὴν μὲν σάρκα μαραίνων καὶ ὑποσπῶν, αὐτὸν δὲ κουφίζων καὶ ἀναπίερῶν, ὥσθε καὶ ῥᾳδίως ἔχειν ἄνω φέρεσθαι καὶ τῶν ἐκεῖ θεαμάτων καὶ τοῦ κάλλους αὐτῶν, καὶ δὴ καὶ τῆς ἀπολαύσεως καὶ τρυφῆς καὶ ἀγαλλιάσεως, γίγνεσθαι. Ἐπὶ διπλοῦν γὰρ αὐτὸν τὸν ἀγῶνα σχιζόμενος, πράξεως δηλονότι τὸ πᾶν καθορθῶν καὶ νοῦν ἀνυφοῦν, ὁ πολὺς οὗτος καὶ μέγας καὶ πρὸς πάντα τῶν καλῶν αὐτάρκης καὶ ἀποχρῶν, αὐτῶν μὲν τῶν καθ' ἀρετὴν σπουδαζομένων οὐδὲν ὑδενὸς οὐδέποτ' ἐνέλιπεν· ὑδ' ἦν ἐγκόπιον αὐτὸν οὐδὲν καὶ τῇ σπουδῇ σκῶλον παρεισιάμενον, οὔτ' αὖ τὸν νῶν καθασπῶν καὶ συγχέον καὶ ἀμαυρῶν καὶ ἀφαιρῶν τῆς ἐλλάμψεως καὶ τῆς πρὸς Θεὸν ἀναβάσεως, οὐ καιρὸς, οὐ τόπος, ὅκ ὄχλος περιχεχυμένος καὶ θορυβῶν καὶ ταράττων ἔκ τινων συμπιπλόντων καὶ δυναμένων ὑπεκλύειν καὶ μεθέλκειν καὶ μεθιστᾶν. Καὶ γὰρ φευκτῆς ἐγκαθειργμένος ἔστιν ὅτε, καὶ συγκεκλεισμένος ἅμα πολλοῖς ταράττουσι καὶ ταραττομένοις καὶ θορυβοῦσι καὶ θορυβουμένοις ὑπὸ διαφορᾶς πρὸς ἀλλήλους καὶ φιλονεικίας, ὡς εἴωθε συμβαίνειν πολλῶν ἐς ταὐτὸν συνιόντων, τρόπῳ καὶ γνώμης καὶ σπουδάσματος ὄντων οὐ τῶν αὐτῶν, ἐκεῖνος ἦν ἀνεστηλωμένος Θεῷ, καὶ τὸν νοῦν εἶχεν ἐκεῖθεν ἐξηρτημένον καὶ τοῖς ἐκεῖ προσέχοντα, τῆς θεωρίας ἐκείνης καὶ τοῦ φωτισμοῦ καὶ τῆς ὁμιλίας ἐμφορούμενος καὶ αὖ ὅλος γιγνόμενος, μηδεμιᾶς τῶν αἰσθήσεων, μηδὲ τῶν σωματικῶν μηδενὸς πρὸς ἑαυτὸ μήτε καθέλκειν δεδυνημένου, μήτ' ἐπισφρέφοντος, ὅκ ἀκοῆς βαρέως καὶ συχνὰ θλιβομένης, οὐκ ὄψεως μεθελ-

κούσης καὶ βιαζομένης πρὸς αὐτὴν στρέφεσθαι, οὐ γεύσεως ἐπιζητούσης ἡδύτητας, οὐκ ἄλλου τινὸς τῶν θελγόντων καὶ γοητευόντων καὶ νῦ κλεπτόντων ἐνέργειαν. Ἀλλ' ἦν ὥσπερ τις ἀνδριὰς ἐξ ἀνθρωπίνῃ μορφῆς μηδεμιᾶς μηδαμῶς μετέχων αἰσθήσεως.

Ἦν καὶ τῷ διδασκάλῳ καὶ καλῶς ἄγοντι τὰ πρὸς γνώμην καὶ βούλησιν ἐπιμελῶς ἐξυπηρετούμενος, ἄνω γε ἀεὶ βλέπων, καὶ τῶν κάτω Θεὸν θεραπευόντων μή τί γε μηδαμῶς ἀφιστάμενος. Ὑπήκουε, βαδίζειν τοῦ διδασκάλου κελεύσαντος· καὶ δῆτα, τὴν πορείαν οὕτω κατὰ χρείαν ποιούμενος, οὔτ' εἰς δεξιὰ οὔτ' εἰς ἀριστερὰ τὰς ὄψεις ἦν κλίνων ἢ τὰς τοῦ νῦ κινήσεις συμμετακλίνων. Ἀλλ' οἱ μὲν πόδες εἶχον τὴν γῆν, οἱ δ' ὀφθαλμοὶ τούτους ὁδηγοῦντες περιέτρεχον, νοῦς δ' ὢν οὐρανοῖς ἦν στρεφόμενος καὶ τὰ ἐκεῖ πάσχων ἢ τὰς ἐλλάμψεις δεχόμενος. Εἰ δέ ποτ' ὄψις παρασυρεῖσα ἔλαθέ τι θεασαμένη τῶν αὐτῷ γε μὴ κατὰ βάλησιν, καὶ τὴν ἔτω κλαπεῖσαν ὄψιν ἐξέθλιβε δάκρυσι, καὶ τοῦ κλέψαντος πολύς τις κατεξανίστατο, διὰ προσοχῆς ἁπάσης τῷ λοιποῦ καὶ τῆς κατ' αὐτῷ πλείστης ὅσης εὐχῆς ἀμυνόμενος. Ἐσπούδαζε γὰρ ἀεὶ μύειν τὰς αἰσθήσεις ἢ αὐτὰς δὲ τὰς ὄψεις κολάζειν, ὡς ἂν δὴ νοῦς ἀσυγχύτως καὶ ἁπλανῶς βλέπῃ ὧν δὴ καὶ μόνων ὀρθῶς καὶ καλῶς ἐπεθύμησε. Ταύτῃ τοι καὶ τῶν τρυφὴν τοῖς ὀφθαλμοῖς ἐχόντων ἐπ' οὐδενὸς ἦν αὐταῖς ταῖς ὄψεσι χρώμενος, ὅδ' ἂν εἴ τις ἐξ ἀγάπης ἐσπούδασεν ἕλξαι, καὶ γ' ἐπὶ πλεῖστον διεγένετο βιαζόμενος· αὐτοῖς δὲ μόνοις τοῖς κατὰ χρείαν καὶ ὧν ἦν ἀνάγκη τὰς ὄψεις ἐπέβαλλε· τοσοῦτον ἐκεῖνος πᾶσαν ἐρρύθμισεν αἴσθησιν ἢ τῷ νῷ δουλεύειν καθυποκλίνας

ὑπέταξε, καὶ εἶχεν οὕτω σπουδῆς συντόνου καὶ συνεχοῦς ἐπιμελείας καὶ προσοχῆς, πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας τῶν ἐπιβουλευόντων πονηρῶν πνευμάτων (1) ὑπὸ Θεῷ σωτῆρι καὶ Πνεύματι Ἁγίῳ παραταττόμενος.

Καὶ τοίνυν τοῦ κατ' αὐτὸν βίου καὶ θαύματος πανταχόσε διαδραμόντος, καὶ τῆς φήμης ἅμα μὲν ὑμνούσης τὴν ἀρετὴν, ἅμα δὲ καὶ καταμηνυούσης τὸ πλέον μέρος τῶν ἐναθλούντων καὶ ὑπὲρ εὐσεβείας ἀγωνιζομένων αὐτὸν ἔχειν κοινήν τινα γλῶσσαν καὶ μεγάλην ὑπόθεσιν εἰς παράθηξιν καὶ στηριγμὸν τῆς ἐνστάσεως καὶ καρτερίας αὐτῶν, φθάνει ταῦτα καὶ ὁ βασιλεὺς πυθόμενος, καὶ σπουδὴν ποιεῖται πρὸς ἑαυτὸν ἀγαγεῖν καὶ πεῖραν αὐτοῦ λαβεῖν, καὶ ἢ ἑλεῖν, ἢ μὴ πειθόμενον ἑτέρῳ χρήσασθαι τρόπῳ κατὰ τὸ ἐκείνῳ δοκοῦν. Καὶ πέμπει τοὺς ἄξοντας.

Καὶ ὃς παρῆν, καὶ παρέστη τῷ βήματι, εὐτελὴς μὲν τὰ ἔξω καὶ ὅσα τὰ τοῦ προσχήματος καὶ τῷ βασιλεῖ ὁρατὰ, λαμπρὸς δὲ τὰ ἔνδον καὶ ὅσα Θεὸς ὁρᾷ καὶ τούτοις ἐστὶν ἐνηδόμενος. Ἐπεὶ δὲ παρέστη, περὶ ἑτέρου μὲν οὐδενὸς, περὶ δὲ τῆς πατρίδος αὐτοῦ ἠρωτᾶτο καὶ γένους, καὶ πόθεν εἴη καὶ τίς, οὐχ ὡς ἀγνοοῦντος τοῦ ἐρωτῶντος, ἀλλ' οὕτω δόξαν αὐτῷ. Καὶ ὃς μετὰ γενναίου καὶ ἀπεριτρέπτου φρονήματος, « Οὐ περὶ τούτων χρεία νῦν, βασιλεῦ, οὔτ' ἐρωτᾶ-
» σθαί με νῦν, οὔτ' ἀποκρίνεσθαι· ἀλλ' οὗ γε χάριν
» ἤχθημεν καὶ τῷ σῷ παρέστημεν βήματι. »

(1) Respectu ad verba Pauli Epist. ad Eph. VI, 12 : ἡ πάλη... πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας.

Καὶ ὁ βασιλεύς· « Τίνος δὴ λέγεις τούτου »; Καὶ ὅς, « Ὑπὲρ Χεισίθ » φησί, « καὶ τῆς ὀρθῆς ὁμολογίας » τῆς παρ' αὐτοῦ δοθείσης ἡμῖν. » — « Τί δέ σοι δο- » κοῦμεν τυγχάνειν ἡμεῖς; οὐχὶ χεισίανοί; Καὶ μήν, » εἴ γε βούλει, καὶ ὅρκοις ἂν πιστωσαίμεθα χεισία- » νὸς τυγχάνειν ἡμᾶς. » Ὁ δέ· « Οὐχ ὅρκοις κὴ λόγοις, » ἔργοις δὲ κὴ σφάγμασι, χρὴ πιστοῦσθαι τὴν ἀλή- » θειαν. » — « Τί δὲ σύ » φησίν, « ἐπὶ τῶν ἔργων » αὐτῶν ἔχεις ἡμῶν καταγνύς; » Καὶ ὁ τῆς ἀληθείας (1) αὖθις, μετ' ἀκαίρου πλήκτου τῆς παῤῥησίας, « Ὅτι » φησί, « τὰς ἱερὰς γραφὰς διαστρέφοντες. » Καὶ ὁ βασιλεύς, θυμοῦ καὶ ὀργῆς (2) εὐθὺς ἐμπλησθείς, « Τὰς ἱερὰς γραφάς! » ἐξεβόησε, « τὰς ἱερὰς ἡμεῖς! » καὶ τοῦτο πολλάκις τῷ θυμῷ ὑπερζέσας.

Καὶ οἱ μὲν παρεστῶτες, τῷ ἐκείνου θυμῷ καὶ τῇ ὀργῇ χαριζόμενοι, κατὰ τοῦ τάληθῆ λέγοντος καὶ μαρτυροῦντος ὥρμησαν, ῥῆξαι καὶ διασπάσαι καὶ μερίσασθαι σπουδὴν ἔχοντες. Καὶ οἱ μὲν σφοδρῶς κατὰ τοῦ προσώπου καὶ τῆς κόῤῥης ἦσαν πατάσσοντες· οἱ δὲ τῶ χιτῶνος ἐπιλαβόμενοι, ἄλλοι τῶ πώγωνος, εἰς αὐτὸν ἐνυβρίζοντες, εἶλκον, μεθεῖλκον, καθεῖλκον, κατὰ γῆς ἔσυρον, πληγὰς ἐπετίθουν, καὶ μασιγθῦντες ἤλασαν ἔξω.

Καὶ ἦν δὴ ταῦτα παθὼν καὶ καρτερήσας γενναίως, ὁ ἀδάμας ἐκεῖνος ἐπὶ τοιαύταις ταῖς πάλαις καὶ τοιούτοις τοῖς ἀγωνίσμασιν. Εἶτ' ἦν ἐκεῖ που παραῤῥιφείς.

(1) Fors. ἀληθείας μάρτυς.

(2) Sæpe junguntur θυμὸς καὶ ὀργή, quæ sunt fere synonyma. Andronicus De passion. p. 743: θυμὸς δὲ, ὀργὴ ἀναρχομένη· imo ἐναρχομένη, ut est in cod. 2131. Vide not. ad Herod. Epimer. pag. 60.

Τῶν δὲ μεγάλων ἀρχιερέων ὅσις τότε παρῆν (ὁ τῆς Ἀλεξανδρέων (1) δ' ὅτος ἦν), σχῆμα σπλαγχνιζομένου καὶ παθαινομένου καὶ περιαλγοῦντος πλασάμενος, λόγοις περσηνέσι καὶ φιλανθρώποις ἐπειρᾶτο πρὸς ἑαυτὸν ἑλκύσαι, καὶ μεταπεῖσαι καὶ εἰσποιήσασθαι. Καὶ δῆτ' ἐξ ὀνόματος μετά τινος σχέσεως αὐτὸν ἐκάλει, μήπω τότε τὸ τῶν μοναχῶν περιθέμενον σχῆμα, εἰ καὶ πάντας τοὺς ἐν τούτῳ καταγηράσαντας ἀσκητικοῖς δρόμοις καὶ σπουδάσμασι παραδραμὼν ὑπερήλασε· καὶ, τὰς ἀγκάλας ὑπανοίξας, γενέσθαι τούτων ἑνὸς παρεκαλῶν ἔσπευδεν. Ὁ δὲ πρὸς αὐτὸν οὐδὲν ἕτερον, ἀλλ' ἐκεῖνο μόνον περιφόρως τὸ τοῦ Δαυίδ (2)· « ἀπόστητε ἀπ' ἐμοῦ, πάντες οἱ ἐργαζό-» μενοι τὴν ἀνομίαν. »

Εἶτα τί; ἐπὶ φερυρὰν αὖθις πέμπεται, καὶ διακαρτερεῖ κἀνταῦθα χρόνον οὐχὶ μικρόν. Ἐπεὶ δὲ πάσης πείρας περιβαλούσης αὐτῷ ἀεὶ κρείττων ἦν, καὶ μή τί γε μηδαμῶς ὑπ' οὐδεμιᾶς ἦν οὔθ' ἡττώμενος οὔθ' ἁλισκόμενος, καὶ γοῦν οἱ ἀποπειρώμενοι παντάπασιν ἀπεγνώκεσαν, δυσωπεῖ τούτους καὶ ἡ τοῦ ἀνδρὸς ἀρετὴ καὶ τὸ πᾶσι κατ' αὐτὴν θαυμαστόν· καὶ τῆς εἱρκτῆς ἀπολύουσι, καὶ ἀνεῖται τούτῳ βαδίζειν ὅποι καὶ βούλοιτο.

Ὁ δὲ, τιμῶν περὶ τῶν ἄλλων τὴν ἑαυτοῦ παιδείαν, δεῖν ἔγνω πρὸς ταύτην ἐπανιέναι. Καὶ γοῦν ἐπάνεισιν.

Ἀλλὰ περὶ μὲν τοῦτο, οἷόν με μικροῦ καὶ διέφυγεν, ἐκπεσὸν τῆς συνεχείας τοῦ διηγήματος (3). Ἀλλ' ὅδὲν

(1) Consulat Lequienii Orientem, qui librum habet et otiolum.

(2) Psalm. VI, 8.

(3) Eugenicus Laudat. Trapez. § 17 : ἀλλ' οἷον ἤδη μικροῦ με παρέδραμεν, ἄξιον ὄν, εἴπερ τι, προσ-

ἴσως θαυμαστὸν εἰ, τοσούτων καὶ τοιούτων ἐπεισρεόντων τῷ λόγῳ, καὶ τούτων ἑκάστου οἷόν τε (1) ὄντος πρὸς ἑαυτὸ μεθέλκειν (2) καὶ πείθειν πρότερον περὶ αὐτοῦ λέγειν, ἔστι καὶ πολλὰ τῶν δεόντων ῥηθῆναι παραλιπεῖν. Καὶ ἅμα οὐδ' ἡμεῖς προυθέμεθα τοῦτο, πάντων δηλονότι τῶν ἐκείνου μνησθῆναι, καὶ ταῦτα δι' ἀκριβείας τῷ λόγῳ διεξελθεῖν (τοῦτο γὰρ καὶ παντὸς μᾶλλον ἀδύνατον), ἀλλ' ὥστε τοσοῦτον εἰπεῖν, ὅσον δὴ καὶ εἰπόντας ἔστι δόξαι τὰ εἰκότα ἐκείνῳ ἀφοσιώσασθαι. Ὃ δὲ νῦν λόγος ποιεῖν βούλεται·

Ἐκεῖνος ἐπὶ πᾶσι καὶ μικροῖς καὶ μείζοσι, καὶ χείροσι καὶ βελτίοσι, πολύς τις ἦν εἰς ἀσφάλειαν αἰεὶ μελὰ τοῦ μείζονος καὶ βελτίονος γίγνεσθαι· καὶ ὅρας ἐπινοῶν καὶ ἐξευρίσκων ἑαυτῷ ἐτίθει, τούτων ἐντὸς μένειν, καὶ μὴ παραλύειν μηδὲν, μηδὲ μεταχωρεῖν ἐκ τούτων, οὐδ' ἂν εἴ τι καὶ γένοιτο, οὐδ' ἂν εἴ τι καὶ πάθοι. Καὶ τοίνυν καὶ οἶκον πάντα ἰδιωτικὸν ἢ καὶ τῶν δοκούντων ἐνδόξων ἀπέκλεισεν ἑαυτῷ, καὶ μάλιστα καιρὸς ἦν ἐκείνοις τοῦ διωγμοῦ, ὥστε ἢ ἔν τινι (3) τῶν τοιούτων καταλῦσαι ἢ καταδέξασθαι μονὴν ἐν αὐτῷ, μηδ' ἐπὶ κλίνης τῶν τοιούτων τινὸς ἢ στρωμνῆς, ἐφ' ἧς ὕπνωσέ ποτε γυνὴ, ἀνακλιθῆναι καὶ ἐπὶ ταύτης ἢ καθεσθῆναι ἢ ἀναπεσεῖν. Καὶ τοῦτ' ἐτήρει διὰ παντός.

παθῆναι· imo προσλεχθῆναι. Choricius in Villois. Diatr. pag. 59: μικροῦ με παρῆλθε τοῦ τυραννικοῦ τὸ γύναιον ἐν ἀκροπόλει συνδιάγουσα τῷ παιδί· βαρεῖα δὲ μάλιστα δούλοις ἡ γυνὴ, μὴ παρόντος ἀνδρός, βοῶσά τε καὶ λοιδορουμένη, καὶ πᾶν ὅτι οὐκ προστάξειεν ὀξέως βουλομένη πληροῦσθαι. Bene codex 2967, δούλοις γυνὴ et ὁποῦν. Symmachus III, Epist. 6: « pene præterii quod fuerat inter » prima collocandum. » De hac figura rhetorica t. I, pag. 379; t. II, pag. XII.

(1) Codex, εἶου κ.

(2) Cf. similia t. I, pag. 316, not. 3.

(3) Forsan ὅτι μηδ' ἔν τινι.

Νυκτὸς δ' αὐτὸν καταλαβούσης τοῦ συνήθους ἔξω καὶ μακρὰν καταλύματος, ᾧ ἂν καὶ ἐντετυχήκει τόπῳ ἐρήμῳ συντυχίας καὶ ὁμιλίας ἀνθρώπων, ἐν τούτῳ δὴ καὶ κατέμενεν, ὑπὸ σκέπην τυχὸν σηρᾶς τινὸς ἢ ἑτέρου τοιούτου τοιχίσματος τὴν τῆς καταμονῆς χρείαν παρεχοῦντος αὐτῷ.

Καὶ δή ποθ' οὕτως ὑπὸ σηρὰν ἐρήμην ὑπνώττοντι δαίμων ἐφίσταται, φοβερὸς τὸ εἶδος, φοβερὸς καὶ τὴν ἀπειλήν, πέλεκυν ἐν χερσῖν ἔχων καὶ ἐπανατείνων, βάλλειν ἐς αὐτὸν ὡρμημένος μεθ' ὕβρεως τοῦ θύμου, μεθ' ὅτι πλείστης τῆς ἀγελιότητος. Καὶ ὃς εὐθὺς ἁπάντᾳ τῇ τοῦ σταυροῦ δυνάμει τὴν χεῖρα καθοπλίσας, τυπτοῦσαν αὐτὸν καὶ κατὰ τῶν δαίμονος βάλλουσαν (1). Καὶ ἦν ὁ φανεὶς φυγὰς εὐθὺς, καὶ ἀπῄει, σταυροῦ τοῦ τυπτωθέντος ἐλαύνοντος.

Ἕτερον αὖθις φάσμα καὶ δαίμων ἄλλος ἐπὶ μονῆς τῆς αὐτῆς, μέλας τὴν ὄψιν, ἐς ὅτι πλεῖστον ἀναρέχων τὸ τοῦ φαινομένου σώματος μέγεθος, ἰταμὸν καὶ ἄγριον ἑνορῶν, ὄχ ὡς τὸ πρότερον καθ' ὕπνον ἐκεῖνο, ἀλλ' ἐγρηγορότος καὶ τῇ συνήθει προσευχῇ προσανέχοντος, καὶ δή γ' ἐπεισπεσεῖν αὐτῷ τὴν ὁρμὴν ἔχων καὶ δρᾶσαι κακῶς. Ὁ δ', οὐδὲν καταδείσας, ἐξανέστη πρὸς ἄμυναν, χειρὶ μὲν δράξασθαι τῆς τοῦ φαινομένου χειρὸς προθυμούμενος, γλώττῃ δὲ κράζων μεγάλῃ καὶ τραχείᾳ τῇ φωνῇ· « Ἐνταῦθα Χριστός. » Καὶ ἦν ἐκεῖνος εὐθὺς διαπετεύων, καὶ φεύγων τὴν κλῆσιν

(1) De vi signi crucis tom. IV, pp. 296, n. 5; 342, 13. Cæcilius De mort. persecut. c. 10 : « imposuerunt frontibus suis immortale signum; quo facto, fugatis dæmonibus, sacra turbata sunt. » Conferri etiam poterit Athanasius Vita Anton. §§ 23, 35. Multus est ea de re Lactantius IV, 27.

καὶ τὴν ἐκ ταύτης αὐτὸν διώκουσαν δύναμιν (1). Ἱέραξ αὖθις γίνεται μεθ' ὑπερηχούντων κωδώνων καὶ μεγάλα φωνούντων τῇ σιαᾷ ἐμπετόμενος, καὶ ἄνω καὶ κάτω περιϊπτάμενος καὶ φερόμενος, τῆς περσευχῆς ἐξημμένον ἐκεῖνον, τὸν καὶ διὰ παντὸς τὸν νοῦν ταύτῃ συνάπτοντα καὶ μή τί γε μηδαμῶς ἀπὸ ταύτης σχολάζοντα, συσχέειν πειρώμενος καὶ ἀφισιᾶν. Ἀλλὰ καὶ αὖθις ὅπλῳ τῷ περτέρῳ καὶ τῇ δυνάμει ἐκείνῃ τῇ τοῦ σταυροῦ ἀπωσθεὶς ᾤχετο· καὶ παύει τοῦ λοιπὸν δι' ἑαυτοῦ πολεμῶν καὶ πτλώμενος.

Ἐπεὶ δ' ὁ ἰσχυρὸς κατ' αὐτὸν καὶ γενναῖος ὁπλίτης ἐπὶ τὴν πατρίδα τὴν ἑαυτοῦ ἐπανελθεῖν, ὅπερ ἔφημεν, δεῖν ἔγνω, καὶ ἐπανῆκε, πήγνυσι καλύβην ἐν ἀποκρύφοις, καὶ ταύτῃ φέρων ἑαυτὸν ἐγκλείει, ζῆν καταμόνας ἑλόμενος καὶ ἑαυτῷ μόνῳ καὶ τῷ Θεῷ περσταλεῖν, τῆς γυναικὸς ἔτι περιούσης τῷ βίῳ καὶ νεαζούσης, ὡς καὶ αὐτὸς ἐφ' ἡλικίας ἐτύγχανεν ἀκμαζούσης, ἐπὶ τὸ

(1) Quanta fuerit in dæmones vis Christi nominis docet vel Joasaphi exemplum supra t. IV, pag. 284. Athanasius Vit. Anton. § 40: *εὐθὺς ὁ πλιχοῦτος* (dæmon) *σὺν πασὶ τοῖς ἑαυτοῦ δαίμοσιν ἠφανίσθη ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ.* Id nomen dæmones urebat. Ibid. § 41, Satanas *ἀκούσας τὸ τοῦ Σωτῆρος ὄνομα, καὶ μὴ φέρων τὴν ἐκ τούτου καῦσιν, ἀφανὴς γίγνεται.* Vide Herald. p. 30, ad hæc Minucii: « oratio» nis incendiis de corporibus exi» guntur » ; Elmenh. pag. 69, et Ouzel. p. 169, ad hæc ejusdem: « adjurati per Deum verum et » solum » ; Elmenh. et Herald. p. 45, ad hæc Arnobii: « cujus » nomen auditum fugat noxios spiritus » ; rursus Elmenh. p. 91, ad hæc ejusdem: « cum ad Chri» sti paveant mentionem. » Addam Psellum, qui, De dæmon. p. 86, eum solum ab aeriorum dæmonum incursu liberari posse ait, qui pius sit *καὶ ὄνομα τοῦ Θεοῦ Λόγου ἐπᾴδοι σὺν δυνάμει θείᾳ.* Ibi Gaulminus de nomine Dei et Judæorum circa illud nugis cogitat, quum additum Λόγου Christum diserte significet. Ceterum fuit et magna Dei Abraham nominis potestas in incantationibus: vide eumdem Gaulminum ad Vit. Mosis p. 281, cum Heraldo ad Arnob. p. 40.

σεμνότερον κατὰ κόσμον σχήματος ὢν, μετὰ τῆς, ἧς ἔφημεν, ἀσκητικῆς ἀγωγῆς, ἢ, μᾶλλον εἰπεῖν, πολιτείας ἀγγελικῆς, τὸ τῶν μοναστῶν ταμιευόμενος ἔτι καὶ ὑπερτιθέμενος, ὡς ἂν καὶ ἐφ' ἀσφαλοῦς αὐτὸ καὶ σφόδρα ἐγγεγυμνασμένου θείη, τοῦ τελείου παντάπασι καὶ τὰ Θεὸν πολιτεύματος. Εἰ δὲ καὶ ἄλλο τι τὸ μυστήριον ἦν, ἐκεῖνος οἶδε καὶ ὁ τὰ κατ' ἐκεῖνον παντάπασι διεξάγων καὶ οἰκονομῶν καὶ κατευθύνων Θεός. Καὶ εἶχεν οὕτω καθάρσεως καὶ ἁγιασμοῦ καὶ πρὸς Θεὸν ἀναβάσεως.

Οὕτω δ' αὐτοῦ γ' ἔχοντος καὶ ἀεὶ ποθοῦντος τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι, καὶ ταῖς ἀΰλοις καὶ πανταπασιν ἀπαθέσι καὶ περὶ Θεὸν στρεφομέναις συνδιαιτᾶσθαι δυνάμεσι, τί ὁ ἐκεῖθεν ἐκπεσών, καὶ τοὺς ἐκ γῆς γεγεννημένους ἐκεῖ βλέπων ἠπειγμένως, καὶ τῇ βασκανίᾳ (1) καὶ τῷ φθόνῳ βαλλόμενος; τί μηχανᾶται; καὶ πρὸς τί φέρεται; Τῆς πρώτης ἐκείνης καθ' ἡμῶν μνησθεὶς ἐπιβουλῆς, ἐκείνου δὴ καὶ τοῦ σκέμματος καὶ τοῦ τολμήματος γίνεται. Καὶ τῇ γυναικὶ πρόσωπον καὶ αὖθις ὑποψιθυρίσας, πείθει ταύτην ὑπὸ τοῦ ἀνδρὸς ἠδικῆσθαι· καὶ πείσας ἐγείρει ἐπ' αὐτῷ.

Καὶ πρόσεισιν αὕτη, ζητοῦσα τὴν μετὰ τούτου συνοίκησιν, καὶ οὐδ', ἂν εἴ τι καὶ γένοιτο (2) μεθήσειν ἔφασκε, τὴν ἀδικίαν μὴ φέρουσα. « Τί γάρ » ἔλεγεν, « ὃν ἥρετίσω γάμον νῦν φεύγεις ἀποστρεφόμενος (3); καὶ

(1) Codex, βασκανία.

(2) Conf. p. 207, 16, ubi formula parilis.

(3) Est id verbum in loco vexato Cyclopis v. 398 : Νόμοις δὲ θνητοῖς τὸς λόγους ἀποστρίφῃ Ἰκέτας δέχεσθαι πορτίους ἐφαρμέρους.... In ea scriptura, quam periculose olim reformavi, consentiunt libri, et illi, qui nunc forte sunt ad manum, regii 2817, 2887. Forsan distinguendum :

» τίς ὁ διαβάλλων τοὺς ἐκτὸς τούτου μόνους σεσῶ-
» σθαι, τοὺς δὲ τὴν συζυγίαν ὑποσλάντας καὶ τηρῦν-
» τας ἀπόλλυσθαι. Μὴ τῦτο σὺ, ὁ τὰ πάνῖ' ἀσφαλὴς
» τὰ τοῦ Θεοῦ δικαιώματα. » Ταῦτ' ἔλεγε, καὶ τῆς καλύβης ἐντὸς ἐχώρει, καὶ ταύτην τάφον μᾶλλον ἑαυτῆς ἡρεῖτο γενέσθαι καὶ δή γ' ἐκπνεῦσαι ταύτης ἐνίοις, ἢ τῷ ἐνοικεῖν μὴ συνοικεῖν. Ὁ δ' ἀπωθεῖσθαι φίλανδρον οὖσαν καὶ μετὰ τραχύτητος ἀποπέμπειν ἤκιστ' ἠβύλετο. Ἀλλὰ τί; ἐδίδασκεν, ἐκολάκευε, παρῄνει, ἐνυθέτει, παρεκάλει· καὶ δὴ μὴ τὰ ἑαυτῇ δοκοῦντα, τὰ δέ γε τῷ Θεῷ, φιλεῖν καὶ προαιρεῖσθαι, τοῦτο δεῖν ἔλεγε, καὶ μισῆσαι μὲν τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ πάντα, τὴν δὲ ψυχὴν ἀντ' αὐτοῦ σπουδάσαι κερδῆσαι. Ταῦτ' ἔλεγε, καὶ ταῦτ' ἦν συνεχῶς κατεπάδων· ἀλλ' ὐκ ἔπειθεν εἰς τέλος. Ἠπάλα γὰρ αὐτὴν ὁ ῶονηρὸς καὶ μετέῶειθε· καὶ χρόνου (1) κύκλον ὅλον ἦν, μὴ δ' ἑαυτῦ, ὡς τὸ πρότερον, ἀλλὰ τὸν τρόπον τοῦτον διὰ τῆς γυναικὸς ἐκπειράζων.

Δεδοίκατε ἴσως, οἱ ἀκούοντες, μή τί γε τὸν ἀσάλευτον παρεσάλευσε, μὴ τὸν πάγιον ἔκλινε, μὴ κατεμάλαξε τὸν ἀδάμαντα, μὴ τὸν περιεσκεμμένον ὑπέκλεψε, μὴ περιέτρεψε τὸν ἀπερίτρεπτον, μὴ τὸν ἀκαταμάχητον παρεσήσατο, μὴ ἐνεκαυχήσατο τοῖς κατ' ἐκεῖνου σοφίσμασιν. Ἀλλ' οὔ τί γε τοῦτο, οὐ

Νόμοις δὲ δ. ε. λ. (ἀποσλέφῃ!) Ix.... Intelligo δίκ. εἰς λόγους sensu imperativi, qui in infinitivo frequens est; et quum, audita legum humanarum mentione, barbarus ille Cyclops caput cum contempta et irrisione averteret, Ulysses ἀποσλέφῃ! parenthetice exclamat. Sed jam quod sequitur οὐκ... πηδὺν πλῆσαι parit difficultatem, quæ removebitur scripto μὴ δ' pro οὐκ.

(1) Χρόνος, annus: conf. t. II, p. 454.

τοῦτο· ἀλλὰ τί; Καὶ αὖθις ἡττηθεὶς ὑπεχώρησε, Χριστοῦ νικῶντος ἀεὶ, τοῦ καὶ τὸν κόσμον ὅλον καὶ κοσμοκράτορας (1) αὐτοὺς νενικηκότος, καὶ τοῖς ἐς αὐτὸν ὁρῶσι καί γε πάσας τὰς ἐλπίδας ἐπ' αὐτὸν θεμένοις τὴν κατὰ τοῦ ἐπιβουλεύοντος δύναμιν καὶ τό γε κράτος παρέχοντος.

Τί λοιπόν; Θαῦμα τοῦτο γίνεται τοῖς ἐν τῇ πόλει, ὡς καὶ πάντ' ἦν τἆλλα τὰ κατ' ἐκεῖνον θαῦμα. Καὶ συῤῥέουσι πάντες εἰσπορευόμενοι πρὸς αὐτὸν, ὡς πρὸς ἄλλον δή τινα τῆς ἀληθείας καὶ τοῦ Πνεύματος πρόδρομον κακῶς καὶ σφαλερῶς θεολογουμένου, οὐκ ἐκ τῆς ἐρημίας ἰόντα, ἀλλ' ἐκ τῆς ἐξοχείας ἐπανιόντα, καὶ δή γε κηρύσσοντα μὴ βάπτισμα μετανοίας (2), ἀλλ' ἀκρίβειαν θεολογίας καὶ σωτήριον ὁμολογίαν. Καὶ βύλονται μὲν καὶ πάσας αὐτῷ τὰς καρδίας ἐκχέαι καὶ πάντων τῶν ἐν αὐταῖς καὶ μακρῶν ζῆν ἐκ τῶν χρόνων ἀποκρύφων θεαλὴν αὐτὸν καὶ καθ' ὅσον οἷόν τε θεραπευτὴν γενέσθαι.

Ὁ δ' οὐ πρόσεται, μήπω τὴν ἱερωσύνην πάμπαν τετελεσμένος, καὶ ὅτι μὴ ἐξῆν αὐτῷ μήτ' ἐπιτιμᾶν, μήτε δεσμεῖν, μήτε λύειν, μητ' ἀφιέναι (3). Σύμβουλος δ' αὐτοῖς καὶ διδάσκαλος γίνεται τῶν πρακτέων ᾗ, καθ' ὅσον ἦν ἐγχωρῶν ὑπ' αὐτῶ διδαχθῆναι καὶ δῆτα μετατεθῆναι καὶ τῆς διορθώσεως τυχεῖν καὶ καθάρσεως, πάντων τῶν πρώην αὐτοῖς ἠγνοημένων

(1) Conf. p. 204, n.

(2) Ut prior ille Præcursor, de quo Marcus 1, 4 : ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν.

(3) Respicit verba Christi ad Petrum apud Matth. XVI, 19 : ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς, καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.

καὶ δή γε πεπλημμεληκότων. Καὶ ἦσαν αὐτῷ καὶ πρὸ τῆς ἱερωσύνης οὐχ ὡς ἱερεῖ μόνον, ἀλλά τι καὶ ὡς ἀρχιερεῖ δή τινι καὶ μεγάλῳ ἀρχιερεῖ προσανέχοντες, καὶ ἀγαπῶντες ὑπ' αὐτῷ καλῷ ποιμένι τετάχθαι καὶ ἄγεσθαι, καὶ πάνθ', ὅσα καὶ βούλοιτο καὶ παρ' αὐτοῦ διδαχθεῖεν, προθύμως πληροῦν, οὐκ τούτων αὐτοῖς πιστεύοντες καὶ πάνυ τι πιστεύοντες (1) εἶναι τὴν σωτηρίαν. Καὶ εἶχε ταῦθ' οὕτως, ἔτι τῆς δυσσεβείας, ἔτι καὶ τοῦ διωγμοῦ κρατούντων.

Ἐπεὶ δ' « ὁ τὰ πάντα ποιῶν καὶ μεταστρέφων (2) » Θεὸς, καὶ μὴ μέχει παντὸς ἀφιεὶς τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον αὐτοῦ (3), μηδ' ἐπὶ μακρὸν ἀνεχόμενος ὁρᾶν τοὺς ἰδίους τῷ ἐχθρῷ συμπατουμένους καὶ ἀγομένους ὑπ' αὐτῷ καὶ φερομένους, μηδὲ τοὺς ἐπ' αὐτὸν ἠλπικότας ἀπερρίφθαι παντελῶς καὶ συντετρίφθαι καὶ τεταπεινῶσθαι, τοὺς δὲ δυνατοὺς τὴν καρδίαν, δυνατοὺς καὶ τὴν δυσσέβειαν, ἐπ' αὐτοῖς τούτοις ἐγκαυχᾶσθαι καὶ ὑψοῦσθαι καὶ ὑπεραίρεσθαι καὶ μεγάλα φρονεῖν, καὶ εἶπεν (4), « Ἰδὼν εἶδον » τὴν τοῦ ἐμοῦ κλήρου καὶ λαοῦ κάκωσιν (5) », καὶ εἰπὼν ὤκτιρμοῖς ἐστεσχέψατο, καὶ τὴν κραταιὰν αὐτοῦ χεῖρα κατὰ τῶν ὑψαυχενούντων καὶ κακούντων ἐτῶπρε, καὶ βασιλέα ἡμῖν ἐξανέστησε (6) τὸν καὶ

(1) Conf. p. 189, n.; pagg. 215, 1; 216, 18.

(2) Amos. v, 8. Cf. p. 214, 29.

(3) Psalm. cxxiv, 3; ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων.

(4) Sic codex. Nil deesse videtur. Per longas ambages sententia protrahitur. Dein auctor ad remotum ἐπὶ redit p. 214, 7, ἐπὶ παῦπα δτός. Similis est cum ἐπὶ parenthesis pag. 215, 12....

(5) Exod. III, 7.

(6) Andronicum Seniorem, qui ecclesiarum Græcæ ac Latinæ unionem omnino rejecit. Confer. Niceph. Chumnus supra t. II, p. 53...

ἐκ κοιλίας μητρὸς (1) αὐτῷ ἐγνωσμένον, καὶ ἐπὶ τὸ ἄρχειν εὐσεβῶς ἡμῶν καὶ βασιλεύειν ὑπ' αὐτοῦ γε ἠμένον, μηδὲν ἕτερον μήτε πονέσαι, μήτε παθόντα, μήτ' ἐκζητῆσαι, ἀλλ' ἢ τὸ σὺν αὐτῷ Χεισῷ ἄρχειν, καὶ ὑπ' αὐτῷ βασιλεύειν καὶ μετὰ τῆς εὐσεβείας μᾶλλον ἢ μετὰ πάσης εἴπερ οἷόν τε ἦν ἐκ τοῦ κόσμου παντὸς προσιζνομένης δυνάμεως· ἐπεὶ ταῦτα Θεὸς, καὶ τῶν ἐς ἡμᾶς πρότερων μεγάλων αὐτοῦ οἰκτίρμων ἐμνήσθη, τί γίνεται; καὶ τίνα τὰ τοῦ ἐφεξῆς διηγήματος; Ὡς λαμπρὰ χεισιανοῖς καὶ θαυμάσια!

Πίπτει μὲν εὐθὺς ἐκεῖνα κάτω τὰ τῶν ἑτεροδοξούντων καὶ κακῶς ποιούντων ἐπηρμένα καὶ ὑπερνεφοῦντα φρονήματα· ἐγείρεται δ' ἡμῖν καὶ ἐξανίσταται ἡ τὸν τοῦ Θεοῦ λόγον ὀρθοτομοῦσα καὶ κηρύττουσα καλῶς ἐκκλησία. Καὶ πανταχόθεν αὐτὸς βασιλεὺς τοὺς ὑπὲρ αὐτῆς ἐνστάντας καὶ γενναίως καὶ νεανικῶς ἀνδρισαμένους ἀγωνιστὰς σπουδῇ μεγάλῃ μετακαλεῖται. Καὶ τοίνυν, πάντων ἀθροισθέντων, ταύτην αὖθις ἐγκαινίζει τὴν ἐκκλησίαν, ἐπὶ τῶν ὀρθῶν στήσας δογμάτων καὶ στηρίξας, καὶ τὸ κατὰ τῶν ἐς αὐτὴν ἀναισχυντησάντων καὶ ἐνυβρισάντων τὸ πᾶν αὐτῇ δίδωσι κράτος.

Καὶ ταῦτα δὴ τοῦ εὐσεβοῦς ἡμῶν βασιλέως· τὰ δὲ ἐντεῦθεν οἷα; Χαρὰ μὲν ἐν οὐρανοῖς καὶ ἀγαλλίαμα τοῖς φρουροῖς αὐτῆς ταύτης τῆς ἐκκλησίας Ἀγγέλοις, εὐφροσύνη δ' ἡμῖν (ἀλλ' οἵα καὶ αὕτη καὶ ὅση;) λόγου παντὸς κρείττων, καὶ δῆτα κοινὴ παρὰ πάντων ἀνθομολόγησις καὶ εὐχαριστία Θεῷ τῷ οὕτως μεγαλοποιήσαντι καὶ μεγαλυνθέντι, μεγὰ δὲ τοῦτο (2)

(1) Phrasis est biblica. (2) Legendum videtur πᾶσιν.

τῷ ὑπ' ἐκείνῳ εὐσεβῶς ϗ πάνυ τι εὐσεβῶς κρατοῦντι ϗκὶ ταῦτα πρᾶξαι δεδυνημένῳ.

Τότε δὴ τότε ϗκὶ ὁ μέγας ἐκεῖνος παρῆν ἀθλητής, ὁ ϗκὶ πολλὰ ϗ γενναῖα τὸ πρότερον ἀγωνισάμενος ὑπὲρ τοῦ Πνεύματος, ϗκὶ προπολεμῶν ϗκὶ νικῶν ϗ μέγα κλέος ἐν τοῖς τοιούτοις ἀγῶσι ϗ κινδύνοις ἀρόμενος· ϗκὶ παρῆν, εἰ μὲν βούλει, τὰ πρῶτ' ἔχων τῶν συνειλεγμένων· εἰ δ' οὖν, τῶν ἄλλων ϗκὶ δόξαν λαμπρὰν ἐσχηκότων, οὐδενὸς δεύτερος, κοινωνὸς αἰεὶ πάντων τῶν οὕτω σπουδαζομένων ϗκὶ πραττομένων τῷ βασιλεῖ.

Ἐπεὶ δὲ ϗκὶ αὖθις ἀγὼν (1) ἦν πρὸς τοὺς πρώην διώκτας ϗκὶ δογμάτων προσλάτας τῶν σφαλερῶν, ϗ ἀγὼν ἔννομος, ὥσιε μὴ χειρὸς βία πειρᾶσθαι τούτους ἐλεῖν ϗκὶ προσάξεσθαι ϗκὶ ταὐτὰ δρᾶν ἐκείνοις ἰσχύουσι πρότερον (οὐ γὰρ ἠβούλετο τοῦτο βασιλεὺς, ὁ περὶ πάντας εὐμενὴς ϗκὶ φιλόχριστος, μηδὲ δοκεῖν εἶναι τὸ τῆς εὐσεβείας κράτος κράτος τυραννίδος, ἀλλ' ἀληθείας πάντα δεδυνημένης ἰσχὺν, ϗκὶ ἀπόδειξιν ἐξ ἑαυτῆς τὸ κράτειν ἔχουσαν, ϗ μή τινος ἐκ βίας, μηδὲ συνεφαπλομένης ϗκὶ τυραννούσης χειρὸς ἔξωθεν)· ἐπειδὴ ταῦτα, ϗ πολλῶν ἔδει τῶν προτεθυμημένων μετέχειν τῆς ἀγωνίας ϗκὶ συνεπιλαμβάνεσθαι, ϗκὶ σπουδασίας αὐτοὺς ὑπὲρ τῆς ἀληθείας εἶναι, ἅτε δὴ ϗκὶ πρὸς πολλοὺς τῆς πάλης οὔσης ἐγγεγυμνασμένους τῷ πολλῷ χρόνῳ ϗκὶ μεμελετηκότας τὰς ἀντιθέσεις ϗ δοκοῦντας εὐδοκιμεῖν περὶ τὸ λέγειν· ἐπειδὴ ταῦτα,

(1) Synodus innuitur qua Veccus de unione et S. S. processione contra Gregorium Cyprium præcipue et Muzalonem disputavit. Vide Niceph. Gregor. Hist. VI, 2.

τίς ἐκείνου θερμότερος κατεφάνη; τίς καὶ τοῖς πα-
λαίσμασι καὶ ταῖς μάχαις καὶ παντί γε τῷ πράγ-
ματι λυσιτελέστερος; τίς καὶ πῦρ ζήλου πνέων, καὶ
μέχρι παντὸς τὴν σπουδὴν καταλείπων; τίς κ᾽ βάλλων
καιρίως εὐστόχοις λόγοις καὶ γραφικαῖς ἀποδείξεσι,
καὶ τὸ προσηνὲς περισώζων; τίς καὶ πλήτταν ὀξέως,
καὶ τῆς ἐπιεικείας μή τί γε μηδαμῶς ἐξισταμένος, ὡς
καὶ δοκεῖν τὸ μὲν τῆς τοῦ ἀληθοῦς λόγου δυνάμεως
εἶναι καὶ κράτος τῆς ἐπιβαλλούσης αὐτῷ ἀντιθέσεως,
τὸ δ᾽ ἤθους τοῦ πεπαιδευμένου καὶ τῆς ἐν τούτῳ
καλοκαγαθίας καὶ δή γε χρηστότητος; τίς καὶ κατὰ
συστάσεις τῶν ἀντιστατούντων μεριζομένων, κ᾽ τοὺς
ἀκεραιοτέρους ἀποπειρωμένων ὑποσυλᾶν καὶ πρὸς
ἑαυτὸν ἕλκειν λόγοις ἀπατηλοῖς κ᾽ θηρευτικοῖς ῥήμα-
σιν, ὀξέως οὕτως ἠσθετο καὶ περιέτρεψεν ἐκείνοις τὴν
ἐπιχείρησιν, οὓς δὴ συμμάχους προσλαβεῖν ἤλπισαν
τούτους ἀντιπάλους σχόντες (1) καὶ κατ᾽ αὐτῶν μα-
χομένους, ὑπὸ τῆς γλώττης τούτου καλῶς καὶ πάνυ
τι καλῶς τεθηγμένους;

Ἀλλ᾽ ἦκεν ἤδη τὸ νεῖκος εἰς τέλος, καὶ τὸ ἐκ τοῦ πο-
λέμου κράτος ἡ ἐκκλησία τοῦ Θεοῦ λαμβάνει, καὶ
εὐχὴν κ᾽ γνώμην ἀπηνὴς τῷ ἀγωνοθέτῃ κ᾽ βασιλεῖ.
Τί λοιπόν; τί δ᾽ ἄλλο, ἢ τοὺς ἀριστεῖς κ᾽ προμάχους
ὑπ᾽ αὐτῆς τῆς ἐκκλησίας ἀναῤῥηθῆναι καὶ ἀναχηρυ-
χθῆναι, καὶ ὥσπερ τινὰς ἀῤῥαγεῖς τοῦ λοιποῦ συνδέ-
σμους αὐτήν γε τούτους διαλαβεῖν, ἐπ᾽ ἀσφαλοῦς
ἀσφαλεῖς ἑστῶτας καὶ στηρίζοντας καὶ ἑδραιοῦντας;

Τούτου δὴ τοῦ σχέμματος καὶ τῆς καλῆς ταύτης
ἐπινοίας κ᾽ προνοίας ἔργον κ᾽ ὁ μέγας ἐκεῖνος ἀριστεὺς

(1) Nitidius foret χοῦσι. Nil tamen mutandum.

γίνεται, καὶ ἐπὶ τὸν θρόνον ἀνάγεται τῆς τοῦ Φιλαδέλφου, πόλεως χειλιαπικωτάτης, καὶ λαοῦ παμπληθοῦς ὅσου, πάντων φοβουμένων τὸν Κύριον καὶ πιστῶν μὲν αὐτῷ, πιστῶν δὲ καὶ τοῖς ἐξ αὐτοῦ βασιλεύουσι. Καὶ γὰρ ἔδει τὸν τοσοῦτον καὶ τοιοῦτον ποιμένα καὶ τοσούτου καὶ τοιούτου λαοῦ προεστάναι καὶ προκαθῆσθαι διδάσκαλον (1).

Ἀλλὰ περὶ ἢ τοῦτο καὶ πρό γε τῆς ἀναῤῥήσεως, ἐπὶ μόνης ἐκείνος ἑστὼς τῆς ψήφου, τίνος καὶ οἵας διὰ νυκτερινῆς ὀπτασίας ἠξιώθη τῆς ἐκ τοῦ Πνεύματος χάριτος, ὃ δίκαιον πάντως οὐδὲ τοῦτο παραλιπεῖν, μηδ' ὥσπερ ὑπὸ τὸν μόδιον τὸν τότε φανέντα λύχνον (2) ἀφεῖναι μέχρι παντὸς κρύπτεσθαι, καὶ ταῦτ' ὀ μετὰ πολὺ τοῦ φανέντος καὶ ὑπὸ τοῦ Πνεύματος λάμψαντος ἐπὶ τῆς λυχνίας τεθέντος ᾧ λαμπτῆρος μεγάλου τοῖς πᾶσι γεγενημένου.

Ἐκεῖνος τοίνυν ἦν μὲν ἐν ἑαυτῷ μόνῳ καὶ Θεῷ ζῶν, καὶ χωρὶς ἀπὸ τῶν ἄλλων πάντων κρυπτόμενος· ἐν Χειστῷ δ' ἦν, τῷ καὶ τὰ πάντ' εἰδότι, ὅσος ἦν (3) καὶ οἷος τὴν καρδίαν ἐμβατεύοντι γινωσκόμενος. Ἐγένετο δ' αὐτῷ καὶ πανταχόθεν ἑαυτὸν ἀσφαλιζομένῳ κοινωνὸν ζητῆσαι λαβεῖν τῶν ἐσπουδασμένων, μή ποτε λάθοι τρέχων εἰς κενὸν, ἑαυτῷ δοκῶν ὀρθῶς τρέχειν. Καὶ προσλαμβάνει Νεῖλον ἐκεῖνον τὸν μέγαν (4), πάντων ὧν ἡμεῖς ἴσμεν (5) ἐπὶ τοῖς τοιούτοις σπου-

(1) Anonymus rhetor in Walziana sylloge t. 1, p. 630 : τῆς ἐν Ναζιάνζῳ ἐκκλησίας ποιμὴν καὶ διδάσκαλος προβληθῆναι.

(2) Luc. xi, 33 : οὐδεὶς δὲ λύχνον ἅψας, εἰς κρυπτὴν τίθησιν, οὐδὲ ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ εἰσπορευόμενοι τὸ φέγγος βλέπωσιν.

(3) Forsan ὅσος τι ἦν.

(4) Nilus ille quis sit ignoro.

(5) Herod. 1, 14 : πρῶτος βαρ-

δάσμασι λαμπρὰν δόξαν ἐσχηκότων τὰ πρῶτα φέροντα (1)· καὶ τοῦτο πάντες ἂν συμφήσαιεν, ἐπεὶ καὶ τοῦτο πάντες εἰσὶν εἰδότες. Ἐκείνῳ γοῦν γνησίως καὶ αὐτὸς προσφυεὶς ἀῤῥήκτως συνδεῖται· καὶ ἦσαν ἅμφω τὴν αὐτὴν ὁδὸν ἅμα τρέχοντες καὶ πρὸς τὸ ἓν καὶ αὐτὸ τέλος, τὸν Χριστὸν, ἠπειλμένοι, ὑπὲρ γῆς ἔτ' ὄντες, καταλιπόντες τὴν γῆν, καὶ μεταθέμενοι τὴν ζωὴν, οὐχ ἑαυτοῖς, ἀλλὰ τῷ Χριστῷ μόνῳ ζῶντες· καὶ ὅσῳ πλέον ἦν σφίσι τὸ κατορθούμενον, καὶ πλησίον οὗ γ' ἠπείγοντο, καὶ δῆτ' ἦσαν ἐγγίζοντες, τοσούτῳ πλέον καὶ πρὸς ἀλλήλους ἦσαν δεσμούμενοι καὶ συζῶντες καὶ συμπνέοντες, αὐτὸν Χριστὸν μόνον καὶ ζωὴν καὶ πνοὴν εἰδότες.

Εἶτα τί; προσκληθεὶς ἦν ἐκεῖνος, καὶ πρὸς ὃν ἐπόθει καλούμενος· καὶ νόσος ἐπῆν διακονοῦσά γε τῷ προσλάσματι, καὶ τοὺς ἓν ὄντας διαιροῦσα, καὶ τὴν ἕνωσιν ῥηγνῦσα καὶ σχίζουσα. Καὶ ὁ μὲν ἔχαιρεν ἀναλύων πρὸς τὸν σῳζούμενον· ὁ δ' ἠσχάλλεν, ἠνιᾶτο, ἐδυσφόρει, πικρῶς εἶχεν, ὀδυνηρῶς εἶχε, τὸν χωρισμὸν οὐκ ἔφερε, πάντ' ἦν καὶ τὰ δεινότατα παθεῖν προθυμούμενος, ἢ τὴν τομὴν ταύτην καὶ τὴν διάζευξιν ὑπενεγκεῖν καὶ καρτερῆσαι. « Καὶ ποῖ δὴ μόνος », ἔλεγε,

δάρων τῶν ἡμεῖς ἴδμεν. Et sic I, 23; VI, 112. Libanius Epist. 393, p. 198 : μόνος δὲ, ὧν ἴσμεν, μάλιστα μὲν ἐθαυμάσθη, ἧκιστα δὲ ἐφθονήθη. Photius Biblioth. de Dione Chrys. : ἔστι μὲν οὖν... τὸ πλεῖστον αὐτοῦ τῶν λόγων, οὓς ἡμεῖς ἴσμεν, συμβουλευτικόν. Thucydides pariter 1, 4 : Μίνως γὰρ παλαίτατος, ὧν ἀκοῇ ἴσμεν, ναυτικὰν ἐκτήσατο. Photius Bibl. p. 1037, 10 : μόνος δὲ ἀνθρώπων, ὧν ἀκοῇ ἴσμεν. . . . Idem p. 1028, 30 : Αἰγύπτιοι πάντων ὅτι μὲν παλαίτατοι ἀνθρώπων εἰσὶν, ὡς ἀκοῇ γινώσκομεν. Puto reponendum ὧν ἀκοῇ γιν., et sic fuisse a nupero eodemque doctissimo editore repositum.

(1) Cf. p. 201, 14. Præstaret φερόμενον. Sed activo multi sunt usi.

« ποῖ πορεύῃ, ἡμίτομον καλαλιμπάνων ἐμὲ, καὶ χωρὶς
» σοῦ τὴν ζωὴν ταύτην ζῆν μὴ δυνάμενον; »

Ὁ δέ· « Μὴ ταῦτά γε σύ· μηδ' ἀγεννὲς φθέγγου
» μηδὲν μηδὲ μικρόψυχον, μηδὲ τῶν ἡμῖν ἠλπισμένων
» καὶ βεβαίως ἠλπισμένων ἀνάξιον. Οὐ γὰρ ἀφίσταμαι
» σοῦ μεθισάμενος· ἀλλ', εἴ τις σχεῖ χάρις ἐμοὶ,
» μετὰ σοῦ γε καὶ τοῦ λοιποῦ μέχρι παντὸς ἔσομαι.
» Καὶ τόδ' οὐκ εἰς μακράν, τάχιον δ', ἐπιγνώσῃ
» ἔση μετὰ τὴν ἐμὴν ἀνάλυσιν καὶ τὴν σὺν τοῦ σώ-
» ματος τῆς ψυχῆς σχεῖσε περιχώρησιν. » Ταῦτ' εἶπε, καὶ ἀφῆκε τὸ πνεῦμα Θεῷ, τῷ Πνεύματι, καὶ τῷ καλοῦντι Χριστῷ.

Ἐπεὶ δ', ὅπερ ἔφη, τὴν χάριν εὗρε, τριῶν ἡμερῶν διαγενομένων, καθ' ὕπνους ἐφίσταται, καὶ διάκονος μετ' αὐτοῦ συνεφίσταται, Ἰωάννης τὴν κλῆσιν, βιβλίον ἐν χερσῖν φέρων τὸ τοῦ Δαυὶδ, καὶ δίδωσιν ἀναγνώσκειν αὐτόν (1). Καὶ δῆτα, παρὰ τοῦ Νείλου ἐπιράτεις, ἀνεγίνωσκε. Καὶ τὸ γραφόμενον καὶ λεγόμενον ἦν· « Μακάριος (2) ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ
» ἀσεβῶν »· καὶ μέχρι τινὸς ἔμπροσθεν ἐφεξῆς τοῦ ψαλμοῦ. Εἶτ' ἄγει τοῦτον ἐς ναὸν, ἐξ ὑέλου διαφανοῦς καὶ φωτὸς δίχην ἀστράπτοντος ὅλον τὸν τειχισμὸν ἔχοντα, καὶ παντάχοσε τῶν αὐτοῦ μερῶν συγκεκλεισμένον καὶ περιεγμένον, ὕδατος καχλάζοντος δίχα πυρὸς γέμοντα, καὶ τὸ ὕδωρ διειδέστατον· καὶ πολήριον αὖθις ὕελον, πλῆρες ὁμοίως ὕδατος ζέοντος. Καὶ ὁ Νεῖλος ἐπιτρέπει πιεῖν ὕδωρ Πνεύματος.

Καὶ ὃς περιθύμως μάλα καὶ ἡδέως πίνει. Καὶ, διυπνισθεὶς εὐθὺς, ἐπὶ στόματος ἔφερε τὴν γλυκύτητα.

(1) Forsan αὐτό. (2) Psalm. I, 1.

Καὶ, ὃ μή γε πρότερον μήτε μεμαθηκὼς ἦν μήτε δεδυνημένος, λογογραφεῖν, ἦν δὴ τοῦ λοιποῦ λογογράφος, ὅσπις γε καὶ οἷος ἦν, καὶ μάλιστα ἐπ' αὐταῖς ταῖς τοῦ νοῦ νήψεσι καὶ ἐγρηγόρσεσιν ἱκανὸς (1), περὶ ἃ καὶ Νεῖλος καὶ αὐτὸς εἶχον τὴν σπουδὴν οὐκ ἐν φιλοτιμίᾳ δυνάμεως λόγου, ἀλλ' ἐν ἐλλάμψει ἀῤῥήτου μυήσεως.

Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος (2), οὐκ οἶδ' ὅπως ἐπὶ τοῖς ἑξῆς αὐτῷ χρήσομαι. Συμβαίνει μοι γὰρ ταυτὸν ὥσπερ ἂν εἰ, μεγάλου γ' ἐπὶ πελάγους καὶ τοῖς ὀφθαλμοῖς οὐχ ὁρίζοντος σκάφος ἑλκύσας, ἐξ οὐρίας ἐτύγχανον θέων, καὶ δῆτα, πολὺ καὶ πλεῖστον τεμῶν καὶ διαβὰς τῆς θαλάσσης, οὐκ εἶχον ὅποι λιμένος βλέψω καὶ τὸ σκάφος εὐθύνω καὶ καταλύσω τὸν πλοῦν, ἀεὶ δή μοι τοῦ πρόσω μακροτέρου γε ὄντος καὶ πλέον ἔχοντος τοῦ κατόπιν. Καὶ γοῦν ἦμην οὐκ ἰλιγγιῶν (3) μόνον, ἀλλά τι καὶ δεδιὼς ὡς ἐς ἀπέραντον ὁρμηκώς.

Ἐκεῖνος μὲν γὰρ ἦν ἀεὶ προθέσεως ἔχων ἐφ' ἑκάστης τῶν ἀρετῶν ἁπασῶν προσεπινοεῖν καὶ προσεξευρίσκειν καὶ τεχνουργεῖν καὶ σφόδρα οἰκοδομεῖν, καὶ πανταχῆ

(1) Ex hisce verbis conjicio, nec id temere nimium, fuisse Theoleptum asceticum auctorem, in cujus libris plus fuerit ædificationis christianæ quam doctrinæ. Et quæ memorantur ejus scripta infra pag. 223, 24, et in Fabriciana Græca Bibliotheca t. XI, p. 640, me ab ea opinione non dimovent. Plus tamen illi tribuisse videtur Cantacuzenus, cujus verba depromam ex Hist. I, c. 14, p. 45: ὁ τὸν τῆς Φιλαδελφείας διέπων κοσμῶν Θεόληπτος, καὶ αὐτὸς μὲν εἰς ἄκρον ἀρετῆς ἥκων, καὶ πολιτείας ἀκριβείαν μοναδικῆς οὐ μόνον καταρθωκὼς, ἀλλὰ καὶ ἑτέρους ἔχων διδάξαι, ἔτι δὲ καὶ φρονήσεως εὖ ἔχων καὶ παιδείας τῆς ἔξωθεν οὐκ ὀλίγον μεταλαβών.

(2) Conf. t. I, p. 323, n. 3.

(3) Codex, ἰλιγγιῶν. Permutari γκ et γξ notavi non uno præcedentium voluminum loco.

καὶ τέλεια οἰκοδομεῖν, ἅτε καὶ τῆς περὶ τὰ τοιαῦτα τέχνης καὶ ἐπιστήμης ἱμένος ἐπὶ τὸ πᾶν. Καὶ δή γε καὶ τῆς προαιρέσεως ἀντελῶς ἔχων, τῆς ὕλης ἀπολειπομένος ἦν, καὶ μικρά τινα ἰσχύων ταύτης μὴ οὔσης, ἦν καὶ τὰ δυνατὰ ἐργαζόμενος. Ἐπεὶ δὲ καὶ τῶν πραγμάτων ἐπελάβετο χορηγούντων αὐτῷ, ὃκ ἔστιν εἰπεῖν ἐφ' ὅσον μήκιστον ἀρετῆς ἁπάσης προελθὼν τοὺς καὶ κατὰ μίαν αὐτῶν εὐδοκιμήκοτας παραδραμὼν ἀκενίκηκεν.

Αὐτίκα γὰρ περὶ τῆς διδασκαλίας τῆς ἐκείνυ, καὶ φωνῆς μυσταγωγούσης καὶ ἐκπαιδευούσης καὶ δή γε καταρτιζούσης τὰς τῶν ἀκουόντων ψυχάς, τί καὶ πόσον ἂν τις εἰπὼν ἔσται τι τοῦ εἰκότος ἢ ἄξιον εἰρηκώς; Ἐγὼ μὲν εἶπον ἂν, ἢ ὀρθῶς ἂν εἶπον, εἰς πᾶσαν τὴν γῆν ἐξελθεῖν τὸν φθόγγον αὐτοῦ, ἐφ' ὅσην δηλονότι καὶ ὁ εὐσεβὴς ἡμῶν λόγος ἔστι διαδραμὼν ἢ τὸ σωτήριον κήρυγμα. Εἰ δέ τις μὴ τοῦτο βούλοιτο, ἀλλά γε τῆς καθ' ἡμᾶς γῆς ὅτι μηδεὶς ἔστιν ἀνήκοος μηδ' ἀμαθὴς τῆς ἐκείνυ φωνῆς, τοῦτ' εἰπὼν ἢ σφόδρα διϊσχυρισαίμην ἄν.

Καὶ τοίνυν τὰ ἐκείνυ διδάγματα καὶ παιδεύματα τίνος τῶν καλῶν καὶ πλείστην ὅσην τὴν ὄνησιν φερόντων ἀνατελείπετο; Εὐσεβείας μὲν οὖν πρῶτον, ὀρθῆς ὁμολογίας, καθάρσεως ψυχῆς, ἔρωτος Θεοῦ καὶ πρὸς αὐτὸν ἁπλανοῦς ἀναβάσεως, εἶτα θεώσεως, αἰσθήσεων νοῦ καὶ τῆς τούτου κινήσεως χωριζομένων ταύτας φεύγοντος καὶ προσχωρούντος Θεῷ, περιφρονήσεως σαρκὸς, πήξεως σώματος, τῶν παρόντων πάντων καὶ λυομένων ὑπερφρονεῖν εἰδέναι καὶ ὅλως τῶν αἰεὶ ἐστώτων καὶ μελλόντων γίγνεσθαι. Ταῦτ' ἄρχυσι

πᾶσιν, οἷς ἂν καὶ γένοιτο δήπουθεν αὐτὸν ὁμιλῆσαι, ἢ καὶ πόρρωθεν δι' ἐπιστολῶν παραινέσαι καὶ καταγνῶναι, ἔστιν οὓς καὶ ἐπιπλῆξαι, ὁμαλῶς τὸ τραχὺ καὶ πρόσηνῶς δεχομένους καὶ παιδείαν παιδευτικὴν καὶ νουθεσίαν μᾶλλον, ἀλλ' οὐκ ἐπιτίμησιν ἐπιπληκτικήν, καὶ δὴ τὸ τέλος οὐχὶ πικρὸν ἔχουσαν· ταῦτα τῶν πολιτευομένων οἷς ἂν ἐντύχοι· ταῦτ' ἰδιώταις, χειστιανοῖς ἅπασιν. Ἀρχὴν (1) γὰρ ἐξ ἐκείνου τῆς γλώττης ἦν ἐκπίπτον οὐδέν.

Καὶ τὸ δὴ θαυμάσιον, ὅτι καὶ πάντων τούτων ὧν ἔφημεν σπουδαίων ὄντων καὶ μάλα τι σπουδαίων, ἐκεῖνος ἐν τούτοις μεθ' ὅτι πλείστης τῆς ἐπιμελείας ἦν, τῆς τοῦ νοῦ κινήσεως ἐπὶ Θεὸν διαβαινούσης καὶ τῶν ἐκεῖ γινομένης, οὔ τι γ' ἦν οὐδαμῶς ἐξιστάμενος, οὐδὲ χαλῶν αὐτὸν καὶ στρέφων κάτω ὑπὸ τῶν κατ' αἴσθησιν ἐγκοπτόμενον καὶ δὴ καθελκόμενον. Ἀλλ' ὅσπερ ἡμῖν ἐν προσευχαῖς καὶ τοῖς ἱεροῖς ὕμνοις καὶ ᾄσμασι, τῆς μὲν γλώττης ᾀδούσης, τῷ δὲ νῷ καταργοῦντος, καὶ ὀδὴν ἐμποδὼν οὔτε φθόγγος γλώττης τῷ νῷ, Θεὸν ὑμνούσης ἐκείνῳ προσηκόντως μελετῶντι, οὔτ' αὖ νοῦ σχολὴ φιλοπόνημα τῇ γλώττῃ σχῶλον, θεῖα φθεγγομένῃ, ἢ καὶ ἀνθρώπινα, χρησιὰ δ' ὅμως καὶ μοίρας τῆς τοῦ βελτίονος· οὕτω δὴ ἐν ἐκείνῳ καὶ ἄμφω θαυμασιὰ ἦν, τῆς μὲν γλώττης τὰ θεοφιλῆ διδασκούσης, τῆς δέ γ' ἐνεργείας τοῦ νοῦ φιλοπονούσης ἄνω περὶ Θεὸν καὶ τήν γε διὰ παντὸς μνήμην ἐκείνου.

Τοῖς τοιούτοις διδάγμασι καὶ σπουδάσμασιν ἐνῆκε μὲν δέος καὶ φόβον τῷ βήματι, καὶ τοὺς ἐν τούτῳ τεταγμένους ἐρρύθμισε, καὶ δή γ' ἔπεισεν ἀξίους ἑαυτοῦ

(1) Conf. Matth. XII, 36.

σπουδάζειν ἐμπαρέχειν τοῖς ἐκεῖ τελουμένοις· τὸ δ' αὐτὸ καὶ τοὺς ἐκτὸς μὲν τούτου, βαθμοῦ δ' ὅμως μετέχοντας ἄγοντος αὐτοὺς ἐπὶ τὸ βῆμα κατὰ τὸν καλοῦντα καιρόν· τὸ δὲ λοιπὸν τῆς ἐκκλησίας πλήρωμα, κατ' οἴκους μὲν ὄντας σωφρονεῖν καὶ τὰ δίκαια πράττειν καὶ φόβον σύνοικον ἔχειν Θεοῦ καὶ κρίσιν καὶ τῶν βεβιωμένων ἀντίδοσιν, παρὰ δὲ τὸ ἱερὸν ἀφιγμένους ὅλους εἶναι τῶν εἰς Θεὸν ὕμνων καὶ ἱκεσίας τῆς ὑπὲρ τῶν ἐκείνῳ δοκούντων συμφερόντων ἡμῖν, καὶ μήτε προσλαλεῖν μήτε συλλαλεῖν ἀλλήλοις, μηδὲ φωνὴν ἀγοραίαν ἀφιέναι, μὴ λόγον ἀργὸν, μὴ συμβολαίων εἵνεκα, μὴ φροντίδος τινὸς καὶ μερίμνης βιωτικῆς, μὴ μνήμης τινὸς πεποιηκότος κακῶς, μηδέ γ' εὐχαριστίας τοὐναντίον δεδρακότος καλῶς· τὸν γὰρ ἐν τῷ ναῷ καὶ τοῖς ἐν αὐτῷ τελουμένοις καιρὸν, ἀφωσιωμένον ὄντα Θεῷ, μὴ πραγμάτων τινῶν μηδὲ τῶν τοιούτων οὐδενὸς δεῖν εἶναι νομίζειν καιρόν· καὶ τοίνυν μηδ' ἐπὶ ῥῆμα καταλαλιᾶς, μὴ ψεύδους ἥκειν, μήτε μὴν ἀληθείας μηδὲν μηδαμῶς εἰσφερούσης Θεῷ.

Ταῦτ' ἐκεῖνος τῷ ἑαυτοῦ κλήρῳ συνεχῶς ἦν κατεπάδων, ταῦθ' ὅλῃ τῇ ποίμνῃ, ταῦτα τοῖς λαοῖς· καὶ πάντας εἶχεν ἐξηρτημένους τῆς ἐκείνου γλώττης καὶ φωνῆς, ὥσπερ τινὸς ἐκ Θεοῦ φωνῆς.

Πρὸς τούτοις ὕμνους ἦν ἐπινενοηκὼς (1) καὶ δή γε συντεθεικὼς καὶ κατανυσσόντων ᾀσμάτων πλοκάς· οὐ μικρὰ δὴ καὶ ταῦτα πρὸς μετανοίας λόγον δεδυνημένα, τῶν καρδιῶν αὐτῶν καθικνούμενα. Καὶ τοίνυν ἐν ἑορτῶν ταῖς πανδήμοις καὶ ἡμερῶν ἃς ἱλαστηρίους ἐκεῖνος ἐπιπλέον νενομοθέτηκεν εἶναι καὶ ἁγνισμοῦ,

(1) Conf. p. 220, n. 1.

πάντας ἦν ἰδεῖν προθύμως τρέχοντας ἐπὶ τὸν ναὸν, ὄχλον παμπληθῆ ἐκ γένους παντὸς καὶ ἡλικίας πάσης, πρὸς ἀλλήλους ἁμιλλωμένους τίνες ἂν καὶ προδραμόντες πρῶτοι καὶ ὀφθεῖεν τῷ ἀρχιερεῖ, τίνες καὶ τοῦ νεὼ γεγονότες ἐντὸς φανεῖεν ἂν καὶ τῆς ἑορτῆς μᾶλλον ᾐσθημένοι καὶ τῶν ἄλλων ἐν τῷ ναῷ τελουμένων, καὶ τῶν ἐκείνῳ δοκούντων ἐπὶ τούτοις πάμπαν γεγενημένοι.

Χριστοῦ μὲν οὖν ἐντολὴ καὶ πρώτη ἐντελοῦς ἀγάπης ἕξις καὶ δῆτ' ἀσφαλὴς τήρησις, καὶ μηδὲ μισεῖν τοὺς μισοῦντας, ἀλλά τι καὶ τοὺς ἐχθροὺς ἐθέλειν ἀγαπᾷν (1). Καὶ Παῦλος αὖθις παραγγέλλων φησὶν (2) εὔχεσθαι καὶ μὴ καταρᾶσθαι, ἐς ταυτὸν τοῦ τε δεσποτικοῦ προστάγματος καὶ τῆς ἀποστολικῆς φωνῆς φερόντων· καὶ γὰρ ὅπου γ' ἔχθρα παντελῶς ἀπελήλαται, πῶς ἄν τις ἐκεῖ ἐπαράσαιτο; καὶ αὖ οὐκ ἔστι δι' ἔχθους καὶ μίσους ἄγειν ὑπὲρ ὧν τις ἔστιν εὐχόμενος. Ἐκεῖνος τοίνυν περὶ πάντας τὴν ἐντολὴν ἦν τηρῶν καὶ πάντας ἦν ἀγαπῶν, τὰ χρηστὰ πᾶσι καὶ βουλόμενος καὶ δῆτ' ἐπευχόμενος. Καὶ τοίνυν ἐκ τῆς γλώττης αὐτοῦ ῥῆμα λοίδορον ἢ μετέχον ἀρᾶς οὔτ' ἔπεσεν, οὔτ' οὐδεὶς οὐδαμῶς οὐδέποτ' ἤκουσεν, ἀμέλει τοι, καὶ πρόφασιν αὐτοῦ μηδεμίαν θέντος μηθ' ὑποβαλόντος, οὔκουν ἀξίαν μικροψυχίας τινὸς καὶ τραχύτητος ὅδ' ὑπῆρξε παρω-

(1) Matthæus, v, 44: ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς. Ceterum quod ait primum id esse Christi mandatum, non usquequaque verum est. Primum enim est de amore Dei, secundum de amore proximi. Vid. Matth. XXII, 37, &c.

(2) Epist. ad Rom. XII, 14; ubi αὔχεσθε καὶ μὴ καταρᾶσθε. Et sic forsan scripserat ipse Chumnus, librario αι ob pronunciationem similem pro ε scribente.

ξυσμένος καὶ τραχυνόμενος· εὐθὺς ὁ πρᾶος ἐκεῖνος καὶ τοῦ Χριστοῦ μιμητὴς τὰ τῆς εἰρήνης ἐλάλει, μήτ' ἀντιλοιδορῶν λοιδορούμενος (1), μήτε πληττόμενος πλήττων, μηδὲ βάλλων ἐνδίκως ἀδίκως βαλλόμενος· ἀλλὰ τί; ταπεινούμενος καὶ τῷ ἐπεισπίπτοντι καθυποκλινόμενος, καὶ τοῦτον τόνδε τὸν τρόπον μαλάσσων καὶ καθιστῶν, ἑαυτῷ ποιῶν ἦν μέτριον. Κἂν εἴ τινας ἑτέρους γνοίη διαφερομένους πρὸς ἀλλήλους καὶ ἀγριαίνοντας, καὶ πρὸς μάχην ἐξάγειν καὶ δεινὰ πράττειν ἐπιχειροῦντας καὶ πάνυ τι παρατεταγμένους, εὐθὺς ἐπιστὰς, λόγοις ἠπίοις ἐξομαλίζων καὶ διδασκαλικαῖς παραινέσεσι τὸν πόλεμον καὶ τὴν ἔριν κατέλυε, καὶ χρῆσθαι τοῦ λοιποῦ φιλίως ἀλλήλοις σφόδρα τούτους ἦν ἀναπείθων. Ταῦτα καὶ τοὺς ἄλλους ἐκπαιδεύων καὶ νουθετῶν, καὶ τῷ καθ' ἑαυτὸν ὑποδείγματι σωφρονίζων καὶ συνετίζων, πρὸς ἦθος ὑπῆρχε τυπῶν καὶ ῥυθμίζων χρηστόν.

Ἀλλὰ μὴν καὶ δικαιοσύνης τίς οὕτως ἀῤῥεπὴς κατ' ἐκεῖνον ζυγὸς καὶ σταθμὸς ἔνθεσμος, ὑπὸ Θεοῦ χειρὸς καὶ κρατούμενος αἰεί γε καὶ στηριζόμενος καὶ κατευθυνόμενος, καὶ μήτε πρὸς πρόσωπον κλίνων, μήτε πρὸς ἄλλο τι τῶν μεθελκόντων καὶ κατασυρόντων, μηδὲ πρὸς ἄλλον τῶν ἁπάντων βλέπων οὐδένα, πρὸς δὲ τὸν κατέχοντα μόνον καὶ ἄγοντα, καὶ τὴν δίκην ὀρθὴν ζητοῦντα καὶ παντελῶς ἀπαρέγκλιτον, ὅλην ἐξηρτημένην ὀφθαλμοῦ ἐκείνου τοῦ πάνθ' ὁρῶντος καὶ τῆς ἐκείνου κρίσεως καὶ βουλήσεως, κατὰ (2) τὸν μέγαν κρίνων καὶ τὸν μικρὸν, καὶ τοῖς γε κανόσι τῆς δικαιοσύνης ἐξισάζων καὶ προσαρμόζων τὰς ψήφους μηδὲν

(1) Cf. I Petr. II, 23. (2) An κατὰ ταυτὰ, κατ' ἴσα?

ἐχούσας σίρεβλὸν μήτε διάσεφον; Ὑπὲρ μὲν γὰρ τῶν οἰκείων ὅδενὸς οὐδέποτ' ἐζυγομάχησεν· ἐπεὶ μηδὲ τὴν ἀρχὴν οὗθ' εἵλετο, οὔτ' ἐδοκίμασε κτήσασθαι· οὐδ' εἶχεν οὐδὲν ἴδιον, εἰ μὴ τειβώνιον καὶ χιτώνιον, καὶ σίρωμνὴν ἐκ λιβάδος, πῖλον χόρτου συμπεπλεγμένον, μήτε βίαις ἁρπαζόσης χειρὸς μήτε κλέπταις μηδ' οὐδὲν οὐδαμῶς μήτε πεινοῦμενα μήτ' ἐπιβουλευόμενα.

Καὶ μέντοι γε καὶ ἰδίου τινὸς εἵνεκα οὐδενὶ ποτὲ δίκην ἔλαχεν οὐδ' ἐφιλονείκησεν, εἰ μὴ περὶ τῶν κοινῶν ἔχοι τις λέγειν. Ἔστι γάρ ὅτε κἀ ταῦτα, τῶν κοινῶν ὄντα, ἐκείνῳ λογίζοιτο, μηδέποτ' αὐτῷ τοῦτο λογισαμένῳ, μηδ' αὐτῶν τῷ σμικροτάτῳ γῦν καὶ βεβαιοτάτῳ μηδὲ πρὸς χρείαν ἀναγκάζουσαν καὶ βιαζομένην χρησαμένου· καὶ λιμῷ μᾶλλον ἀποθανεῖν ἂν ἕλοιτο ἢ τροφὴν ἐκ τούτων τινὸς λαβεῖν καὶ τὴν ἑαυτῷ σπείξαι ζωὴν ἐκλυομένην ἤδη καὶ κινδυνεύουσαν. Διὰ τοῦτο καὶ εἴ τις ἐστὶ τοῖς τοιούτοις ἐπηρεάζειν βούλοιτο, αὐτὸς εὐθὺς ἦν ἀντιλέγων κἀ ἀντιπράττων, καὶ μὴ ζημίαν τῶν κοινῶν μηδὲ τὴν σμικροτάτην καταδεδεγμένος, καὶ οἷον δὴ καὶ τότε δικαστὴς ἦν καὶ κριτὴς, μέσος τῶν ἀδικουμένων ἰσχυρῶν ὄντων καὶ τῶν ἠδικημένων κοινῶν προκαθήμενος ἢ προϊστάμενος, καὶ μή τί γε δεκάζων (1) τὰς ψήφους ἐξέφερε, πρὸς τὸν ἐν τῷ ἠδικημένῳ Χριστὸν βλέπων, οὐ πρὸς τὸ τοῦ καταδυναστεύοντος καὶ βιαζομένου καὶ τυραννοῦντος πρόσωπον· καὶ δή γ' ὑπερμαχῶν ἦν μᾶλλον δικαιοσύνης καὶ τῶν αὐτῆς νόμων, κἀ βοηθῶν τοῖς ἐκ τῶν εἰρημένων ἐφ' οἷς ἀπορροῦντες ἦσαν βοηθουμένοις.

(1) Conf. t. II, p. 155, n. 1.

Ἐλεημοσύνης δὲ τῆς ἐξ ἐκείνου καὶ φιλανθρωπίας (1) πρὸς τοὺς δεομένους πανταχόθεν ἐρανιζομένου ὅθεν ἂν καὶ δύναιτο καὶ συνάγοντος, μετὰ δὲ τοῦτο σκορπίζοντος, εἴ τις κατὰ μέρος καὶ σαφῶς καὶ ἀποχρώντως ἂν διεξελθεῖν βούλοιτο, ἄλλη τις ἂν εἴη τοῦτο καὶ γένοιτο ὑπόθεσις λαμπρά, ἐξαρκοῦσα καὶ μόνη τὴν πᾶσαν εὐφημίαν ἐκείνῳ πληροῦν. Τὰ μὲν γὰρ ἐκκλησιαστικὰ καὶ περὶ ὧν πτωχικῶν ὄντων ἔφημεν τοῖς ἐκεῖ πτωχοῖς καὶ δεομένοις ἑλέους καὶ εὐσπλαγχνίας καὶ φιλανθρωπίας διελόμενος ἀπεμερίσατο, καὶ οἱονεὶ κατὰ μισθὸν ἔνδικον ὑπὲρ ὧν ἐκακοπάθουν καὶ κατὰ χρέος ἐπωφλημένον καὶ ἀπαρρίτητον ἀπονενεμηκὼς ἦν καὶ πρυτανεύσας. Ἐπεὶ δ' ἐκείνων ἐκεῖνά γε ὄντα καὶ οἱονεὶ κατὰ κλῆρον, οὐδὲν οὗτος ἐλογίσατο κατὰ δωρεὰν φιλάνθρωπον καὶ χάριν ποιεῖν, ἦσαν δέ τοι καὶ πολλῷ πλείους οἱ χρῄζοντες καὶ πρὸς ἐκεῖνον ὁρῶντες, αὐτὸς δ' ἠπόρει, τί ποιεῖ; καὶ τί θεοφιλῶς μηχανᾶται; Ἑτέραν ἐφεῦρε, καὶ πρὸς ἐκείνην ἐτράπη, ὁ καὶ περὶ τἆλλα τῶν καλῶν πάντων, καὶ περὶ αὐτὴν δὲ μᾶλλον τὴν ἐλεημοσύνην, ἐπινοήσασθαι καὶ ἐξευρεῖν εὐπορώτατος· τίνα δὴ ταύτην; Ἐπὶ τοὺς πλουτοῦντας βλέπει καὶ τὰς ἐκείνων ἔσλιν ὧν πτωχευούσας καὶ δεομένας οἴκτου ψυχάς. Καὶ τοίνυν τόν γε τὸν τρόπον τοῦτον πλουτοῦντας ὁρῶν ὁμοῦ καὶ πτωχεύοντας, καὶ πτωχείαν πολλῷ δεινοτέραν καὶ χαλεπωτέραν τῶν μήτ' ἄρτου, μήτ' ἄλλου τινὸς τῶν πρὸς χρείαν ἀναγκαίαν ἡκόντων, μηδαμῶς εὐπορούντων, ἀμφοτέρωις κατὰ τὸ εἰκὸς ἐπαρκέσαι δεῖν ἔγνω· καὶ δαψιλῶς ἐπήρκεσε. Πῶς καὶ τίνα τρόπον;

(1) An ἐλεημοσύνας δὲ τὰς... Saltem subaudiatur τοῦ.

Ἐκ τῶν περιττῶν ἐκείνοις τοῖς ἔχουσιν, ἢ μέρους ἢ καὶ τῶν ὑπαρχόντων ἐκ τοῦ πλείονος, ὡς ἕκαστος δηλονότι προαιρέσεως ἔτυχεν ἔχων καὶ μελέτης καὶ μερίμνης περὶ τῶν μελλόντων, καὶ τὸ γ' ὂν κόλποις Ἀβραὰμ (1) λῆξιν καὶ ἀνάπαυσιν εὑρηκέναι καὶ μὴ τῷ ἀσπλάγχνῳ πλουσίῳ (2) συγκαταδικασθῆναι φλόγα πυρὸς αἰεὶ καὶ μένοντος καὶ διὰ παντὸς ἀποτηγανίζοντος (3)· ἐκ τῶν τοιούτων ἐπὶ τοὺς μὴ ἔχοντας καὶ δεομένους διενοήθη κενῶσαι, καὶ κυφίσαι μὲν τούτοις τὰς ἐκ τῆς πενίας μεγάλας οὔσας ἀνάγκας καὶ συμφορὰς, κουφίσαι δὲ κἀκείνους καὶ ἀναπλερῶσαι, καὶ (4) ὑπὸ τούτων ἀνεχόντων ῥᾳδίως ἀναφραμεῖν καὶ πρὸς τοὺς οὓς ἔφημεν κόλπους καὶ τὴν ὑπερτάτην καὶ ἄνω μένουσαν ζωὴν καταλῦσαι, ἐλαχίστων δή τινων καὶ μικρῶν (εἴ γε μικρὰ τὰ τάχιστα λυόμενα καὶ πρὸς τὸ μηκέτ' εἶναι μηδαμῶς χωροῦντα), τῶν τοιούτων καὶ πάντων ὧν ἔχουσιν ἀλλαξαμένους τρυφὴν τῶν ἀκηράτων καὶ ἀεὶ μενόντων ἀγαθῶν. Οὕτως ἐκεῖνος οἶδε καλῶς θερίζειν ὅπου οὐκ ἔσπειρε, κἀ αὖ συνάγειν ὅθεν οὐ διεσκόρπισε (5), καὶ οὐ κατὰ τὸν ἐν εὐαγγελίοις πονηρὸν ἐκεῖνον δοῦλον καὶ ὀκνηρὸν (6), οὐκ ὄκνον ἑαυτῷ

(1) Luc. XVI, 22 : ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν, καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ. Conf. t. IV, p. 462, not. 3.

(2) Respectu ad parabolam illam divitis epulonis apud Lucam cap. XVI.

(3) Conf. t. III, p. 54, n. 3. Joannes Chrysost. Eclog. p. 342: πάπερ, φησὶν, Ἀβραὰμ, πέμψον Λάζαρον, ἵνα ἄκρῳ τῷ δακτύλῳ ἐπισκάζῃ μου τὴν γλῶτταν, ὅτι ἀποτηγανίζομαι.

(4) Pro καὶ malim ὡς, vel simul ὡς καί.

(5) Matth. XXV, 24: προσελθὼν δὲ ὁ τὸ ἓν τάλαντον εἰληφὼς (δοῦλος), εἶπε· κύριε, ἔγνων σε, ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας.

(6) Matth. XXV, 26 : πονηρὲ δοῦλε καὶ ὀκνηρέ....

καὶ ῥᾳθυμίαν ἐγκαλοῦντα, ἀλλὰ τῷ δεσπότῃ σκληρότητα· ἀλλ' οὐχ οὕτως οὗτος. Ἀλλὰ τί; καὶ αὖθις ἐσκόρπισεν (1)· ἔδωκε, καὶ συνήγαγεν αὖθις, ὄχι συγκλείων εἰς ἀποθήκας κάτω κειμένας καὶ τῆς περὶ τοὺς πένητας πλημμούσας ἀσπλαγχνίας, ῥηγνυμένας τε καὶ φθειρομένας, ἀλλ' ὅποι τὰ ἐσκορπισμένα μένει καὶ σέσωσται, καὶ γεωργεῖ καὶ καρποφορεῖ, καὶ δίδωσιν ἐκατονταπλασίονα καὶ ζωῆς αἰωνίου κληρονομίαν (2).

Οὐ μὴν ἀλλ' ἐπεὶ φιλοπτωχίας ἐμνήσθημεν, καὶ δή γε περὶ τὸ συγγενὲς εὐσπλαγχνίας καὶ φιλανθρωπίας, οὐδὲ τοῦτο παραδράμοιμεν ἄν, τεκμήριον μέγιστον τῆς ἐκείνου περὶ τὰ τοιαῦτα σπουδῆς καὶ φιλοπονίας. Ποῖον δὴ λέγω;

Τίς οὐκ (3) οἶδε τὴν τοῦ Φιλαδέλφου πόλιν, ὡς μὲν περιφανὴς αὕτη καὶ μεγάλη καὶ λαμπρά, ὡς δὲ καὶ μετὰ τὴν πρώτην καὶ τῶν ἁπασῶν κρατίστασαν (4) πρώτη. Ταύτης τὸ κάλλιστον καὶ πλέον εἰς θαῦμα, τὰ τῶν ἐνοικούντων ἀνθρώπων ἀπείρων ὅσων πλήθη, πολλῆς μὲν ταύτης τοῖς τείχεσι καὶ τῷ κύκλῳ καὶ δή γε μεγάλης οὔσης, πολλῶν δὲ καὶ τούτων καὶ πλησμίως γεμούσης. Αὕτη καὶ πολλὰ μέν ἐστι καὶ ἄφθονα γεωργοῦσα καὶ ἀποχρῶντα τοῖς πλήθεσι καὶ αὐτάρκη· οὐ μὴν δ' ὥστε καὶ τοῦ καρποφορηθέντος ἐνιαυτοῦ καὶ παρέχοντος ἐς νέωτα ἔχειν περιττὰ ἀπο-

(1) Forsan ἀλλά τί; συνήγαγεν καὶ αὖθις ἐσκ....

(2) Matth. XIX, 29 : ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει.

(3) Hunc locum, ab πῆς ἐκ... ad ὑπὲρ τῆς πόλεως πρόπαιον, Boivinus, in notis ad Niceph. Gregoram p. 759, descripsit e codice regio 2964, qui idem est illi quo utor signato nunc numero 2105.

(4) Constantinopolim, urbium omnium reginam.

τίθεσθαι, ἱκανὰ δὴ καὶ ταῦτα ἐπαρκεῖν καὶ βοηθεῖν, εἴ τις ἐξ ἀφορίας ἢ ἑτέρᾳ τρόπου ἔνδεια ἐπιχωριάσει. Καὶ οὐδ' ἐκ γειτόνων ἔσται τῇ θαλάττῃ, ὥστ' ἐξ (1) αὐτῆς χορηγούσης καὶ πορίζουσης βοηθεῖσθαι· ἀλλ' εἰς μεσόγαιον ἀνώκισται πόρρω, καί γ' ἐκ τῶν περιοίκων, χρείας ἐπιγούσης, ἴσχει τὴν θεραπείαν. Ταύτῃ τοι ταύτῃ, τῶν ἡμετέρων στρατευμάτων ἐν ἄλλοις ἀσχολουμένων, οἱ γειτονοῦντες ἀσεβεῖς (2), τηρήσαντες τὸν καιρὸν, ἐπέθεντο μετὰ μεγάλης καὶ πολείστης ὅσης τῆς ἰσχύος, βαλόντες χάρακα περὶ αὐτὴν καὶ ταύτῃ περικαθίσαντες, ἐκ πολιορκίας μὲν καὶ πολέμου οὐδέν τι μέγα καὶ λαμπρὸν νομίζοντες ἀνύσειν, παρασπήσεσθαι δὲ τῷ λιμῷ τὸν τρόπον τοῦτον καὶ ταύτης κρατῆσαι. Καὶ δὴ τὸ μὲν ἴσχυσαν, τὸν λιμόν· τοῦ δέ γε περιγενέσθαι ἦν αὐτοῖς δεινυσμένον κατὰ τὰς ἐλπίδας οὐδέν.

Τότε δὴ τότε καὶ ὁ μέγας ἐκεῖνος τὴν συμπάθειαν, καὶ πολὺς μὲν τὸν ἔλεον, πολὺς δὲ καὶ τὴν εὐσπλαγχνίαν, τοῦ λαοῦ κακοπαθοῦντος καὶ τῇ πείνῃ κάμνοντος, αὐτὸς κατὰ τοῦ λιμοῦ ἐξανίσταται, χεῖρας ἐκείνας τὰς ἱερὰς καὶ τῶν μυστηρίων ὑπηρέτιδας καὶ οἰκονόμους εἰς ἀλεύρων ἐκτείνας φυράματα, καὶ ταῦτα ταύταις ἐνζυμῶν, καὶ καινός τις ἀρτοποιὸς γινόμενος, καὶ χυτρῶν ἐπιμελούμενος καὶ λεβήτων, καὶ πυρὸς ἐμφορούμενος καὶ καπνοῦ. Εἶτα τί; ταῖς αὐταῖς χερσὶν ἐπὶ τρυβλίων (3) κενῶν ἦν, καὶ τὰ κενωθέντα λαμβάνων εἰς χεῖρας, ἐν αὐταῖς καὶ τοὺς ἄρτους, ἐπεισρεόντων αὐτῷ τῶν ἐκ τοῦ λιμοῦ συνωθισμένων,

(1) Boivinus, ὡς ἐξ.
(2) Turci videlicet.
(3) Sic Boivinus edidit. Codex, τειβλίων.

ἐκ χειρῶν εἰς χεῖρας ἐνέβαλλε, τῶν ἰδίων τὰς ἐκείνων, μᾶλλον δὲ τὰς τοῦ Χριστοῦ, θεραπεύων κἀν τούτῳ τὸ πάθος καὶ κουφίζων τὴν συμφοράν. Τοῦτον δὴ τὸν τρόπον τῆς πόλεως ἀμφότερα γενόμενος ἦν, καὶ τροφεὺς καὶ πατὴρ, καὶ τό γε πρῶτον ἀρχιερεὺς, καὶ δῆτα ποιμὴν τὴν ἑαυτοῦ ψυχὴν τιθεὶς ὑπὲρ τῶν προβάτων (1). Ὅπως δὲ καὶ τοῦτο;

Ἐρῶ (2) ἤδη, καὶ ἐπὶ τούτῳ τελευταίῳ ὑπὲρ τῆς πόλεως ὄντι μεγάλῳ καὶ μεγίστω (3) καὶ θαύματος γέμοντι καταπαύσω τὸν λόγον.

Ἦσαν τὰ τῶν ἀσεβῶν ἐχθρῶν πλήθη σφοδρῶς ἐπιμαινόμενα τῇ πόλει· καὶ (4) κύκλῳ περιῤῥέοντες καὶ φρουροῦντες ἀσφαλῶς ἦσαν, ὡς ἂν μὴ καὶ λάθοι τις τῶν ἐκτὸς ἐντὸς ταύτης γενόμενος, ἢ τῶν ἐντὸς αὐτῆς ἐξιών. Καὶ λιμὸς ἦν, ὁ καὶ τῶν πολεμίων πλέον

(1) Joannes x, 11 : ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων.

(2) Boivin. : ὅπως δὲ καὶ τοῦτο, ἐρῶ· sine interrogatione, quæ est in codice. Præstaret πῶς.

(3) Boivin. ὄντι μεγίστῳ. Omittunt enim nonnulla, ut veteres librarii, sic librarii recentiores. Choricius : ἐπεὶ δὲ τῶν ἐκείνης ἐμνήσθην γραμμάτων, βούλομαι καὶ διηγήσασθαι. « Forte καί τι διηγήσ. », Villoisonus ait Diatr. pag. 24. Oscitabat quo ille utebatur librario, Villebrunius; nam ipse codex 2967, quem in Villoisoni usum descripsit, diserte habet : βούλομαί τι καὶ διηγ. Ibidem supra : οἱ δὲ μάλα φιλοφρόνως αὐτὴν ὑποδέξονται.... ἀντὶ περὶ γονέας αἰδοῦς. Et hic oscitavit Villebrunius factus librarius : codex, ἀντὶ τῆς περί.... Ibidem etiam peccavit gravius : ἑκάστου δὲ τὸ πλέον ἔχειν δοκοῦντος, τὸ τῆς ἰσότητος μέτρον δηλοῦται. Est in codice sententia amplior :... δηλοῦται, καὶ τὸ προσφόρως ἁπάντων αὐτὴν προεστάναι. Ibidem, p. 59 : κἄν τι παρημελημένον θεάσηται, τοῦτο πρὸς τὸν σύνοικον ἀναφέρει, καὶ τὴν ἐκείνου θεραπείαν τοὺς οἰκέτας ὑπεριδεῖν. De defectu verbi λέγει cogitavit Villoisonus, idque recte; nam codex : ... καὶ τὴν ἐκ. φησὶ θεραπ.... Grammaticus in Anecd. Bekk. p. 1461, de tribus ætatibus comœdiæ : ἡ μὲν καλεῖται ἀρχαία ἐξ ἀρχῆς φανερῶς ἐλέγχουσα. Non negligam codicis scripturam : ἡ ἐξ ἀρχ...

(4) Iterum Boivinus non satis diligens omisit καί. Cujus ut et

καὶ μᾶλλον βαρύτατος, ἑκάστης τῆς ἡμέρας ἀποκτείνων συχνούς. Καὶ ῥύστης ἦν τότε οὔτε φαινόμενος οὔτε προσδοκώμενος οὐδείς. Τί γοῦν ὁ μέγας ἐκεῖνος ἀρχιερεὺς, καὶ ποιμὴν ὄντως καλὸς καὶ προθυμούμενος καὶ μέντοι γε καὶ σπεύδων ὑπὲρ λαοῦ καὶ κλήρου τοῦ ἰδίου θεῖναι τὴν ψυχήν (1); Τὸν λαὸν ἀθροίσας, μᾶλλον δὲ τοῦ λαοῦ ὅσος ἦν τῷ ναῷ χωρητὸς, πρὸς Θεὸν ἐπίκουρον καὶ ῥύστην καὶ σωτῆρα καταφεύγει, καὶ κοινὴν μετὰ πάντων ἐκτελεῖ δέησιν, κοινὴν καὶ πρεσβείαν· καὶ τοῦ ἱεροῦ ἐξιὼν δεσμοῖς αὐτοὺς πνευματικοῖς φρικωδεστάτοις ἐμπεδοῖ· τίνος ἕνεκεν; πρὸς τὸν τῶν πολεμούντων φύλαρχον πρέσβιν ἐκ τῆς πόλεως αὐτὸν ἀφιγμένον ὥστε γ' ἐντυχεῖν καὶ συλλαλῆσαι, καὶ πρᾶξαι καθ' ὅσον ἂν καὶ δύναιτο τὰ τῇ πόλει συνοίσοντα, εἴπερ, ἐκείνου βαρβάρου γε ὄντος καὶ θρασέος καὶ ἐπὶ τοῖς προλαβοῦσιν ἐπηρμένου, καὶ κατὰ μηδὲν ἐπτοημένου μηδὲ δειλαίνοντος, λογισμὸς αὐτῷ καὶ τόλμη γένοιτο αὐτὸν δὴ τοῦτον ἀρχιερέα τῆς πόλεως ὄντα κατασχεῖν, ὑπολογισάμενον ἐντεῦθεν καὶ τὴν πόλιν τὸν τρόπον τοῦτον ἑλεῖν, ἢ, τό γε δεύτερον, χρημάτων τυχεῖν, τῆς πόλεως δούσης ἐλευθερίας ἕνεκεν

aliorum me doctiorum peccata noto, non ea exprobraturus, quæ superbia meæ non est indolis, sed literarum ipsarum quas tracto causa, ac mihi ipsi graviora sæpius peccanti excusationem paraturus. Voculas obiter nonnullis aliorum locis scriptorum restituere quid vetat? Libanius t. IV, p. 854 : μεστὸν ἦν τὸ θέατρον καμήλων, ὄνων, οἷς τε ἄνθρωποι χρῶνται, καὶ μὴν ἐλάφους συνήγαγεν ἡ φήμη. Codex 2918 : . . . ὄνων, ὀρνέων, οἷς. . . . καὶ μὴν καὶ ἐλάφ. . . . Plato Epist. 12 : τὰ μὲν παρὰ σοῦ ἐλθόνθ' ὑπομνήματα θαυμαστῶς ὡς ἄσμενοί τε ἐλάβομεν καὶ. . . Codex 1760 : θαυμαστῶς ἔχοντα ὡς. . . . . Epistola Socrat. 22 : οἴδατον δὲ δὴ. . . ὡς οὐκ οἷόν τε ἀναλαβεῖν ἐστι τὸ ἅπαξ ἐλθὸν ἐς πολλοὺς γράμμα. Bene codex 3054 : εἰς τοὺς πολλούς· quod jam fuit in Allatiana.

(1) Conf. p. 231, n. 1.

αὐτοῦ, μὴ τούτους δοῦναι μηδὲν κἂν αὐτῷ πληγὰς ὁ ἀσεβὴς ἐπιθῇ, κἂν πρὸς τομὴν τοῦ σώματος τῶν μελῶν καὶ μερῶν (1) χωρήσῃ, κἂν ξίφος ἐπανατείνῃ, καὶ ἀπειλῶν εἴη καὶ καλὰ τὴν ἀπειλὴν ἕτοιμος ἐμβαλεῖν πρὸς σφαγήν.

Ὢ γενναίας ἐκείνης καὶ ἀνδρείας, καὶ θαυμασίης καὶ πέρα γε θαύμαλος καρτερικωτάτης ψυχῆς! ὡ τὸ τοῦ μαρτυρίου καὶ (2) θανάτου πιεῖν ποτήριον διψώσης ὑπὲρ λαοῦ καὶ κλήρου ἰδίου κατὰ Χριστοῦ μίμησιν, καινοῦ δή τινος καὶ θαυμασίου τοῦ συναλλάγματος ὄντος! Ἀνθ' οὗ γὰρ περλαβὼν ἔπιες ποτηρίου τοῦτο (3), ὕδατος οὐχὶ ψυχροῦ, ἀλλὰ

(1) Boivinus, *τῶν μελῶν χωρήσῃ*. Omisit ne *καὶ μερῶν* imprudens, an, omissionis conscius, illa verba post *τῶν μελῶν* esse supervacanea opinatus? Hic foret error illo minus venia dignus. Nam sæpissime junxerunt scriptores *μέλη καὶ μέρη*. Plato Legg. VII, p. 233 : *ἐλαφρότητός τι ἕνεκα καὶ κάλλους τῶν τοῦ σώματος αὐτοῦ μελῶν καὶ μερῶν*. Photius Epist. 20 : *τῇ ὁλότητι τοῦ ἐκκλησιαστικοῦ σώματος, μέλους καὶ μέρους τάξιν ἀντιλημφὼς, συνηρμόσθη*. Symeon Metaphr. Epist. 9 : *εἴ τι οὖν ἡμῶν μέλει σοι, μέλει δὲ πάντως μέλος ὄντι καὶ μέρος τῆς μιᾶς ψυχῆς, γράφον τὸ πάχος*. Psellus in Cantic. pag. 304 : *Τούτων γὰρ πάντων τῶν μερῶν καὶ τῶν μελῶν τὸ κάλλος Θέλων τῆς τύμφης ἐπαινεῖν Χριστός*. Malim transponi *μελῶν καὶ τῶν μερῶν*. Ipse bono ordine pag. 320 : *Σῶμα δὲ τοῦτο πέφυκεν ἡ θεία ἐκκλησία, Καὶ μέλη τούτου λέγομεν καὶ μέρη τοὺς ἁγίους*. Tzetzes in Iliad. p. 123 : *οἱ γὰρ Αἰθίοπες στοιχεῖα γραμμάτων οὐκ ἔχουσιν, ἀλλ' ἀντ' αὐτῶν ζῶα ᾠαπτοια καὶ μέλη τούτων ἢ μόρια*. Theodorus Hyrtac. supra t. I, p. 259. Alia vide, si jam tanti sit, in not. ad Aristæn. p. 212.

(2) Male omisit Boivinus *καί*. « Nemo ita oculis valet, ut mi» nutula quædam subinde cum » non fallant », ait alicubi vir diligentissimus ac doctissimus. Epistola Socrat. 22 : *διόπ μέλλοιμι διαπίπλειν τῆς δόξης περὶ τὴν σοφίαν*. Codex 3054 : . . . *διαπίπλ. περὶ τῆς δ'. τῆς περὶ. . .* Priore *περὶ* libenter carebo ; sed alterum *ἢ*, quod et fuit in Allatiana, recipiendum. Psellus De dæmon. p. 30 : *ὁ ποιῶν τοὺς ἀγγέλους πνεύματα* · codices duo : *ὁ π. τ. ἀ. αὐτοῦ πν.*, ut est in Psalmo CIII, 4, quo Psellus est usus.

(3) Boivinus : « an *τούτου* ?. » Si quid mutandum, malim *ἔπιες*

ζέοντος, ὡς ἐκ κρατῆρος τοῦ Πνεύματος (1), ἀλλ' ἠδέσθη σε καὶ θὴρ ἐκεῖνος, ὁ ἄγριος καὶ ἀσεβὴς βάρβαρος. Καὶ γοῦν ἰδὼν ἐξ αὐτῆς εὐθὺς κατεδυσωπήθη τῆς ὄψεως· εἶτ' ἐπὶ πλέον καὶ τοῖς λόγοις τοῖς σοῖς τιθασσευθεὶς ἦν, καὶ δή γ' ἐξομαλισθεὶς ταῖς ὁμιλίαις, καὶ καθυποκλίνας ταῖς τὰ πάντα δυναμέναις σοφαῖς σαῖς παραινέσεσι· καὶ τιμῶν καὶ σφόδρα γε τιμῶν σὲ μὲν μετ' εὐλαβείας ἐνδόξως περέπεμψεν· αὐτὸς δὲ λύσας πάντας τοὺς τῆς πόλεως φόβους, ταύτην ἀφεὶς, ὑπεχώρησε, καὶ σιτισμοὺς ἐπιδαψιλευσάμενος ταύτῃ, καὶ μεταβαλὼν ἐκ τῆς περὶν ἀγριότητος πρὸς τὴν πόλιν οὐκ εἰς μικρὰν εὔνοιαν.

Τοῦτό σοι τὸ μέγα καὶ λαμπρὸν ὑπὲρ τῆς πόλεως τρόπαιον· τοῦτο τοῦ περὶ τὸν Ἰωνᾶν θαύματος οὐκ ἀτιμότερον, ὑπὸ κήτους καταποθέντα μὲν, ἐξεμεθέντα δὲ, καὶ τῆς αὐτοῦ γαστρὸς λυμηναμένης μηδέν· τοῦτο τοῦ Δανιὴλ εἰς βορὰν λεόντων παρατεθέντος, μηδὲν δ' ἐξ αὐτῶν πεπονθότος, εἰς θαύματος λόγον οὐκ ἔλαττον· τοῦτο τῶν ἐν πυρὶ δροσισθέντων παίδων (2) καὶ τῆς φλογὸς μαρανθείσης πρὸς δόξαν οὐκ ἐνδεέστερον. Ἀλλὰ τά γ' ἐξῆς τοῦ διηγήματος;

Ἐκεῖνος ὅτι μὲν τοῦ σώματος καὶ τῆς ἐν τούτῳ ζωῆς βραχὺν, ἢ οὐδένα μᾶλλον, ἦν τὸν λόγον ποιούμενος, ἀλλὰ τοῦ γ' ἐσπουδασμένου πάντα τοῦτον

ποτηρίου, καὶ τοῦτο ὕδατος.... vel ποτήριον τοῦτο. — Junxi ἀλλ' ἠδέσθη præcedenti sententiæ, Boivinum sequutus; quo parum, puto, proficitur. Videtur deesse nonnihil.

(1) Act. Apost. VIII, 25: ζέων τῷ Πνεύματι.

(2) Canticum trium puerorum 26: καὶ ἐποίησε (angelus Dei) τὸ μέσον τῆς καμίνου ὡσεὶ πνεῦμα δρόσου διασυρίζον.

εἶχε, τῆς ἀναλύσεως καὶ πρὸς Θεὸν παντελοῦς ἐκδημίας καὶ γοῦν προσχωρήσεως, ἐδήλωσε καὶ τὸ τοῦ βίου τέλος καὶ τὸ τῆς ῥεούσης καὶ παρερχομένης ταύτης ζωῆς πέρας. Καὶ γὰρ καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀντικαθισταμένων ἀλλήλοις καὶ ἀντεπιστρατευομένων, ἐκεῖνος, ἀφεὶς τὸ σῶμα, μετὰ τῆς ψυχῆς συνεστὼς ἦν ἀεὶ καὶ παρατεταγμένος, προπολεμῶν κατὰ τῆς σαρκὸς, καὶ σθένους παντὸς (1) αὐτῆς κατεξανιστάμενος, καὶ δή γε ῥώσεως ὑφαιρῶν καὶ δυνάμεως. Καὶ ἦν ἡ παράταξις νηστείαις ταύτην καὶ τὴν ἰσχὺν αὐτῆς πᾶσαν καταβαλεῖν, χαμευνίαις, ἀγρυπνίαις, παννύχοις στάσεσι, κλίσεσι γονάτων, ἐκπιεσμοῖς, ταλαιπωρίαις, ἑκουσίοις κακώσεσι, πηγαῖς δακρύων καὶ ῥεύμασιν, ἐκ παντὸς τοῦ δυναμένου τρόπου συντήξεσι δουλαγωγῶν ταύτην, καὶ πάντη καὶ παντελῶς καθυποκλίνων τῇ ψυχῇ καὶ τῷ ταύτης βουλήματι. Ἐκ γοῦν τούτων καὶ τῶν τοιούτων ἐκνευρισθεῖσαν, εἰπεῖν, καὶ ἐξασθενήσασαν, νόσῳ τελευταίᾳ τὸ τελευταῖον παρέδωκε· πρὸς ἣν ἰσχυρὰν οὖσαν καὶ φθαρτικὴν μηδ' εἶχεν ἀντισχεῖν μηδ' οὐδὲν μηδαμῶς προσπαλαῖσαι. Ἡ δὲ παραλαβοῦσα τοὺς συνέχοντας καὶ συνδοῦντας σωματικοὺς καὶ φυσικοὺς δεσμοὺς ἔτεμνε, καὶ κατὰ βραχὺ καὶ κατὰ μικρὸν πᾶν τὸ τῆς σαρκὸς ἀπὸ τῆς ψυχῆς ἔλυε.

Καὶ ὃς αἰσθόμενος, καὶ μηδὲ πρὸ βραχέος τῆς ἀναλύσεως, ἀλλ' ἐπὶ πλείσταις πρὸ ταύτης τῶν ἡμερῶν, ἀντέπραττεν οὐδὲν, οὐδ' ἐβοήθει τῇ καταπονουμένῃ καὶ ῥεούσῃ καὶ ὑπεκλυομένῃ σαρκί· ἀλλὰ τί; τοῦ χωρισμοῦ μᾶλλον καὶ τῆς διαζεύξεως, καὶ τῆς

(1) An ἐκ σθένους παντός?

ἐκ τοῦ σώματος ὡς ἐκ φυλακῆς ἐξαγωγῆς τῆς ψυχῆς, ἣν ὅλος ἡδέως γενόμενος. Καὶ μέντοι γε καὶ τὴν περὶ τῆς ἀναλύσεως ἡμέραν ἡμέραν ἑορτῆς ποιεῖται καὶ πανηγύρεως· καὶ μεταπαλεῖται κατὰ συσήματα τοὺς τῆς πόλεως, καὶ κατανουθετεῖ καὶ διδάσκει καὶ ὑποθεὶς καὶ λαλήσας πρὸς ἕκαστον ἄγε, καὶ τὰ τὴν ἐκείνου χρίσιν, ἣν ἐπιβάλλοντα. Καὶ δὴ καὶ συνλαξάμενος αὐτοῖς (1), καὶ κατασφραγίσας (2) καὶ εὐλογήσας σώματα καὶ ψυχὰς ὁμοῦ, καὶ καθοπλίσας ὅτως ὥσπε γε καὶ ἰσχύειν δύνασθαι πρὸς τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ, καὶ καλαθραύειν καὶ σβεννύναι ταῦτα (3), τῷ ἐξυπηρετουμένῳ μοναχῷ τὰς τοῦ οἰκίσκου κατακλεῖσαι πύλας ἐπέταξε. Καὶ κατέκλεισεν.

Ὁ δ' ὅλος εἰς ἑαυτὸν μόνον σπεφθεὶς καὶ τὴν πρὸς ὃν ἐπόθει Χριστὸν ἀνάλυσιν καὶ ἀνάβασιν, ἐπεὶ τοῦ καλοῦντος ἐπιδεδημηκότος ἤσθετο, τῷ θεραπεύοντι ἐπιτρέπει ἀνελέσθαι τοῦτον (4) καὶ ὄρθιον ἐπὶ σπήθους ἑαυτοῦ στῆσαι. Καὶ ἀνελόμενος ἔστησε. Καὶ ὁ ἅγιος, ἐπὶ τὸν τοῖχον αὐτοῦ τὴν κεφαλὴν κλίνας, τὸ πνεῦμα τῷ καλοῦντι Χριστῷ, καὶ τῷ Παναγίῳ Πνεύματι, ὑπὲρ οὗ καὶ τὰ μεγάλα καὶ λαμπρὰ ἠγωνίσατο, καὶ παρ' οὗ τοὺς ἀῤῥαβῶνας, ἐνταῦθ' ἔτι ὤν, ὡς ὁ λόγος ἐδήλωσεν, εἴληφε (5) τῶν μελλόντων καὶ κειμένων

(1) « Quum illis valedixisset. » De hoc sensu verbi *συντάσσομαι* monui ad Plan. Metam. p. 692; adde Reisk. ad Constant. De cerem. p. 119 D.

(2) « Et quum facto manu cru- » cis signo dedisset benedictio- » nem. » Vide Reisk. ibid. ad pag. 8 A.

(3) Epist. ad Ephes. VI, 16 : *ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι.*

(4) Effigiem Christi crucifixi parieti, puto, affixam.

(5) Epist. II ad Cor. I, 22 : *ὁ καὶ σφραγισάμενος ἡμᾶς καὶ δοὺς τὸν*

εἰς ἀμοιβήν, ἀθορύβως πανλάπασι καὶ ἡδέως παρέδωκε.

Καὶ ἦν δὴ τοῦτο· καὶ (1) πρὸς τὴν πόλιν εὐθὺς κήρυγμα. Ἡ δὲ, θαλάσσης δίκην μεγάλης, πνευμάτων πανταχόθεν αὐτῇ σφοδρῶς ἐμβαλόντων καὶ περβόλοις τῶν κυμάτων περσαρασσόντων, ἐγείρεται πᾶσα μετ' ἤχου καὶ κραυγῆς μεγάλης, καὶ πρὸς τὴν τοῦ κηρύγματος βοὴν ἐξανίσταται, ταῖς χερσὶν ὑπερηχοῦσα φωναῖς (2), τοῖς θρήνοις, τοῖς ὀδυρμοῖς, καὶ μὴ τὸν ὑπὲρ αὐτῆς μόνον ἀέρα, ἀλλά τι καὶ μέχρι τοῦ μακρὰν καὶ πόρρω, πληροῦσα τῶν ἐκ τῆς συμφορᾶς καὶ τοῦ πάθους πλείστων ὅσων θρηνωδημάτων. Πάντες ἔτρεχον, πάντες ἔσπευδον, ἄνδρες, γυναῖκες, νέοι, πρεσβύται, ἡλικία πᾶσα, παντὸς ἐκ γένους· ἐζήτουν τὸν πατέρα, τὸν ποιμένα, τὸν μέγαν ἀρχιερέα, τὸν τῆς πόλεως πρόμαχον, τὸν πρὸς Θεὸν ὑπὲρ αὐτῶν πρέσβιν, τὸν πρὸς βασιλέας, τὸν φρονίσιην, τὸν κηδεμόνα, τὸν προμηθέα πάντων ὁμοῦ καὶ καθ' ἕνα, τὸν πάντα πρᾶξαι καὶ παθεῖν ὑπὲρ αὐτῶν πεφηρημένον. Συνέρρεον ἐπὶ τὸν ναὸν, τὸν διδάσκαλον ἐκζητοῦντες

ἀρραβὼνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν.

(1) Simili dicendi formula Nicolaus Prog. t. I, p. 267, Rhetorum Walzii: ταῦτα ἦν, καὶ καταῤῥυεῖσα χιών... Eustathius Opusculis, quibus editis optime de literis meritus fuit Tafel., p. 276: ἦσαν ταῦτα, καὶ οἱ μέν.....

(2) Grammaticus supra t. II, p. 364: Ὑπερηχῶ τοὺς κήρυκας· περιηχῶ τὰ τῇδε. Ad ὑπερηχοῦσα regimen admoveatur βοὴν κηρύγματος. Construxit alterum verbum περιηχεῖν recte cum accusativo Basilacas inter Rhetores Walzianos t. I, p. 443, 3, ut et alii plurimi, quos non adducam, a quorum exemplo recessit, ipse non in exemplum proponendus, auctor Itinerum Thomæ per Indiam p. 9: καὶ ἰδοὺ φωναὶ αὐλητῶν καὶ ὑδραυλέων καὶ σαλπίγων περιηχοῦσαι αὐτοῖς· ubi malim ὑδραύλεων. Basilius in Monum. Cotel. t. I, p. 28: οὐδὲν δέομαι τῶν ἔξω περιηχούντων τὸν τύπον. Cotelerius conjecit κτύπον, ego πόπον. Permutata πόπον et τύπον ostendit nota ad Andreopuli Syntipam p. 183.

καὶ ποθοῦντες τί ἂν αὖθις λαλήσῃ (1) πρὸς αὐτούς, τί καὶ εἰπὼν καὶ διδάξας βελτίους τὰ πάντα ποιήσειε· τὸν ἀδέκαστον δικαστὴν ἐπόθουν, τὸν τῶν ἠδικημένων πρόστατην, τὸν τροφέα τῶν πενομένων, τὸν ἀγαθὸν σύμβουλον πρακτέοις γ' ἐπὶ πᾶσι, τὸν πᾶσι πάντα γενόμενον (2) ἵνα πάντας Θεὸς κερδήσῃ. Κατετόλμων τοῦ σώματος ἅψασθαι, τῶν ἐπιβλημάτων μέρους τινός· καὶ ὅ τι ἂν τύχοι ἕκαστος ἐξ ἐκείνων εἰληφὼς καὶ κερδήσας, εὐλογίαν ἐνόμιζε τοῦτο καὶ ἁγιασμὸν οἴκου. Κατέχειν τὴν ἔχθραν τὸ σῶμα κιβωτὸν ἐτόλμων καὶ μὴ ὑπὸ γῆν κρύψαι, νομίζοντες, μᾶλλον δὲ καὶ βεβαίως θαῤῥοῦντες ἐξ αὐτῆς δὴ καὶ μόνης τῆς πρὸς αὐτὸν ὄψεως ἁγιάζεσθαι, καὶ παραμυθίαν ἐπί τε τῇ παρούσῃ καὶ πάσαις ἄλλαις ἐπεισπιπτούσαις συμφοραῖς λαμβάνειν. Ἐπεὶ δὲ μηδὲ τοῦτ' ἦν δυνατόν (ἔδει γὰρ μᾶλλον γενέσθαι τὰ νενομισμένα· καὶ δῆτα καὶ γέγονεν), αὖθις ἐπ' οἴκους ἀνέστρεφον μετὰ τῶν ἴσων ὀδυρμῶν, μετ' ἴσου τοῦ πένθους, μὴ κατὰ συστήματα μόνον πάλιν, ἀλλὰ καὶ κατ' οἶκον ἕκαστος, χερσὶ συμπλέκοντες ἅσματα, οὐχ ὡς ἐπ' ἐκείνῳ μᾶλλον, ἢ καὶ ἐπ' αὐτοῖς, εἰπεῖν, νεκρωθεῖσι τὸ πᾶν, θρηνοῦντες· καὶ στέρησιν τῆς ἑαυτοῦ ζωῆς ἕκαστος τὴν ἐκείνου τελευτὴν καὶ μετάστασιν λογιζόμενοι.

Καὶ ταῦθ' οὕτως εἶχε, καὶ μέχει παντὸς ἔξει, τῆς ἐκείνου μνήμης ἀεὶ μενούσης καὶ μετ' ἴσου τοῦ φίλτρου,

(1) Forsan λαλήσοι. Artemidorus I, 80, p. 125 : οἴῳ δ' ἄν τις ὑπολάβοι θηρίῳ μιγῆναι· malim ὑπολάβῃ. Psellus in orac. p. 58 : μηδὲ φροντίζειν πῶς ἂν ἐξέλθοι τὸ σώματος· codex 2109, bene, ἐξέλθῃ. Idem p. 77 : ἐὰν ἐξ ὀνόματος καλέσῃς τὴν τοιαύτην πηγήν, οὐδὲν ἕτερον ἴδῃς ἂν ἐν οὐρανῷ φάσμα λεύκιον· melius codex, ἴδοις ἄν.

(2) Cf. Epist. I ad Cor. IX, 22.

μετ' ἴσης καὶ τῆς εὐφημίας, μετ' ἴσων καὶ τῶν ἐγκωμίων, ὡς καὶ ἡμεῖς νῦν τὰ κατ' ἐκεῖνον, ἐφ' ὅσον πρὸς δύναμιν ἧκε (1), λογογραφοῦντες (2) καὶ δῆτ' ἐκδιηγούμενοι, τῷ χρόνῳ παραπέμπομεν, τοῖς ἐντυγχάνουσι, καὶ τῶν ἐκείνου καλῶν ἐντεῦθεν αἰσθανομένοις, ἐντεῦθεν καὶ τῆς συμφορᾶς καὶ τοῦ πάθους γεγενημένοις, καὶ συνθρηνοῦντες, καὶ τῶν νῦν γιγνομένων μηδὲν μηδενὸς ἐλλείποντες.

Ταῦτά σοι βασίλισσα, ταῦτα τῆς συνήθους καὶ φιλτάτης σοι γλώττης, καὶ ἧς ἀκούων ἡδέως ἤκουες, ὑπὸ σοὶ καὶ παιδευτῇ σοφῷ καὶ μυσταγωγῷ καὶ πεπαιδευμένης καὶ δεδιδαγμένης (3)· ταῦτα κἀγὼ, ταύτης ὑπαγορευούσης, καὶ τοῖς ἐμοῖς γλώττῃ καὶ χειρὶ, ὅσα καὶ καλάμῳ καὶ γραφῖδι, χρωμένης. Ἀλλά τι καὶ σὺ, ὦ θεία καὶ ἱερὰ καὶ ἡμῖν τὰ πάντα σεπτὴ κεφαλὴ, μὴ λίποις ἡμᾶς καὶ ἄνωθεν ἐποπτεύων, καὶ κατευθύνων, καὶ διεξάγων, καὶ πρὸς Θεὸν ἑκόντας ἢ καὶ ἄκοντας ἕλκων καὶ τὴν ἐκείνου κληρονομίαν ἀκήρατον, ἄφθαρτον καὶ ἀεὶ μένουσαν, οὐκ ἐξ ἔργων ἡμῶν (οὐ γὰρ ἔχομεν ἐξ οὐδενός), ἀλλ' ἐκ πίστεως (4) ὀρθῆς μόνης, ὑπὸ μεσίτῃ σοὶ, Θεοῦ διδόντος, καὶ τῆς παναχράντου, πανυπεράγνου καὶ παναγίας μητρὸς αὐτοῦ ἐν οἰκτιρμοῖς μεγάλοις παρεχομένης.

(1) Similes formulas attigi t. IV, p. 28. Philo De col. parent. 18 : ὁ τὴν ἱερὰν ἑβδόμην βέβηλον ἀποφήνας τό γ' ἐπ' αὐτὸν ἧκον μέρος, ὑπόδικος ἔστω θανάτῳ

(2) Proprie verbo λογογραφεῖν usus est qui Theolepti laudationem, invitante, ut videtur, imperatrice, conscripsit. Nunc enim est Chumnus λογογράφος proprie, non ῥήτωρ. Vide interpretes ad Aristot. Rhet. II, 11, 7.

(3) Hæc tibi scilicet, Theolepte, imperatrix mittit et offert linguæ notæ tibi ac caræ munera, meæ videlicet, quam formasti ac docuisti.

(4) Cf. Epist. ad Gal. II, 16.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΟΥΜΝΟΥ

ΠΡΟΣ ΤΟΝ ΦΙΛΑΔΕΛΦΕΙΑΣ

ΠΕΡΙ

ΤΟΥ ΕΝ ΚΑΝΑ ΘΑΥΜΑΤΟΣ.*

Καὶ δὴ τὸ ἐν Κανᾶ θαῦμα τοῦ σωτῆρος Θεοῦ, τῶν ἄλλων πρῶτον ὂν, καλῶς ἔχεις ζητήσας ὅτου δὴ χάριν οὐχ ἕτερον, ὕδωρ δ' ἦν εἰς οἶνον μεταβαλόν. Καὶ γὰρ οὐδὲ τοὐναντίον, οἶνος ὕδωρ γεγενημένος, οὐκ ἔλαττον ἂν ἦν οὔτ' εἰς θαῦμα, οὔτ' εἰς ἀπόδειξιν, εἰ μὲν βούλει τῆς μεταποιητικῆς, εἰ δ' οὖν τῆς δημιουργικῆς θεϊκῆς λέγειν δυνάμεως· καὶ εἶχεν ἂν καὶ τὸν εἰκότα λόγον ἐπὶ τοῦ γάμου καὶ τοῦ συμποσίου· τίνα τοῦτον; ὃν καὶ Παῦλος φησί, « μὴ (1) μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστὶν » ἀσωτία »· ἐκπλῆττον ἅμα καὶ σωφρονίζον τοὺς ἀκρατεῖς, καὶ πεῖθον πρὸς τὸν γάμον ὁρᾷν καὶ τοῖς νενομισμένοις αὐτῷ χρῆσθαι, ὕδατι χρωμένους, καὶ μὴ οἴνῳ, ἐν ᾧ, καθ' ἣν εἴπομεν φωνὴν, ἀσωτία ἐστί.

* Ex codice 2105, pag. 264. Episcopus Philadelphiæ, cui inscripsit Chumnus opusculum, Theoleptus ille est, quem mortuum præcedenti laudavit oratione. De miraculo aquæ in vinum conversæ exstat Nicephori Basilacæ ethopœia inter Rhetores Walzianos t. I, p. 499. Ibi Deipara ad filium : ὡς παῖδά σε περιπτύξομαι, ἢ ὡς θεὸν σεβασθήσομαι;... ὡς μήτηρ περιλαλεῖν σε γλίχομαι, καὶ ὡς ἄνθρωπος προσελθεῖν ὑποστέλλομαι. Videtur prorsus alienum esse περιλαλεῖν. Propono περιλαβεῖν. De permutatione verborum λαλεῖν et λαβεῖν monui ad Nicet. p. 182. Theodorus Prodr. Rhod. VIII, pag. 349 : Οὐδεὶς γὰρ ἐκφλέγοιτο πρὸς φίλου πόθον, Συνὼν, θεωρῶν, συλλαβῶν καθ' ἡμέραν· imo συλλαλῶν, ut est in cod. Veneto Rhodoniæ Macarii Chrysocephali, quod me olim docuit optimus ille et doctissimus homo Jac. Morellius. Quid autem in Vaticanis libris reperisti, Basse, future, si placuerit bibliopolis, Theodori sospitator?

(1) Epist. ad Ephes. V, 18.

Νῦν δ' ὕδωρ μετενεχθὲν εἰς οἶνον τρυφῆς τις, εἰπεῖν, ἔστιν ὑπόθεσις, ἣν Χριστὸς οὐδαμῆ φαίνεται οὔτ' ἐπιτρέπων, οὔτε συγχωρῶν· καί γε δῆλον ἐξ ἧς καὶ παρέδωκεν ἡμῖν εὐχῆς, τὸν ἐπιούσιον ἄρτον (1) ὥστε ζητεῖν καὶ μηδὲν ἕτερον, μηδὲ βρωμάτων ἡδονάς. Καὶ ποτηρίου δὲ μισθὸν τοῖς μεταδιδοῦσιν ἐπαγγελλόμενος, οὐκ οἴνου, ψυχροῦ δὲ λέγει (2)· τοῦτο δ' ὕδωρ ἐστίν. Ὅπερ γὰρ ἐπὶ τῆς γῆς τὸ ξηρὸν, καὶ λόγος ἐκεῖ ὀφθῆναι τὴν ξηρὰν (3), τουτέστι τὴν γῆν, τοῦτ' ἐνταῦθα τὸ τοῦ ποτηρίου ψυχρὸν ὕδωρ ἐστὶ, πόμα κοινὸν ἀνθρώποις τε καὶ τοῖς ἄλλοις τῶν ζώων, καὶ ἅμα μὲν ἐπὶ τούτων, ἅμα δ' ἐπ' ἐκείνων ἀρκοῦν· καὶ οὐ μή τι πάθῃ (4) ζῶον οὐδὲν φθεῖρον τὴν ζωὴν, ὕδατι κεχρημένον· οὔτ' ἄνθρωπος οὐκ ἂν πάθοι, ἐπεὶ καὶ ἦν ὅτε δὴ καὶ ὕδατι τρεφόμενος ἔζη, οἴνου πέρι μηδὲν μηδαμῶς εἰδώς. Μετὰ γὰρ τὸν κατακλυσμὸν, φασὶν, ὁ οἶνος· καὶ εὐθὺς ἐξ αὐτῆς τῆς περὶ αὐτὸν πρώτης ἐπιστήμης καὶ πείρας σφαλερός (5).

(1) Matth. VI, 11; Luc. XI, 3.

(2) Matth. X, 42: ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον... οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

(3) Conf. Genes. I, 9.

(4) Codex, πάθοι. Visum est πάθοι deberi librarii iotacismo. In Equitibus 35 Brunckii fuit lectio: Εὖ προσβιβάζεις μ'· ἀλλ' ἑτέρᾳ ποι σκεπτέον. Edidi πῃ, sequutus, puto Elmsleium. Serius πῃ reperi in cod. 2712. Photius Epist. in Monum. Cotel. t. II, p. 105: τῆς τροφῆς, ἂν οὕτω τύχοι, πρὸ τῶν ὀφθαλμῶν πολλάκις ἐγκειμένης· imo τύχῃ. Niceph. Basilacas in Allatii Excerptis p. 126: ὅπου γὰρ τὸ κακὸν πρόχειρον, καὶ τὸ ἀνδρεῖον πεφόβηται, κἂν ἴδοι τὸ βίᾳ κρατεῖν οὐκ ἀκίνδυνον, τὸ λάθρα σοφίζεται· imo ἴδῃ. Libanius t. IV, p. 405: ἐμοὶ μὲν ἡ θάλασσα, Διὸς δὲ ὁ οὐρανός· quis non malit ἐμὴ codicis 3017? Memini quidem loci biblici: ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω. Sed in Libanio ἐμὴ mihi unice placet. In Psalm. XLI, 3, ubi ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτὸς, vir d. nuper conjecit ἐμὸς pro ἐμοὶ, summa cum temeritate.

(5) Genes. IX, 20: καὶ ἤρξατο

Μέλει δ' οὐδὲν τῶν τοιούτων, οὐδ' ἀνθρώπου γ' εἵνεκα, τῷ Θεῷ· τῶν δ' ἀναγκαίων τοῖς ζῶσι μέλει, ἄρτου, φημὶ, καὶ ὕδατος· καὶ διὰ τοῦτο καὶ τὸ μὲν ἡμῖν ἄσωτον ἅμα καὶ ἄφθονον· ἄρτον δ' ἐσθίειν ἐν ἱδρῶτι, ἐκείνῳ τεθέσπισμα (1), διὰ τὸν καπὸν πάντως, οὗ τοῦ καλοῦ (2), τῆς ὥρας καὶ τῆς βρώσεως ἠτιμηθέντες καὶ τῶν ἐντεταλμένων ὠλιγωρηκότες, μετέσχομεν.

Οὐ μὴν ἀλλὰ τοῦτον δὴ τὸν τρόπον τούτου καὶ δοκοῦντος πλείω καὶ ἀμείνω λόγον ἔχειν, πλεῖον ἔχειν καὶ παίδευμα, σωφροσύνης εἵνεκα καὶ τοῦ μὴ ἀσέμνως καὶ ἀσώτως βιοῦν, τοῦ γε δηλονότι τὸν οἶνον ὕδωρ γεγενῆσθαι ἢ τὸ ὕδωρ εἰς οἶνον μεταβαλεῖν, τί ὅτι (3) μὴ τὸ πρῶτον καὶ ἄμεινον, μηδ' ἕτερον ἴσως, ἐπὶ δὲ τοῦ δευτέρου τὸ θαῦμα τὸ ὕδωρ ἔστι μεταποιοῦν, καὶ εὖ καὶ καλῶς, καθὰ δὴ καὶ ἐν προοιμίοις εἰρηκότες ἐσμὲν, αὐτὸς ἐπισπάσας, τὸν λόγον ἐζήτησας. Ἀλλὰ σθ μᾶλλον τίς ἂν, καὶ ἐπισκεψάμενος καὶ πολυπραγμονήσας, ἐφεύροι ἂν ὀρθῶς, οὗ καρδία μὲν καθαρὰ καὶ ὁρῶσα Θεὸν, διαλογισμοὶ δ' ἐν αὐτῇ ἀναβαίνοντες ἐπ' ἐκεῖνον ἀκραιφνῶς διαβαίνουσι καὶ τὰ ἐκείνου θαυμάσια, ὥστε σε καὶ μετὰ τὸ Πνεύματος ἔχειν ἀσφαλῶς ἐρευνᾶν τὰ τοῦ Πνεύματος; Ἐπεὶ δὲ καὶ ἡμῖν ἐρεῖν τὸ δοκοῦν ἐπέτρεψας, ἐροῦμεν, τῷ σῷ Πνεύματι καὶ τῇ ἐξ αὐτοῦ θαρρήσαντες χάριτι.

Δύο ταῦτα ἐφ' ὕδατος, τὸ μὲν πρῶτον τῶν ἄλλων,

Νῶε ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα· καὶ ἔπιεν ἐκ τοῦ οἴνου καὶ ἐμεθύσθη, καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ.

(1) Genes. III, 19 : ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου.

(2) An τοῦ κακοῦ?

(3) Vernacule, sed negligentissime, *pourquoi que*. Veteres dicebant potius ὅπ. Cf. p. 249, 5.

τὸ δ' ἔσχατον τῶν ἄλλων καὶ ἐπὶ σλαυρῷ, ὁρῶμεν θαύματα γεγενημένα· καὶ τὸ μὲν πρῶτον, αὐτὸ δὴ τοῦτο τὸ ἐν Κανᾷ καὶ ἐν γάμῳ, ὃ δὴ καὶ διεξιόντες ἐσμέν· ἐπὶ δὲ τοῦ σλαυρῷ ὕδωρ ῥυὲν ἐκ τῆς τοῦ Σωτῆρος πλευρᾶς (1), μεταβαλόντος εἰς τοῦτο τὸ θεϊκοῦ αἵματος ἐπ' ἐσχάτῳ τῶν θαυμάτων, ὡς ἐπὶ τοῦ πρώτου Χριστὸς αὐτὸς εἰς οἶνον τοῦτο μετέβαλε.

Καὶ οἶμαι εἰς ταυτὸν ἱέναι ἄμφω τὼ θαύματε, τό τε πρῶτον τό τ' ἔσχατον. Ἐκεῖ μὲν γὰρ γάμος, καὶ τιμᾶ τοῦτον Θεὸς (2), ὅτι καὶ τίμιος (3)· τίμιος δὲ τῶν ἐξ αὐτοῦ παίδων εἵνεκα, ὃς καὶ εἰσποιεῖται Χριστὸς καὶ πατέρα αὐτῶν εἶναι λέγει Θεὸν παλέρα τὸν ἴδιον, καὶ προτρέπει γε καὶ ἀπὸ ταύτην τὴν σχέσιν ἀνθρώπους ὄντας τολμᾶν ἐπικαλεῖσθαι αὐτόν. Πότε δ' αὐτοὶ τοῦτο εἰσὶ, καὶ πότ' ἐπικαλούμενοι γνησίως εἰσίν; ὁπηνίκα δηλονότι καὶ δι' ὕδατος καὶ πνεύματος αὖθις ἀναγεννηθέντες (4) αὐτὸν Χριστὸν ὅλον φορέσωσι διαπαντὸς καὶ ἄφθαρτον ἔνδυμα. Τί λοιπόν; ἡ μὲν τοῦ βαπτίσματος πηγὴ δήλη ἐξ ἧς καὶ τὸ ἀναγεννᾶσθαι ἡμῖν· τὸ δὲ τοῦ Πνεύματος ἀφανές, καὶ τοῖς ἀπίστοις οὐ πάνυ τι πιστὸν ὅτι τοσαῦτα ὑπερφυῆ καὶ μεγάλα ἔσλιν ὕδωρ δεδυνημένον. Οὐ γὰρ ὁρῶσι τὸ Πνεῦμα, καὶ, ὅτι μὴ ὁρῶσιν (5), οὐδ' αἰσθάνονται τῆς ἐς αὐτὸ τοῦ ὕδατος

(1) Joann. XIX, 34 : εἷς τῶν σλρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθὺς ἐξῆλθεν αἷμα καὶ ὕδωρ.

(2) Gregorius Naz. Orat. XL, p. 648 : μιμήσομαι Χριστὸν. . . ὃς καὶ θαυματουργεῖ γάμῳ καὶ πηδᾷ συζυγίαν παρουσίᾳ.

(3) Epist. ad Hebr. XIII, 4 : τίμιος ὁ γάμος ἐν πᾶσι.

(4) Joann. III, 5 : ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

(5) Joann. III, 8 : τὸ πνεῦμα, ὅπου θέλει, πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις· ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐξ ὕδατος.

μεταβολῆς καὶ μεταποιήσεως. Μεταβάλλει γοῦν καὶ μεθίστησιν εἰς οἶνον τοῦτο Χριστὸς, ἵνα δὴ καὶ τὴν ἐς αὐτὸ τὸ Πνεῦμα μεταβολὴν τούτου πιστώσηται, καὶ ἅμα τὴν τῆς ἐκ γάμου καὶ γεννητῆς φύσεως πρὸς τὴν ἄφθαρτον πιστώσηται ἀναγέννησιν.

Διὰ τοῦτο καὶ ἐπὶ τοῦ σταυροῦ ἐκ τῆς θείας πλευρᾶς αἷμα καὶ ὕδωρ (1), ὅτι καὶ ἄμφω ταῦτα Χριστὸς, ἐξ ἁγνῶν παρθενικῶν αἱμάτων (2) γενόμενος σὰρξ, καὶ ὕδατι βαπτισθεὶς, καὶ λυτρὸν λουσάμενος, οὐχ ἑαυτοῦ χάριν, ἀλλὰ παντὸς τοῦ κόσμου καθάρσιον.

Οὕτως ἡμεῖς ἐσμὲν περὶ τοῦ πρώτου τῶν ἄλλων πάντων τῶν Σωτῆρος ἐπεγνωκότες θαύματος· ὕτως ἐπὶ τοῦ ἐσχάτου καὶ ἐπὶ τοῦ σταυροῦ. Καὶ ἅμα τὸ μὲν ὕδατος οἴνου, αἵματος δ' αὖθις ὕδατος γεγενημένων, οὐδὲν ἄπιστον, μὴ οὐχὶ καὶ οἶνον αὐτὸ τοῦθ' αἷμα τὸ τὰ τοιαῦτα θαυματουργοῦντος γενέσθαι (3), τὸ τελευταῖόν που μυστήριον καὶ ἡμῖν γε σωτήριον, καὶ χοῦν κρατῆρα ὂν αὐτὸς, ὁ καὶ τῆς ἧς ἀποστόλου

(1) Videtur excidisse verbum, forsan ἐξῆλθεν: confer pag. 243, n. 1. Quid facilius quam voculam omittere? Niceph. Gregoras Hist. x, 2, 2, p. 293: θρηνήσαι σῶμα ἐκεῖνο, ὃ χθὲς μὲν καὶ πρώην οἰονεί τι σίμβλον καπφαίνετο μέλιτος. Cod. 2991 A: σίμβλον ἡμῶν κατ. Idem ibid. p. 294: ὦ πῶς μεπεμψόχωσίν τινα δοξάζειν καὶ αὐτὸς κεκινδύνευκα ἐπ' ἐκείνῳ γενέσθαι, καὶ πάντων ὁμοῦ τὰς ψυχάς, Ὁμήρου καὶ Πλάτωνος καὶ Πτολεμαίου, καὶ ὅσοι ῥητορεύουσαν πεπλουτήκασι γλῶσσαν, ἐν ἑνὶ τῷ τούτου σώματι συνδραμεῖν! codex idem: ὦ π. πολλάκις μεπεμψ... et cod. 3043: Ὁμήρου τ καὶ Πλ... Libanius t. IV, p. 862: χρὴ δὲ ποσοῦτον αὐτοὺς (τοὺς σοφούς) τῶν λοιπῶν διαφέρειν, ὅσονπερ ἐκείνους τῶν θηρίων. Codex 2918: αὐτοὺς ὑπολαμβάνειν τῶν λοιπῶν· ad sententiam bene. Ælianus Tact. præf. pag. 3: ὅπῃ καπηχόμην περὶ συγγεγράφειν· cod. 2540: περὶ τὸ συγγεγράφειν.

(2) Confer similia t. II, pag. 481, 2.

(3) Scilicet in eucharistiæ sacramento.

ἐκκλησίας ἠγάγετο νυμφίος ὢν, ἐξ ἀενάου πηγῆς χιρνᾶ, ζωῆς αἰωνίᾳ τοῖς μετέχουσι χορηγὸν. Ὥσ' ἐν ἑνὶ τούτῳ τῷ ἐν Καινᾷ, μὴ μόνον πρώτῳ τῶν ἄλλων, ἀλλὰ καὶ μόνῳ γε ὄντι, πᾶσαν ἡμῶν ἀποδεδεῖχθαι τὴν τῆς σωτηρίας ἰσχὺν καὶ σιερρὰν τὴν πίστιν ἐνιδρύσθαι.

Σὺ δ' ὅ τι ἂν ἄλλο καὶ γνοίης ὑψηλότερον καὶ διδάξαις, ἅτε καὶ Θεοῦ τῶν θαυμάτων, τούτου τε καὶ τῶν ἄλλων, ἐς τὰ μάλιστα καὶ πλέον ἐφικέσθαι δεδυνημένος, τούτῳ δὴ καὶ αὐτοὶ τὸν νοῦν προσσχόντες (1), τούτου ἂν καὶ γενοίμεθα.

(1) Cf. p. 251, n. 3; et Bæhr. ad Herodot. t. 1, pp. 8, 926.

ΤΟΥ ΑΥΤΟΥ

ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ

ΕΠΙ ΤΗ ΠΡΟΣ ΤΟΝ ΗΛΙΑΝ ΑΙΤΗΣΕΙ ΤΟΥ ΕΛΙΣΣΑΙΟΥ ΚΑΙ ΤΟΙΣ ΚΑΤ' ΑΥΤΗΝ ΔΙΗΠΟΡΗΜΕΝΟΙΣ· ΠΡΟΣ ΤΟΥΤΟΙΣ ΔΕ ΚΑΙ ΕΤΙ ΠΛΕΙΩ ΚΑΙ ΜΕΙΖΩ ΕΚ ΤΩΝ ΕΥΑΓΓΕΛΙΩΝ ΚΑΙ ΗΠΟΡΗΝΤΑΙ ΚΑΙ ΛΕΛΥΝΤΑΙ.*

Εἶχε μὲν ἐμὲ καὶ πρότερον (1) φόβος, καὶ οὐδὲ μικρὸς ἦν οὗτος, μὴ τί γε τολμᾶν, ἐπὶ γραφὰς ἱερὰς ἰόντα, εἰς βάθος ἢ εἰς ὕψος τούτων πειρᾶσθαι ἰέναι, μὴ δ' ἐξετάζειν, μήθ' ὅσα μὴ δεῖ, μήθ' ἃ μὴ πάνυ τι ἀσφαλὲς, μὴ δέ γε πολυπραγμονεῖν, μὴ δ' οἷον γυμνάζειν καὶ δοκιμάζειν ἐθέλειν τὸν νοῦν ἐν τοῖς ἀποκρύφοις αὐτῶν, ἐπεὶ μηδὲ πᾶσιν ἀφεῖται ταῦτα καὶ ὅσα τῷ Πνεύματος, ἀλλ' οἷς καὶ τοῦτ' ἔστι δεδομένον, δεδυνῆσθαι δηλονότι τῶν δεδομένων ἐφικνεῖσθαι καὶ ὑπηρετουμένων τῷ Πνεύματι· καὶ τὸ τῆς θείας φωνῆς πρὸς τοῦτ' οἶμαι μᾶλλον φέρειν, « ἐρευνᾶτε (2) τὰς » γραφάς »· τουτέστι μὴ πρὸς πάντας εἶναι τὴν πρότρεψιν, ἀλλά τι πρὸς ἐκείνους, οἷς καὶ τὸ εὑρίσκειν ἐστὶν ὡς ὀρθῶς ἔστιν ἐν αὐταῖς, κεκαθαρμένους ὅλους καὶ σῶμα καὶ γλῶτταν καὶ ψυχὴν καὶ διάνοιαν, καὶ ζῆν τὸν τρόπον τοῦτον δεδυνημένους, χωρεῖς κηλῖδος, φωτὸς εἶναι τοῦ θείου δεκτικοὺς, καὶ ἀποκαλύψεων καὶ μυήσεων ὑψηλοτέρων τοῦ καθ' ἡμᾶς νοῦ

* E codice regio 2105, pag. 266, 2.

(1) Forsan quum de miraculo facto in Cana inquireret; vel est sententia in genere prolata.

(2) Joan. v, 39.

καὶ τῆς καθ' αὐτὸν ἰσχύος καὶ φύσεως. Εἰ γὰρ ἀπάλλοις χερσὶν οὐ θέμις τῶν ἁγνῶν ἅπτεσθαι καὶ καθαρῶν, ἢ που πολὺ καὶ πλεῖόν ὅσον τὸ θεὸς νοῦν μὴ κεκαθαρμένον μηδὲ διάνοιαν ἐμβιβάζειν βιάζεσθαι καὶ προσχωρεῖν καὶ οἷον συμπαρεκτείνεσθαι τοῖς ὑπερκειμένοις, καὶ μηδὲν ἐφικτοῖς, ὅτι μὴ μετ' ἀκραιφνοῦς ἁγνισμοῦ καὶ ἧς εἴπομεν τελείας καθάρσεως.

Οὐ μὴν ἀλλ', ἐπειδὴ Θεοῦ καὶ ταῦτα φωναί, « ζητεῖτε (1) καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται », προθύμεν καὶ αὐτοὶ, ζητοῦντες εὑρεῖν. Καὶ κρούομεν δὴ πρῶτον τὸν νοῦν, ὡσεὶ ἐν προσοχῇ γρηγορῆσαι καὶ ταπεινώσει καὶ συντριβῇ καρδίας· εἶτ' αὐτὸν ἄγομεν ἐπὶ τὰς ἐγκλειούσας πύλας καὶ τὰς ἐπικρύψεις αὐτῶν τῶν θείων γραφῶν, βάλλοντα μὲν ἐς αὐτὰς, οὐκ ἀφόβως δὲ, καὶ γοῦν μετὰ πολλοῦ τινος τοῦ δέους ζητοῦντα ῥαγῆναι ταύτας ἐφ' ἱκανὸν καὶ ὑπανοιχθῆναι αὐτῷ, καὶ δὴ γενόμενον ἐνὸς μηδὲν ἴδιον μήτε νοῆσαι μήτ' εἰπεῖν, ἀλλ' ὅσον ἂν καὶ διδαχθείη, ὡς ὑπὸ παραπετάσματι τῷ φαινομένῳ κρυπτόμενον καὶ μὴ πάνυ τι δῆλον ὂν τοῖς πολλοῖς.

Οὐ μὴν ἀλλ', ἐπεὶ ταῦτ' ἀρχὴν τῶν ἐφεξῆς ὑποθεμένοις ἐπὶ τούτοις οὕτως ἔχουσι καὶ θαρρεῖν ἡμῖν ἔπεισιν, ἐπ' αὐτὸ καὶ δὴ λοιπὸν ἥκομεν, ὃ δὴ νῦν καὶ ζητοῦντες ἐσμέν. Ἔστι δὲ τοῦτο τί; τὸ κατὰ τὸν Ἠλίαν καὶ Ἐλισσαῖον, ᾧ δήπουθεν ἑνί γε ὄντι καὶ ἀπόρῳ πλείω καὶ μείζω συνεισέρχεται, τῆς αὐτῆς ὄντα καὶ ταῦτα ἐρεύνης καὶ ἀπορίας.

Ἀκούει μὲν γὰρ Ἠλίας Θεοῦ εἰρηκότος Ἐλισσαῖον χρίσαι ἀντ' αὐτοῦ εἰς προφήτην (2), καὶ χρίει. Εἶτ'

(1) Matth. VII, 7.

(2) III Regg. XIX, 16.

ἀμφω ἐπὶ τὸν Ἰορδάνην ἰόντες, Ἠλίας αὐτὸν πατάξας τῇ μηλωτῇ τέμνει (1), καὶ βαίνουσι διὰ ξηρᾶς, τῶν ῥευμάτων αὐτοῖς ὑποχεχωρηκότων. Ἐπὶ δὲ τούτῳ Ἠλίας ἐπιῤῥέπει Ἐλισσαῖον τὸ δοκοῦν αὐτῷ αἰτῆσαι, ὡς καὶ ἐσόμενον αὐτῷ, τοῦ Ἠλιοὺ (2) πεποιηκότος. Ὁ δὲ τὸ ἐπ' ἐκείνῳ πνεῦμα ἐπ' αὐτῷ γενέσθαι δίσσὸν αἰτεῖται (3). Καὶ σκληρὸν Ἠλίας τὸ αἰτηθὲν νομίζει, ἀλλ' οὐ καθάπαξ, οὐδὲ μέχρι παντός· ἀλλ' « Ἐὰν » ἴδῃς με » φησίν, « ἀναλαμβανόμενον, ἔσται σοι » οὕτως. » Καὶ ἀπῆσαν ταῦτ' εἰπόντες. Ἐπεὶ δ' ἀπῆσαν, Ἐλισσαῖος ἅρμα πυρὸς βλέπει, ἐπὶ δὲ τούτου Ἠλίαν εὐθὺς ἁρπαγέντα φερόμενον ἄνω. Καὶ ὅτι ταῦτ' εἶδε καὶ τεθάῤῥηκεν ἤδη τὴν χάριν, καὶ δῆτα, σφαφεὶς ἐπὶ τὸν Ἰορδάνην, τῇ μηλωτῇ καὶ αὐτὸς πατάσσει· ὁ δ' οὐχ ὑπείκει (4), ὐδὲ σχίζεται ὡς τὸ πρῶτον ὐδὲ διαιρεῖται, οὐδὲ ξηρὸν ὐδὲν δίδωσιν ἐν ἑαυτῷ οὔτε βλέψαι τὸν Ἐλισσαῖον, ὅτ' ἐπὶ τούτῳ βῆναι. Καὶ ὁ περφήτης ἐν ἀπορίᾳ, ὅπερ ἤτησε καὶ δὴ λαβεῖν ἤκουσε, μὴ ὅτι γε διπλοῦν, ἀλλ' ὐδ' ἁπλοῦν εὑρηκὼς, καί τοι τοῦ πυρίνου ἅρματος καὶ τῆς τοῦ Ἠλιοὺ ἀνόδου θεατὴς γεγενημένος· καὶ ἡ μὲν μηλωτὴ ἡ αὐτὴ, καὶ Ἰορδάνης ὁ αὐτὸς, καὶ ῥεῖθρις αὖθις ἐν τοῖς αὐτοῖς· ἡ δὲ διαίρεσις ἤκιστα οὔθ' ἡ τομὴ καὶ τὸ πρῶτον οὐδέ γε δήπουθεν ἡ αὐτή. Τί λοιπόν; ἐπιστρέφει αὖθις πρὸς Ἠλίαν, καὶ τὸν ἐκείνου ἐπικαλεῖται θεόν· ἐπὶ δὲ τῷ ῥήματι τούτῳ τὸν Ἰορδάνην αὖθις πατάσσει, καὶ ῥήγνυσι πατάξας, καὶ ὡς ἐπὶ

(1) IV Regg. II, 8.
(2) Ob Ἠλίας melius τῷ Ἠλίου.
(3) IV Regg. II, 9 : καὶ εἶπεν Ἐλισαιέ· γενηθήτω δὴ διπλᾶ ἐν πνεύματί σου ἐπ' ἐμέ.
(4) IV Regg. II, 14.

ξηρᾶς αὐτοῦ διαβαίνει, οὐ πλέον οὐδὲ μεῖζον, ἀλλ' ὅσον Ἠλίας καὶ τὸ ἐκείνου πνεῦμα, γνοὺς εἶναι καὶ αὐτὸς ἤδη δεδυνημένος.

Καὶ ταῦτα μὲν οὕτως. Ἐνταῦθα δὲ ζητεῖται μὲν καὶεῖνο, τί ὅτι μὴ πρεσβυτὴς, ἀλλὰ σκληρὸς Ἠλίας ἐπὶ τὴν τοῦ Ἐλισσαίου αἴτησιν ἀπαλῆ, ὡς ὑπὸ φθόνου δήπου γε ἡττώμενος καὶ μὴ ἀνεχόμενος ἔλαττον ἔχειν τοῦ ὑπ' αὐτοῦ χειισθέντος. Ζητεῖται δὲ, καὶ πλείστης ὅσης ἔστι μετέχον τῆς ἀπορίας, καὶ τὸ Ἠλίαν μὲν ἐν ὄψεσιν Ἐλισσαίου ἐφ' ἅρματος βῆναι καὶ δραμεῖν ἄνω, Ἰορδάνην δ' ὑπ' αὐτοῦ τυπτόντα πρὸς Ἐλισσαῖον ἀντέχειν, καὶ μήθ' ὑποχωρεῖν μήτε καθυπείχειν, καὶ ταῦτα τοῦ ἐπ' ἐκείνῳ πνεύματος, κατὰ τὸ δοκοῦν Ἐλισσαίῳ, διπλοῦ ἐπὶ τούτῳ γεγενημένου· οὐ γὰρ ἦν εἰκὸς ψεύσασθαι Ἠλίαν, κἄδ' ὅδεις ἂν εἴποι. Ἀλλὰ τί;

Ἀλλὰ μήπω τοῦτο· ἀλλὰ περὶ τοῦ πρώτου καὶ χρῆναι οἶμαι ἐρεῖν ἡμᾶς πρῶτον.

Δυσχεραίνει καὶ δυσανασχετεῖ καὶ σκληρύνεται Ἠλίας, αἰτησαμένου τοῦ Ἐλισσαίου, ὅτι δὴ ἀγνοῶν ἦν οὗτος καὶ μὴ τὸ πᾶν εἰδὼς τοῦ καθ' ἐκεῖνον πνεύματος· ἔδει δὲ οὐ τοῦτο, οὐδὲ διπλοῦν αὐτὸν αὐτὸ ζητῆσαι. Νῦν δ' ἔστι ταυτὸν, ὥσπερ ἂν εἴ τις, παρ' ἑτέρῳ χρημάτων θησαυροὺς εἰδὼς, τοὺς μὲν θησαυροὺς ἤδει, τὸν δ' ἀριθμὸν οὐκ ἤδει, ἀλλ', ἐλάττους καὶ τοὺς ἡμίσεις ἴσως νομίζων, διπλοῦς αὐτοὺς ἐζήτει· οὕτω δὲ ζητῶν, αὐτοὺς ἐκείνους, καὶ οὐχὶ τῶν ὄντων πλείους, ἐζήτει.

Τί γὰρ ἂν πλέον καὶ γένοιτο ἐπὶ περφήτῃ πνεύματος καὶ ἰσχύος, ἢ ὕδωρ μὲν ἐν οὐρανοῖς γλώττῃ

δεδυνῆσθαι πεδῆσαι (1) καὶ ἰσχύσαι, καὶ μένειν ἄνω μὴ πεφυκὸς καρτερεῖν βιάσασθαι καὶ μένειν, καὶ τοσοῦτον ἐπὶ χρόνον, εἶτ' ἀθρόον ὥσαι ῥυῆναι τῇ γλώττῃ αὖθις πρᾶξαι καὶ κατὰ γῆς ἐκχύσαι· πῦρ δ' ἄνωθεν ἐλκύσαι κάτω, τόσον οὐχ ἕτερον, αὐτὸν δ' ἔχον τὸν ἄνω, ἑωσεὶ δ' ὤθησεν ἑωσὶ θυσίαν, οὐ μόνον αὐτήν, ἀλλὰ καὶ ὕδωρ ὅπερ ἐπ' αὐτὴν ἔβαλε, καὶ πάντα τὰ περὶ αὐτήν, ἀνάλωσε συμφλέξας (2); Πάντως δὲ ὅδε τοῦτο μικρὸν, ὅτι ἄρτῳ βραχεῖ καὶ ὕδατι βραχεῖ καὶ τῇ δυνάμει τῆς βρώσεως ταύτης τεσσαράκοντα ἡμέρας ἐπορεύθη καὶ τεσσαράκοντα νύκτας (3). Ἀλλά τι καὶ εἰς Σάρεφθα (4) ἦκε, καὶ ἣν ἤκουσε χήραν, ἐπειδὴ, παρ' αὐτῇ γενόμενος, παρ' αὐτῇ δήπου καὶ ἦν σκηνώσας, ὅρα μοι κἀκεῖ τίνα καὶ ὅσα καὶ οἷα τὰ θαύματα· τὸ περὶ τὴν ὑδρίαν τοῦ ἀλεύρου κενουμένην καὶ μήποτε λείπουσαν, ἀλλ' αἰεὶ πληρουμένην· τὸ περὶ τὸν καψάκην τοῦ ἐλαίου ὡσαύτως ἔχον (5). Ὅτι δὲ καὶ νεκρὸν τὸν τῆς αὐτῆς χήρας παῖδα Ἠλίας ἤγειρε (6), τί τις ἂν φαίη τούτου μεῖζον; Τῶν τοίνυν τοιούτων καὶ τοῦ ἐνεργοῦντος ταῦτα πνεύματος τὸ διπλοῦν, τί ποτ' ἂν γένοιτο καὶ ὅσον; Ἀλλ' « Ἐάν » ἴδῃς με » φησίν (7), « ἀναλαμβανόμενον », σχεδὸν τοῦτο λέγων· « Ἑωσεὶ μὴ ταῦτά σοι ἀποχρώντως » μηδ' ἱκανῶς ἔχει πρὸς ἀπόδειξιν τῶν ἐν ἐμοὶ πνεύ- » ματος, ἀλλ' οὐκ ἔτι καὶ ὑπὸ πυρὸς ἅρματος ἁρπα-

(1) III Regg. XVII, XVIII.

(2) III Regg. XVIII, 38. — Forsan συμφλίξαι. Elias ὤθησι καὶ ἔβαλε· ignis, πῦρ, ἀνάλωσι συμφλίξαι.

(3) III Regg. XIX, 6, 8.

(4) III Regg. XVII, 9 : πορεύου εἰς Σαρεπτά.

(5) III Regg. XVII, 16.

(6) III Regg. XVII, 17.....

(7) IV Regg. II, 10. Cf. modo pag. 248, 9.

» γέντα με καὶ λαμβανόμενον (1) ἰδὼν ἄνω, οὐκ ἂν
» πλέον τοῦ ὢν ἐμοὶ ὄντος καὶ μεῖζον οὔτε νομίσοις
» οὔτ' εἶναι παρὰ σοὶ ζητήσοις, πλέον πάντως καὶ
» γνοὺς ἐξ αὐτῆς ὄψεως τοῦτο καὶ χθὲς διδαχθεὶς
» τοῦ νῦν σοὶ καὶ νομιζομένου καὶ τοῦ γε πρὸς τὴν
» αἴτησιν κατ' αὐτὴν ἐρχομένου. »

Ἀλλὰ ταῦτα μὲν ἐφ' οἷς καὶ περὶ τῶν κατὰ τὸν Ἠλίαν καὶ Ἐλισσαῖον διηπορηκότες ἐσμέν· ὁ λόγος δὲ προαχθεὶς ἐφ' ἕτερα μείζω κἀ ὑψηλότερα, ἐχόμενα τῶν λελεγμένων, ἄγει.

Καὶ γὰρ ἐν τοῖς εὐαγγελίοις Ἄγγελος φαίνεται τῷ Ζαχαρίᾳ· καὶ δὴ φανεὶς καὶ περὶ παιδὸς αὐτῷ τοῦ Ἰωάννου εὐαγγελιζόμενος, « Ἔσται μέγας » φησί (2), « καὶ αὐτὸς ἐν πνεύματι κἀ δυνάμει προελεύσεται » Ἠλιού. » Καὶ σκόπει μοι κἀνταῦθα τὸ κατὰ τὸν Ἠλίαν ὅσον καὶ οἷον μέγα καὶ μέγιστον, μηδενὸς ὄντος ἄλλου, μήτε πλείονος μήτε μείζονος, ὥστε τοῦτο περὶ τοῦ παιδὸς εὐαγγελίσασθαι τῷ Ζαχαρίᾳ.

Σκόπει δὲ καὶ αὖθις, Χριστοῦ ταῖς φωναῖς προσσχών (3), Χριστοῦ τοῦ Θεοῦ, τοῦ καὶ δι' Ἀγγέλου τὰ εἰρημένα λελαληκότος· « Οὐκ ἐγήγερται » λέγει (4), « μείζων ἐν γεννητοῖς γυναικῶν Ἰωάννου τοῦ Βαπτι- » στοῦ » · τοῦ ποίου τούτου; τοῦ ἐν πνεύματι κἀ δυνάμει Ἠλιοῦ ἐλθόντος. Ἀλλὰ κἀνταῦθα τὸ συμβαῖνον

(1) Legerim fere *ἀναλαμβανόμενον*. Excidit præpositio, quod fieri amat.

(2) Luc. I, 15, 17.

(3) Sic *προσσχόντες* p. 245. Nil mutandum in hoc auctore. Grammaticus Bachm. Anecd. t. II, p. 369, ait *προύσχες* esse atticorum, idque *δι' εὐφωνίαν*. Idem tradit scholiastes in Pauli Silent. Thermas v. 12 : *τὸ προύσχες διὰ δύο σσ ὤφειλε γράφεσθαι· ἐπὶ δὲ κακόφωνον ἐγένετο οὕτως, ἀποβάλλει τὸ ἓν σ.* Conf. supra tom. II, pp. 435, 445.

(4) Matth. XI, 11.

ἄποθεν, οὐχὶ μικρὸν πάντως. Εἰ γὰρ ὁ Βαπτιστὴς τῶν λοιπῶν ἁπάντων καὶ προφητῶν μείζων, τί οὐχὶ καὶ ἐν μείζονι πνεύματι, οὐδ' ἐν πλείονι δυνάμει, ἀλλ' ἐν τοῖς αὐτοῖς καὶ ἴσοις ἦκει τῷ Ἠλιού; ἢ πῶς περισωθήσεται τὸ μεῖζον αὐτῷ, τοῦ Ἠλιοὺ μηδὲν ἧττον μηδ' ἔλαττον, ἀλλὰ ταυτὸν ἐσχηκότος; Τίς δὲ καὶ ὁ μικρότερος μὲν τοῦ Βαπτιστοῦ, μείζων δ' αὐτοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν (1);

Ἀλλ' ἐκεῖνά μοι πρῶτα, τὰ καὶ παρὰ τοῦ Ἀγγέλου πρῶτα, λάβε. «Ἐπιστρέψει» γὰρ, περὶ τοῦ Ἰωάννου φησί (2), «πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ κύριον τὸν θεὸν » αὐτῶν ». εἶτ' ἐπάγει· « καὶ αὐτὸς προελεύσεται ἐν » πνεύματι Ἠλιοὺ καὶ δυνάμει. » Ἀπέστρεψαν μὲν γὰρ καὶ τότε οἱ τοῦ Ἰσραὴλ τὸ πρόσωπον καὶ τὰς καρδίας αὐτῶν ἀπὸ προσώπου Θεοῦ· ἀπέστρεψαν ἐκεῖθεν καὶ ἐπέστρεψαν ἐπὶ Βάαλ, καὶ ὀπίσω αὐτοῦ ἠκολούθησαν (3), καὶ πάντ' ἐκεῖνα, ὅσα καὶ ἱστορίαι καὶ βίβλοι φέρουσι, κατὰ θυσιαστηρίων Θεοῦ, κατὰ τῶν ἱερέων αὐτοῦ, δεινότατα καὶ ἐπράχθη (4)· ζηλοῖ δ' ἐπὶ τούτοις Ἠλίας (5), καὶ στρέφει τὰ κακὰ ταῦτα κατὰ τῶν πεπραχότων (6) καὶ τῶν γε προφητῶν τῆς αἰσχύ-

(1) Matth. XI, 11 : *ὁ δὲ μικρότερος, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν.* In explicando difficili hoc, sed mystico, evangelii loco, refutandisque quorumdam sententiis suaque exponenda, versatur Phot. Epist. 135, quæ legatur dignissima.

(2) Luc. I, 16.

(3) III Regg. XVIII, 18, 21 : *καὶ εἶπεν Ἠλιού... Ἐπορεύθης ὀπίσω τῶν Βααλίμ.... εἰ ἔστι κύριος ὁ Θεὸς, πορεύεσθε ὀπίσω αὐτοῦ· εἰ δὲ Βάαλ, πορεύεσθε ὀπίσω αὐτοῦ.*

(4) III Regg. XIX, 10 : *ἐγκατέλιπόν σε οἱ υἱοὶ Ἰσραὴλ, τὰ θυσιαστήριά σου κατέσκαψαν καὶ τοὺς προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ.*

(5) III Regg. XIX, 10 : *καὶ εἶπεν Ἠλιού· ζηλῶν ἐζήλωκα τῷ κυρίῳ παντοκράτορι.*

(6) III Regg. XX, 21 : *ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ κακά.* Verba sunt Eliæ.

νης (1) καὶ ἱερέων τῶν σφαγμάτων (2), καὶ ῥύεται τὸν Ἰσραὴλ ἐκ τῆς πλάνης καὶ ἐπὶ Θεὸν αὖθις στρέφει. Ἐκείνου καὶ ζῶν τοῦ πνεύματος, ἐκείνης κἀνταῦθα τῆς δυνάμεως ἔδει, πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ὥστε τὸν Βαπτιστὴν ἐπὶ Θεὸν αὐτοὺς ἐπιστρέψαι καὶ ὑπ' αὐτῷ γε τούτους σεσῶσθαι. Καὶ τοῦτ' ἔστιν, οἶμαι, τὸ ἐν πνεύματι αὐτὸν ἐλεύσεσθαι καὶ τῇ αὐτῇ τῷ Ἡλιοὺ δυνάμει.

Λείπεται δεῖξαι — καὶ τί λοιπόν; — δι' ὃ καὶ μείζων ἔστιν ὁ Βαπτιστής· αὐτὸ δὲ τοῦτ' ἔστι τὸ βάπτισμα, πρόδρομον ὂν τοῦ τελείου καὶ ἐν Χριστῷ, καὶ λαὸν ἑτοιμάζον κατεσκευασμένον αὐτῷ, οὐκ ἐκ παίδων Ἰσραὴλ μόνον, ἀλλὰ καὶ παντὸς ἐξ ἔθνους καὶ γένους ἀνθρώπων παντός, καὶ οὐ τοῦτο δὲ μόνον· ἀλλ' ὅτι καὶ Χριστὸς πρὸς αὐτὸν ἔρχεται καὶ, κλίνας τὴν κορυφήν, τὸ βάπτισμα καταδέχεται· αὐτὸς οὗτος ὁ καὶ ἀμνὸς ὢν τοῦ Θεοῦ καὶ τὴν τοῦ κόσμου πᾶσαν αἴρων ἁμαρτίαν (3), καὶ καθαίρων ἐν τῷ βαπτίσματι, οὗτος ἐστὶ Χριστός, ὁ καὶ μικρότερος μὲν τοῦ Βαπτιστοῦ νομιζόμενος καὶ αὖθις ὢν μείζων. Καὶ γὰρ ἐπὶ παντὸς τοῦ βαπτίσματος, τοῦ μὲν εἰς βαπτιστὴν τελοῦντος, τοῦ δ' εἰς βαπτιζόμενον, ὅ γε βαπτίζων τοῦ βαπτιζομένου μείζων εἶναι δοκεῖ· ἀλλ' οὐχ ὅτως

(1) III Regg. XVIII, 25 : καὶ εἶπεν Ἠλιοὺ τοῖς σφηπταις τῆς αἰσχύνης.

(2) III Regg. XVI, 32 : καὶ ἔστησε (Achab) θυσιαστήριον τῷ Βάαλ ἐν οἴκῳ τῶν σφαγμάτων αὐτοῦ. Ibid. XVIII, 29 : καὶ ἐλάλησεν Ἠλιὰ ὁ Θισβίτης πρὸς τοὺς σφηπτας τῶν σφαγμάτων. Suidas in Μελχόμ : προσαγματα γὰρ καὶ βδελύγματα τὰ εἴδωλα σφαγματεύειν εἴωθεν ἡ γραφή. Vide ibi Ernest. in Glossis sacris p. 89, coll. pag. 119.

(3) Joan. I, 29 : ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Verba sunt Baptistæ, quum ad eum accederet Jesus baptizandus.

ἐπὶ Χριστοῦ, θεοῦ ὄντος καὶ τὸν βαπτίζοντα ὕδατι βαπτίζοντος πνεύματι (1), οὗ δὴ πνεύματος χὠ χωρὶς οὐκ ἔστιν οὐδ' εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Τοῦ τοιούτου βαπτίσματος τελείου ὄντος καὶ Ἰωάννης ὢν μεθέξει γίνεται (2). Γίνεται δὲ πῶς; χειρὶ μὲν ὢν ὕδατι τῆς ἀχεφάντου κορυφῆς ἁπτόμενος, Πατρὸς δ' ἄνωθεν ἀκούων μαρτυρόντος (3), Πνεῦμα δ' ὢν ὀφθαλμοῖς περιστερᾶς ὢν εἴδει καταβαῖνον ἰδὼν (4), καὶ τοῦτον δὴ τὸν τρόπον τῆς Τριάδος ὅλης οὕτω φανερωθείσης αὐτῷ, εἰ μὲν βούλει, εἰς βάπτισιν, ὁ ἐμὸς λόγος, εἰδ' ὅν, εἰς ἔλλαμψιν· ἧς δὴ παντουργοῦ Τριάδος καὶ τὸ πᾶν ἐστὶ τῆς τοῦ βαπτίσματος χάριτος, τὸ πᾶν ἐστὶ καὶ τὸ τῆς σωτηρίας ἡμῶν ἐς αὐτὴν βεβαπτισμένων, καὶ τὴν ὁμολογίαν ἀσφαλῆ καὶ ἀκραιφνῆ φυλατόντων, μηδέν τι τοῦ ὀρθοῦ παρεννενσμένην, μηδὲ παράτονον μηδὲ συγχέον μηδὲν ἔχουσαν, καὶ τὸ σπέρμον αὐτῆς σαλεῦον καὶ περιτρέπον αὐτήν.

(1) Matth. III, 11 : ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι... ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μου ἐστίν... αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. Cf. Luc. III, 16.

(2) Ipse Joannes Baptista ad Jesum verba faciens in evangelio Matthæi III, 14 : ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;

(3) Matth. III, 17 : καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν, λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα. Conf. Marc. I, 11; Luc. III, 22.

(4) Matth. III, 16; Marc. I, 10; Luc. III, 22; Joann. I, 32.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΟΥΜΝΟΥ

ΕΛΕΓΧΟΣ

ΚΑΤΑ ΤΟΥ ΚΑΚΩΣ ΤΑ ΠΑΝΤΑ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΟΣ ΝΙΦΩΝΟΣ

ΑΝΕΝΕΧΘΕΙΣ ΠΑΡΑ ΤΟΥ ΝΙΚΟΜΗΔΕΙΑΣ ΚΑΙ ΤΟΥ ΜΙΤΥΛΗΝΗΣ ΠΡΟΣ ΤΗΝ ΙΕΡΑΝ ΣΥΝΟΔΟΝ.*

Φαύλοις καὶ βεβήλοις ἀνθρώποις καὶ παντάπασιν ἀνοήτοις καὶ σφόδρα περιφρονηταῖς Θεοῦ νόμων καὶ ἱερῶν κανόνων, καὶ μηδὲν τούτους μήτε λογιζομένοις μήτε θεμένοις, οὐκ ἀρέσκει ὁ λόγος, ἢ παῦτα μὴ μόνον τὸ πᾶν ἀληθεύων, ἀλλὰ καὶ ἄριστά γ' ἐξειργασμένος ἢ κατὰ Δημοσθενικὸν ζῆλον κάλλιστα συντεθειμένος.

Ψεύδους καὶ συκοφαντίας ὅτι μὲν οὐδέν ἐστι χεῖρον πάντες εἰσὶν εἰδότες· οὐ μὴν ἀλλὰ καὶ Δαυὶδ, συκοφαντίας μέν γε λυτρωθείη, καὶ τὰς ἐντολὰς εὐθὺς φυλάξειν καθυπισχνεῖται (1)· περὶ δὲ ψεύδους τί; « ἀπολεῖς » φησί (2), « πάντας τοὺς λαλοῦντας τὸ » ψεῦδος. » Καὶ Χριστὸς δ' αὐτὸς, ὁ ἢ τὴν ἀλήθειαν ἀγαπῶν ὠνομάσθαι (3) καὶ θεὸς ἀληθὴς ὢν, κατὰ

* E codice 2105, p. 199, 2. De Niphone patriarcha Constantinopolitano sub Andronico seniore multa narravit Nic. Gregoras. Episcoporum Nicomediæ et Mitylenes nomina sunt ignota; ea saltem non noverat Lequienius, qui Oriente Christ. t. I, pp. 596, 959, e codice regio 2964, eodem illi meo 2105 (cf. et Boivin. ad Niceph. Gregor. p. 764), orationis Chumnianæ titulum retulit, nec sine calami mendis, quorum quæ sunt exstantiora notabo; scilicet omisit *τὰ πάντα*, et *πατριαρχήσαντος* posteriore loco scripsit. Utiliter autem animadvertit denunciatum annum esse æræ vulgaris 1315.

(1) Psalm. CXVIII, 134.

(2) Psalm. V, 6.

(3) Conf. t. IV, p. 461, n. 1.

τῶν ψευδομένων οὕτως ἐν τοῖς εὐαγγελίοις καὶ εἰρηκώς ἐστι καὶ ἀποφηνάμενος· « ὁ τὸ ψεῦδος λαλῶν ἐκ τοῦ » Διαβόλου λαλεῖ (1). »

Ταῦτ' οὖν καὶ ἡμεῖς εἰδότες οὐκ ἐκ πλασμάτων τινῶν οὐδ' ἐκ συκοφαντίας καὶ ψεύδους οὐδενὸς ἥκομεν ἐφ' ἅπερ ἤδη καὶ ἥκομεν λέγειν· πῶς γάρ; οἵ γ' ἐσμὲν καὶ κατὰ τούτου μᾶλλον τρέχοντες, οὗ γλῶσσα μὲν πρὸς ψεῦδος ὡσεὶ ξυρὸς ἠκονημένη, ἀδικίαν δ' ἀεὶ λαλεῖ, καὶ δικαιοσύνης ἁπάσης καὶ ἀληθείας κατεξανίσταται καὶ καταχαυκᾶται (2), καὶ πρόχειρος μὲν εἰς ὅρκους καὶ φρικτοῖς οὖσι χρῆσθαι, ἕτοιμος δ' αὖθις ἀναιρεῖν καὶ παρ' οὐδὲν αὐτοὺς τιθέναι (3), χρυσίον ἢ ἀργύριον ἢ ἄλλο τι καὶ μικρὸν ὂν ἵνα κερδάνῃ (4), ἢ, τό γε χείριστον, ἀνθρώποις καὶ μηδὲν ἠδικηκόσι ταῖς μηχαναῖς ταύταις ἐπιβουλεύσῃ, καὶ, δεινά τινα καὶ περὰ δεινῶν (5) πράξας, μεγίσταις αὐτοὺς συμφοραῖς περιβάλῃ. Ἀλλ' οὐχ ἡμεῖς οὐδὲν τούτων, οὔμενουν, οὐδ' ἐγγύς· οὐδ' οὐ μή ποτε γένοιτο, οὐ παρ' ἡμῶν, οὐ τῶν ἄλλων παρ' οὐδενὸς ἥκιστα τῶν ἁπάντων. Ἀλλ' ὅσα μὲν φανερῶς ἐστὶ πεπραγμένα καὶ τοῖς πᾶσι

(1) Non ipsa sunt evangelica verba : cf. Joann. VIII, 44.

(2) Respectu ad Psalm. LI, 2 : τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατὸς ἀνομίαν; ὅλην τὴν ἡμέραν ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου· ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον· ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην.

(3) Libanius supra t. IV, p. 451, media voce usus est : τὰ μὲν ἄλλα παρ' οὐδὲν ἔθετο.

(4) Niceph. Gregoras Hist. VII, 11, 1 : ἐκβάλλεται καὶ Νίφων τοῦ πατριαρχικοῦ θρόνου, αἰτίαν εἰληφὼς πολλαπλῆς καὶ πολυειδοῦς ἱεροσυλίας, καὶ χρημάτων ἔρωτος, ἄδικόν τε καὶ μὴ πάνυ τῷ πατριαρχικῷ προσήκοντα θρόνῳ τὸν πορισμὸν ἐφευρίσκοντος.

(5) Cf. similia t. II, p. 239, n. 1. Julianus orat. III, init. : τῶν ὀφειλόντων μεγάλα καὶ ὑπὲρ μεγάλων. Æschylus Choeph. 53 : τὸ δ' εὐτυχεῖν τόδ', ἐν βροτοῖς θεός τε καὶ θεοῦ πλέον.

γνωσὰ, πάντως οὐδὲ συκοφαντίαι τινές εἰσιν οὐδὲ ψεύδη, οὐδ' ἂν τις εἴποι· ἃ δὲ ἰδίᾳ τινὲς εἰδότες, καὶ δεδιότες εἰς μέσον ἄγειν, οὐκ ἀλόγως, ἡμῖν δοκεῖν, καὶ ἐφεξῆς εἰρήσεται, οὕτω δ' ἂν δεδιότες, δι' ἡμῶν δεῖν ἔγνωσαν ταῦτα καὶ λεχθῆναι καὶ δειχθῆναι (πάρεισιν οὗτοι), καὶ δὴ λεγόντων αὐτῶν, πῶς ἄν τις καὶ δικαίως οἰηθείη συκοφαντίαν παρ' ἡμῶν ταῦτ' εἶναι καὶ πλάσματα;

Ἡμεῖς τοίνυν, ὦ θεία καὶ ἱερὰ τῶν ἀρχιερέων σύνοδος (πρὸς ὑμᾶς γὰρ ὁ λόγος), ἐνεγκάμεθα ἕκαστος, ἐπὶ τὸ μέγα τοῦτο καὶ φερτὸν τῆς ἀρχιερωσύνης ἄξίωμα καὶ κληθέντες καὶ ἀφιγμένοι, κανόνας φυλάσσειν οὓς καὶ παρελάβομεν ἀποστολικοὺς ὁμοῦ καὶ πατερικοὺς πάντας ἐκ τοῦ αὐτοῦ Πνεύματος· καὶ γοῦν φυλάξομεν, εἰ καὶ μηδεὶς ἡμῶν ἀθετεῖ μηδὲ σαλεύειν ἐπιχειρεῖ· εἴ τις δὲ καὶ τολμᾷ, φεύξεται τὴν κοινωνίαν, μηδένα μήτε τῆς ἀληθείας αὐτῆς, μήτε Θεοῦ, κατ' οὐδένα τρόπον μηδαμῶς προτιμῶντες.

Ὁ τῶν ἀποστολικῶν γοῦν κανόνων εἰκοστὸς ἔνατος οὕτω, καὶ ὑμεῖς ἴστε, διαγορεύων ἐστίν· « Εἴ τις » ἐπίσκοπος διὰ χρημάτων ἀξίας ταύτης ἐγκρατὴς » γένηται, ἢ πρεσβύτερος ἢ διάκονος, καθαιρείσθω καὶ » αὐτὸς καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω τῆς » κοινωνίας παντάπασιν, ὡς Σίμων ὁ μάγος ὑπ' ἐμοῦ » Πέτρου (1). » Καὶ ὁ μὲν οὕτως· ἐπὶ δὲ τούτῳ καὶ πρώτη καὶ δευτέρα καὶ τρίτη καὶ αἱ λοιπαὶ τῶν συνόδων καὶ κυροῦσι, καὶ τῇ αὐτῇ κέχρηνται καὶ γνώμῃ καὶ ἀποφάσει. Ἰδία δὲ καὶ κανὼν δευτέρας τῆς τετάρτης συνόδου (2) ὅτως ἐστὶν ἐπὶ λέξεως ἔχων· « Εἴ

(1) Conf. Act. Apost. VIII, 18.

(2) Concilii scilicet Chalcedo-

» τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσεται
» ἢ εἰς πρᾶσιν καταγάγῃ τὴν ἀπραλον χάριν, ἢ χειρο-
» τονήσει ἐπὶ χρήμασιν ἐπίσκοπον ἢ χωρεπίσκοπον, ἢ
» πρεσβύτερον ἢ διάκονον, ἢ ἕτερόν τινα τῶν ἐν τῷ
» κλήρῳ καταριθμουμένων, ἢ περιβάλοιτο ἐπὶ χρή-
» μασιν οἰκονόμον ἢ ἔκδικον ἢ παραμονάριον, ἢ ὅλως
» τινὰ τοῦ κανόνος δι' αἰσχροκέρδειαν, ὁ τοῦτο ἐπι-
» χειρήσας, ἐλεγχθεὶς, κινδυνευέτω περὶ τὸν οἰκεῖον
» βαθμὸν, καὶ ὁ χειροτονούμενος μηδὲν ὠφ τῆς κατ'
» ἐμπορείαν ὠφελείσθω χειροτονίας ἢ προβολῆς· ἀλλ'
» ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος οὗ
» ἐπὶ χρήμασιν ἔτυχεν. Εἰ δέ τις καὶ μεσιτεύων
» φανείη τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι,
» καὶ οὗτος, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ὀκπι-
» πλέτω βαθμοῦ· εἰ δὲ λαϊκὸς ἢ καὶ μοναζων, ἀνα-
» θεματιζέσθω.» Ἕτερος κανών, εἰκοστὸς δεύτερος τῆς
ἕκτης συνόδου· « Τοὺς ἐπὶ χρήμασι χειροτονουμένους
» ἐπισκόπους, εἴτε οἱουσδήποτε κληρικοὺς, καὶ ὰ καλὰ
» δοκιμασίαν καὶ τοῦ βίου αἵρεσιν, καθαιρεῖσθαι προσ-
» τάττομεν, καὶ τοὺς χειροτονοῦντας. »

Καὶ ἃ μὲν οἱ κανόνες θεσπίζουσι ταῦτα, καὶ τοι-
αῦται αἱ ἐξ αὐτῶν ἀποφάσεις· νῦν δ' ἐστὶ δώρις
ἄλλοι τε πολλοὶ, καὶ καθ' ὄνομα οἵδε, ὧν οἱ μὲν ἱερεῖς,
οἱ δὲ τοῦ ἀχράντου βήματος τὴν διακονίαν καὶ τὴν
χειροτονίαν ταύτην εἰλήφασι. Καὶ λέγε τούτους.

Οὗτοι μὲν δή, οἱ καλὰ κλῆσιν λεχθέντες, οἱ μὲν ἱερεῖς
τόνδε τὸν τρόπον, οἱ δ' εἰσὶ διάκονοι τελεσθέντες.

nensis; quem canonem mendis nonnullis vitiatum, hinc, si tanti est, emendandis, vide in Codice canonum Justelli, qui de nomine, quod mox occurret, παραμοναρίῳ, notam scripsit.

Πάντως δὲ, εἰ καὶ μὴ τοσοῦτοι, ἀλλὰ καὶ εἷς εἴτερ ἦν ὁ δοὺς καὶ χειροτονηθεὶς, οὐδὲν ἧττον ἂν οὔτ' αὐτὸς, οὔθ' ὁ λαβὼν καὶ χειροτονήσας, τῆς τῶν κανόνων ἐπειρᾶτο ἀποφάσεως, ὑμῶν βουλομένων ἀπαραλογίστως πανταπασι καὶ ὀρθῶς κρίνειν· ἐπεὶ μηδ' οἱ κανόνες φασὶν, εἰ πολλοὺς ὁ χειροτονήσας λαβὼν χειροτονήσει, ἀλλ' οὕτως ἁπλῶς, εἴ τις εἰληφὼς χειροτονήσει. Καὶ γὰρ καὶ κλέπτης, οὐχ ὁ πολλάκις καὶ πολλὰ κλέψας, οὐδέ γε φονεὺς, ὁ πολλοὺς ἀνελὼν, οὐμενοῦν, οὐδ' ἱερόσυλος, ὁ συχνὰ τοῖς ἀχράντοις ἐπιχειρήσας· ἀλλ' ὁ μὲν, ὅτι ἔκλεψεν, ὁ δ', ὅτι ἐφόνευσεν, ἱερόσυλος δ' ἀναγὴς, ὁ καὶ κατὰ μίαν τῶν παναγεσίατων κατατολμήσας.

Καὶ τοίνυν περὶ τῶν τοιούτων χειροτονιῶν καὶ οἱ κανόνες τοιοῦτοι. Περὶ δὲ τῆς χθὲς καὶ πρώτειτα νεαρᾶς (1) τοῖς κανόσι τούτοις ταυτὰ βουλομένης, καὶ μηδένα μηδόλως μηδὲν κατ' οὐδένα τρόπον, κατ' οὐδεμίαν πρόφασιν, παρὰ μηδενὸς λαβεῖν ἐκχωρούσης (2), εἰς ἣν καὶ ἀρχιερεῖς ἡμεῖς πάντες ἐνεγράψαμεθα, τί ὑμῖν δοκεῖ, τῶν εἰρημένων χειροτονιῶν ὧν ἔφημεν τρόπον γεγενημένων; Τί δὲ καὶ ὅτι τοῦ πατριαρχεύσαντος Ἀθανασίου (3), ἐπειδὴ ὁ γνησίως ἐκείνῳ ἐξυπηρετούμενος Θεοφάνης φωραθεὶν δῶρα λαμβάνων ἐπὶ προτεσπαῖς τοιαύταις, ἀπέσημεν, καὶ πάσαις ψήφοις ἀπεβαλόμεθα τόνδε τὸν πατειάρχην, καὶ

(1) Novella quædam synodi in lemmate memoratæ.

(2) Sic scribere amat pro ἐγχωρούσης: cf. t. 1, p. 306, n. 2; pag. 456.

(3) Athanasius, ante Niphonem, Constantinopoleos fuit patriarcha. Boivinus, qui, ad Gregoram p. 763, Chumni recitat verba τί δὲ καὶ ὅτι . . . . κατηγόρου, consulendus est omnino de hujus loci illustratione.

ὐδ' οὐ μήποτε δεξαίμεθ' ἂν αὐτὸν οὔτε εἰς ἀρχιερωσύνην, οὔτε μὴν εἰς ἱερωσύνην, ἐπεὶ χ̣ συνειδέναι αὐτὸν χαὶ μὴ ἀγνώσ⌈ως ἔχειν τῶν τῷ Θεοφάνει πεπραγμένων αὐτὸ τὸ πρᾶγμα χαὶ δείχνυσι χαὶ διελέγχει, χαὶ ἔσ⌈ιν ἰσχυρότερον παν⌈ὸς ἐλέγχου χαὶ χατηγόρου; τί χαὶ νῦν ποιήξομεν; χαὶ ποίας ἄλλης, χαὶ οὐχὶ τῆς αὐτῆς, ἐπὶ τῷ αὐτῷ αἰτιάματι χαὶ τοῖς αὐτοῖς πράγμασι, γενώμεθα γνώμης; ἐποεὶ χαὶ οὐχὶ μόνον αὐτὰ δὴ ταῦτα τὰ λεχθέντα ἐξ αὐτῶν τῶν χειροτονημένων τὴν ἀλήθειαν σαφέ⌈ατα χαὶ χαθαρώτατα δείχνυσιν, ἀλλὰ χαὶ τεχμήριον εὔδηλον τὰ ἐν τῇ Θεσσαλονίχῃ πεπραγμένα.

Ἐχεῖ χαὶ γὰρ ἐπισχόπων ὄντων χαὶ σεμνῶν ὄντων ἀνδρῶν ἐν τῷ χλήρῳ χαὶ ἁρμοζόντων μᾶλλον τῷ πράγματι, αὐτοὶ μὲν ὑπερώφθησαν, Καλλίνιχος δέ τις, μοναχὸς μὲν τὸ σχῆμα, μή τινος δὲ τῶν ἐχχλησιασ⌈ιχῶν μετέχων βαθμοῦ, χαὶ τὸν τρόπον οἷος φαῦλος ἐπιφανὴς τοῖς πᾶσι, τὸ μέγα τοῦτο τῆς ἱερωσύνης ἐμπεπίσ⌈ευται χρῆμα, χαὶ δέδοται αὐτῷ ἐπισχόποις χειροτονεῖν ἐπιτρέπειν οὓς ἂν δηλονότι ἀξίους οὗτος τοῦ μεγάλου χαὶ μεγίσ⌈ου τοῦδε τῆς ἱερωσύνης χρήματος χαὶ τοῦ παναγνου χαὶ φειχτοῦ βήματος χρίνοι. Καὶ χειροτονοῦνται οὕτως ἱερεῖς χαὶ διάχονοι, προτρέποντος τοῦ Καλλινίχου· χαὶ ταῦτα τοσοῦτον μαχρὰν ἀφεσ⌈ῶτος τοῦ πατριάρχου, χαὶ μηδὲ λογισμοῦ τινος ὄντος ὡς ἔσ⌈ι τις πατριαρχιχὴ ἢ ὅλως ἀρχιερατιχὴ δοχιμασία ἐπὶ τοῖς χειροτονουμένοις, τούτου δὲ μόνου δήλου χαθεσ⌈ῶτος, ὅτι ἀρεσ⌈ὰ ταῦτα τῷ πατριάρχῃ Καλλίνιχος πράττει, τὴν τοῦ πράττειν ἐξουσίαν οὐχ ἑτέρωθεν, παρὰ δὲ τοῦ πατριάρχου

δεδεγμένος, καὶ μὴ αὐτῆς πεπαυμένος (1). Καὶ Θεὸς ἀνέχεται, καὶ παρ' ὑμῶν ἤδη ζητεῖ καὶ ἀναμένει τὴν ψῆφον.

Πρὸς τούτοις, εἰ βούλεσθε (δίκαιον γάρ), ἐξέτασιν αἰτῶμεν γενέσθαι καὶ περὶ τῶν πρώην μὲν ἐπ' ἐγκλήμασι σὺν δίκῃ καθαιρεθέντων καὶ τῶν οἰκείων ἐκπεσόντων βαθμῶν, νῦν δ' ἐπὶ τούτων ἀποκατασταθάντων, πῶς καὶ τίνι τρόπῳ τὴν ἀποκατάστασιν ἔσχον (2). Καὶ μή τι γε ἡμῖν ἐκεῖνο, ὅτι συνοδικὴ ταῦτα πρᾶξις· ἴσθι γὰρ τἀληθές, ἴσθι· καί γ' αἰσχρὸν ἂν εἴη καὶ κακῶν αἴσχιστον, εἰ οὓς ἡμεῖς ἐσμὲν οἱ χθὲς καθηρηκότες τούτους νῦν ἐσμὲν αὖθις ἀνορθωκότες· εἰ δὲ μὴ τόθ' ἡμεῖς, ἀλλ' ὅ γε πατριάρχης, καὶ νῦν αὖθις οὐχ ἡμεῖς, ἀλλ' ὅ γε πατριάρχης.

Προσεξεταστέον δ' ἂν ἡμῖν εἴη καὶ περὶ τοῦ Διαβατηνοῦ Ἰωάννου, ὅπως ποτὲ τῆς ἱερωσύνης ἔστι τυχών. Ἔφευγε μὲν γὰρ ἐπ' ἐγκλήματι μοιχείας, καὶ συχνὸν ἔφευγεν ἐπὶ χρόνον, τοῦ τὴν ὕβριν πεπονθότος διώκοντος θυμῷ μεστῷ ζήλου· καὶ τὸ ὕβρισμα θρυλλούμενον ἦν πανταχῇ καὶ πᾶσι δήπουθεν διαπεκηρυγμένον. Εἶθ' ἡ μὲν γυνὴ ἀφεῖται καὶ ἀπολέλυται τοῦ ἀνδρός· ὁ δ' αὐτῆς χωρὶς μένει· ὁ δ' ὑβρίσας, εὔπορος ὤν, αἴφνης δείκνυται ἱερεύς, εἰ μὲν καὶ χρήματα δοὺς οὔτι πω δῆλον· ὅσον δὲ τὸ πρᾶγμα δείκνυσι καὶ πάνυ δῆλον, εἰ καὶ μὴ συνειδότων τινῶν μηδέ γε μαρτυρούντων ἔστιν ἀκοῦσαι.

Καὶ μὴν τῶν μὲν ἀνωτέρω ῥηθέντων κανόνων καὶ τῆς νεαρᾶς εἵνεκα ταῦτα.

(1) Videtur, vel post Athanasii secessum, qui patriarchatum abdicaverat, Callinicus iste auctoritate male parta male abusus.

(2) An in gradus ac sedes restituerat Nipho, eorum aliquot qui fuerant ob simoniam et alia delicta pulsi?

Καὶ πρὸς τούτοις τῆ Βαρβλωνίας (1) ἀκούσατε, χείρω καὶ πολλῷ γε χείρω τῶν εἰρημένων διεξιόντος. Πολλῶν γὰρ καὶ δεινῶν ὄντων καὶ πάνυ τι δεινῶν τῶν ὑπ' αὐτοῦ καὶ πεβεβλημένων καὶ ἀποδεδειγμένων, τὰ μὲν λοιπὰ ἐφεξῆς ἐν ἑτέρῳ εἰρήσεται μέρει τοῦ λόγου ὅποι δὴ καὶ καθήκει, ἑνὸς δὲ ἢ δύο ἁρμοζόντων τῷ παρόντι καὶ λεχθέντων ἀκούσατε.

Ἦν τις κατὰ τὸν αὐτοῦ κλῆρον (ὄνομα τούτῳ Σχυρός), μετὰ τῶν ἱερέων ἠριθμημένος, ὃς, χρητείαις κεχρημένος καὶ μαγικαῖς πλάναις, λανθάνων ἦν· ἀλλ' οὔ τι γε καὶ μέχρι τέλους διέλαθε. Γνωρίζεται δὲ, καὶ παρὰ τὴν ἱερὰν ταύτην ἄγεται σύνοδον. Καὶ τοίνυν, τῶν ἐλέγχων φανερῶν ὄντων, καταψηφισθεὶς καθαιρεῖται, καὶ ταύτην ὑπέχει τὴν δίκην, καὶ ὑποσχὼν σέργει, χρόνοις (2) ἐπὶ δέκα καὶ δυσὶ μηδὲν μηδαμῶς ἠδικῆσθαι μήτε νομίζων, μήτε φανεὶς που λέγων. Καὶ δεινὸς ὁ ἄνθρωπος κακὰ πρᾶξαι μεγάλα, καὶ τρόπων ἐξ ἀδίκων προσενεγκεῖν κέρδη· καὶ δὴ πρόσεισι τῷ πατριάρχῃ, Κυζίκου γε ὄντι (3), καὶ εἰς γνῶσιν τῶν ἐς τὰ μάλιστα θεραπευόντων, κἀ ταύτης τῆς θεραπείας τὴν ἱερωσύνην μισθὸν λαμβάνει. Καὶ ἄγει τοῦτον ἐπὶ τὸ θυσιαστήριον αὖθις μάγον ὄντα ὁ περὶ τοῦ πατριάρχου Κυζίκου, καὶ κοινωνὸν τῆς θείας τραπέζης καὶ μυστηρίων τῶν φρικωδεστάτων λαμβάνει. Καὶ εἶδεν ἥλιος τοῦτο, ἐπ' εὐσεβοῦς βασιλέως, καὶ μηδὲν ἕτερον ἢ αὐτὴν δὴ ταύτην πνέοντος τὴν

(1) Episcopatum Barabloniæ ignoro. Num Barablonia eadem urbs ac Bara, quæ fuit in Hellesponti provincia?

(2) Χρόνοις, annis.

(3) Nipho Cyzici metropolitanus erat, quum ad Constantinopoleos patriarchatum evectus fuit. Vid. Nic. Gregoras Hist. VII, 9, 2.

εὐσέβειαν καὶ τὸν ὑπὲρ Θεοῦ ζῆλον καὶ τῆς ἐκκλησίας ὀρθῶς καὶ καλῶς καὶ ἀσφαλῶς ἱσταμένης.

Καὶ γοῦν ἓν δὴ τοῦτο τῶν πεπτεθέντων ὑπὸ τοῦ Βαρβαλωνίας δύο νῦν ῥηθῆναι· ἕτερον δέ; Χηρεύει ἐκκλησία Παλαιᾶς καὶ Πιονίας (1), θανάτῳ τὸν οἰκεῖον ἀποβαλομένη ποιμένα. Καί γε; κατὰ τὸ ἐκκλησιαστικὸν ἔθος συνιόντων τῶν ἐπισκόπων, ψῆφοι γίγνονται περὶ ἑτέρου· καὶ ταύταις ἐγκρίνεται Ματθαῖος, καὶ τῶν ἄλλων προκρίνεται παρὰ τοῦ πατριάρχου, ἵππον εὐφυῆ τινα καὶ τὰ καθ' ἵππους εὐδοκιμοῦντα κτῆμα δυσλυχῶς ἔχων. Καὶ γὰρ οὐ βούλεται ὁ πατριάρχης τὴν χειροτονίαν πρᾶξαι ὅδε τὴν ἄπραλον δοῦναι χάριν, εἰ μὴ τὸν ἵππον λάβοι (2). Καὶ ὁ μὲν οὕτως· ὁ δὲ δυσανασχετεῖ καὶ δυσχεραίνει καὶ πρὸς αὐτὸν οὐκ ἀπολύει. Καὶ ὁ πατριάρχης εὐθὺς, τοῦτον ἀφεὶς, ὅλαις ἡνίαις ἐφ' ἕτερον τρέχει, τὸν Σάβαν, μή τι μηδαμῶς παρὰ τῶν ἐπισκόπων ἐψηφισμένον, βαλάντιον δ' ἀδρὸν μόνον προδείξαντα χρυσίου· καὶ χειροτονεῖ τοῦτον. Καὶ, Χριστοῦ κειμένου καὶ θυομένου ὑπὲρ παντὸς τοῦ κόσμου καὶ ἀκούοντος, βοᾷ, « Ψήφῳ » καὶ δοκιμασίᾳ τῶν ἐπισκόπων », τούτων παρεσιωτων καὶ μὴ δεδεγμένων, ἀλλ' ἀντιφθεγγομένων καὶ ἀπαναινομένων.

Καὶ τοίνυν ὑμεῖς τοῖς δυσὶ τούτοις, τἄλλ' ἀφέντες, παρέθεσθε τὸν τοῦ κορυφαίου (3) κανόνα, καὶ

(1) Videtur Παλαιὰν esse Troada, quæ recentibus sæpius dicta fuit Παλαιὰ πόλις. Est autem Pionia alia Hellespontiprovinciæ civitas.

(2) Equorum valde studiosus fuit Nipho. Ἐῶ λέγειν, Gregoras ait ibidem, ἐνδυμάτων βλακείαν, καὶ ἵππων ἀγαθῶν καὶ ὑψαυχένων κτήσεις.

(3) Petri scilicet, apostolorum dicti sæpius τῶ κορυφαίω : vid. t. IV,

φύγετε τὴν κοινωνίαν τοῦ ὑπ' ἐκείνου μετὰ Σίμωνος τοῦ μάγου παντάπασιν ἐκκεκομμένου.

Βουλόμεθα δ' ὑμᾶς καὶ τόνδ' ἀναγνῶναι τῶν ἀποστολικῶν ἑβδομηκοστὸν τρίτον ὅπλα· « Σκεῦος χρυσοῦν » ἢ ἀργυροῦν ἁγιασθὲν ἢ ὀθόνην μηδεὶς ἔτι εἰς οἰκείαν » χρῆσιν σφετερίζέσθω· παράνομον γάρ. Εἰ δέ τις » φωραθείη, ἐπιτιμάσθω ἀφορισμῷ. »

Ἔτι βουλόμεθα καὶ τάδ' ἀναγνῶναι, τὰ ἐκ τοῦ ὅρου τῆς ἑβδόμης συνόδου· « Τοὺς τολμῶντας ἕτερος » φρονεῖν ἢ διδάσκειν, ἢ κατὰ τοὺς ἱεροὺς αἱρετι- » κοὺς τὰς ἐκκλησιαστικὰς παραδόσεις ἀθετεῖν καὶ » καινολομίας τινὰς ἐπινοεῖν, ἢ ἀποβάλλεσθαί τι ἐκ » τῶν ἀνατεθειμένων τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ, » εὐαγγέλιον ἢ τύπον τοῦ τιμίου σταυροῦ, ἢ εἰκονικὴν » ἀναζωγράφησιν, ἢ ἅγιον λείψανον μάρτυρος, ἢ ἐπι- » νοεῖν σκολιῶς ἢ πανούργως πρὸς τὸ ἀνατρέπειν » τι τῶν ἐνθέσμων παραδόσεων τῆς καθολικῆς ἐκκλη- » σίας, ἔτι γε μὴν ὡς κοινοῖς χρῆσθαι τοῖς ἱεροῖς κει- » μηλίοις ἢ τοῖς εὐαγέσι μοναστηρίοις, ἐπισκόπους » μὲν ὄντας ἢ κληρικοὺς καθαιρεῖσθαι προστάττομεν· » μονάζοντας δὲ ἢ λαϊκοὺς τῆς κοινωνίας ἀφορίζεσθαι. »

Καὶ ταῦτα μὲν οἱ κανόνες, ὅ τε ῥηθεὶς ἀποστολικὸς, καὶ ὁ τῆς ἑβδόμης ταύτης συνόδου. Τί δέ; εἰ μὴ αὐτοὶ ταῦτα διηγόρευον, ὅκ ἂν αὐτὸς ὁ σταυρὸς εὐθὺς φανεὶς, οὐχὶ ὁ ἐν αὐτῷ περιπλωθεὶς καὶ τὸ οἰκεῖον αἷμα ἐκχέας εἰς λύτρον ἡμῶν καὶ σωτηρίαν, οὐκ ἂν

p. 277. Theodorus Abucaras p. 428 : Χριστὸς ὁ κύριος καὶ θεὸς ἡμῶν τῷ τῶν ἀποστόλων ἔφη κορυφαίῳ Πέτρῳ. Syncellus Chron p. 13 : ὁ δὲ κορυφαῖος καὶ ἀπόστολος Πέτρος.

Salvianus De gubern. VI, p. 119 : « tunc princeps apostolorum Pe- » trus Ananiam et Sapphiram, » quia mentiti essent, morte mul- » tavit. »

κατεδυσώπησαν; οὐκ ἂν ἐνέβαλον φόβον, μή τινα τολμᾷν αὐτῶν μηδαμῶς ἀδεῶς φαύειν; Ἀλλ' οὐχ ὁ πατειάρχης τοῦτο· ἀλλ' οἷα καὶ τετόλμηκε, φρικτά τινα καὶ ἀκοαῖς αὐταῖς ἔκπληξιν ἔχοντα, τὰ νῦν γε θρυλλούμενα, καί γε σαφῶς ἐξ αὐτῶν δεδειγμένα δήπουθεν τῶν πεπραγμάτων! οὔτ' αὐτὸς σταυρὸς, οὔτ' ἐν εἰκόνι Χριστὸς τούτῳ περιπλωμένος, οὔθ' ἡ πάναγνος αὐτοῦ μήτηρ τῷ σταυρῷ παρεστῶσα, οὔθ' ὅσας λοιπὰς τῶν ἁγίων εἰκόνας καὶ μορφὰς οἱ ἰδόντες λέγουσιν, οὐδὲν τούτων τῶν φοβερῶν καὶ φρικωδεστάτων, οὐδαμῶς ἀπεῖρξε τὴν καθ' αὐτῶν ἐπιχείρησιν καὶ τόλμαν· ἀλλὰ τί; ὁμοῦ ταῦτα συντέτριπται καὶ κεκοίνωται. Καὶ, εἰ βούλεσθε, καλεῖτε τοὺς μάρτυρας.

Καὶ πρώτως λέγωνός τοῦ Ἡσαΐου ἀκούσατε. Βοῶσι γὰρ αἱ καθαίρξεις, καὶ μὴ παρόντος αὐτοῦ· βοᾷ καὶ σανίδιον τὸ δεσμωτήριον, ὅτ' αὐτὸς μὲν, ὢν οὕτω ζοφερᾷς καὶ ἀθεάτοις βληθεὶς, οὕτως ἀσφαλῶς ἐκέκρυπτο, ὡς μηδ' ἐξεῖναί τινι τῶν ἀπάντων, μηδὲ σφόδρα βουλομένῳ, μηδὲ φωνῆς αὐτοῦ διακοῦσαι, ὁ δ' αὐτοῦ πέρτερον ἐκδημοῦντος καὶ ἀποδεικνύντος Θεοδώρητος ἀκούσας εἰς μέσον εἵλκετο ἐπὶ συνόδου (ὢ πόσον δυνασταία δεδύνηται μεθ' ὑποκρίσεως καὶ κακουργίας!), καὶ ὁ μηδὲν οὗτος ἀδικῶν εὐθύνας κατεκρίνετο ὑπὲρ ὧν ἤκουσεν ὑπέχειν. Καὶ μέντοι γε καὶ ὑπέσχε, τοῦ πατειάρχου πάνυ τι ταραττομένου, εἰ μὴ ἀδίκως ἀθῷος παντάπασιν ἄνθρωπος, ὄρεξιν ἐμπιπλῶν αὐτοῦ, δεινὰ πάθοι.

Βοῶσι καὶ τὰ γράμματα, ἃ δὴ δεικνὺς ἐκεῖνος πολλοῖς ἐνεχείρισε. Καὶ ἀνάγνωτε τοῦ Πισσιδίας (1)

(1) Intelligendus est, puto, Antiochiæ ad Pisidiam metropolita-

ἐπιστολὴν πρὸς τὸν πατριάρχην, κατὰ λέξιν οὕτω διεξιοῦσαν·

« Παναγιώτατε δέσποτά μου, ὁ ἐν μοναχοῖς τι-
» μιώτατος χωρὸς Ἡσαΐας, ἐλθὼν πρός με, ἀπο-
» στραλεὶς παρὰ τῆς σῆς ἁγιότητος, ἐξωμολογήσατό
» μοι ἀδιστάκτως καὶ μετὰ πάσης πληροφορίας ὅσον
» τε συνέβη εἰς τὴν ἁγιωσύνην σου ἐξ ἐπηρείας τοῦ
» ἐχθροῦ, καὶ ὅσον πάλιν ἐς ὕστερον διὰ τὴν σὴν βοή-
» θειαν εἰργάσατο εἰς ἑαυτὸν ὀλίσθημα. Ἐπεὶ οὖν τοι-
» οῦτον πρέβη, ἐκ συναρπαγῆς ἢ καὶ ἀπὸ λήθης,
» περὶ μὲν τὸ σφάλματος, μεγαλόφρων οὖσα ἡ
» ἁγιωσύνη σου καὶ εἰς τὰ θεῖα σοφὸς, οἶδεν αὕτη (1)
» πῶς ἐξιλεώσεται τοῦτο. Εἰς δὲ τὸ τοῦ μοναχοῦ, ἐπεὶ
» καὶ κανόνα ἐδέξατο, χάριν τούτου ἀναδοχῆς καὶ τι-
» μῆς ἐστὶν ἄξιος παρὰ τῆς ἁγιωσύνης σου· καὶ δέομαι
» κἀγὼ αὐτὸς ὑπὲρ αὐτοῦ, ὅτι καὶ ἐγὼ πολλὰ ὑπερα-
» δεξάμην αὐτὸν κἀπῄνεσα ὑπὲρ τῆς ἐπιστροφῆς· καὶ
» ἔπεισα αὐτὸν πολλὰ τοῦ ἀδιστάκτως ὑποκεῖσθαί
» σοι καὶ τὴν εὐλογίαν σου ἀσμένως δέχεσθαι, ἣν
» καὶμοὶ χαρίσαιτο ὁ Κύριος, ὃς καὶ ποιήσοι σε πολυ-
» χρόνιον. Ἀμήν. »

Ταῦτα ὁ Πισσιδίας, ἐπιστολὴν τοῦ πατριάρχου δεξάμενος καὶ πρὸς αὐτὸν αὖθις ἀντεπιστείλας.

Ἀλλ' ἴσως περιττὸν τὰ γράμματα ταῦτα καὶ τὴν ἐπιστολὴν εἰς μέσον ἄγειν, τοῦ Πισσιδίας ἤδη παρόντος καὶ τὸ τόλμημα τρανῶς καὶ λαμπρῶς θριαμβεύοντος ἐπὶ γλώττης. Ὁ δὲ τοῦ πατριάρχου τότε θεράπων

nus. Hujus Ἀντιοχείας τῆς Πισιδῶν, τῆς καὶ μήτρος Λυκαόνων, meminit Basilius Seleuc. Vita S. Theclæ pag. 255. Una est ex tredecim Antiochiis Stephani Byzantini.

(1) Imo αὐτὴ, puto.

Μανουήλ, ὅτε δὴ καὶ τὸ δυσσέβημα τόδε καταπραχθὲν φαίνεται, οὕτω δὴ καὶ ἐλέγχων καὶ παρισταίνων φησί· καὶ ἀκούσατε λέγοντος.

Ταῦτα δὴ καὶ ὁ Μανουὴλ οὗτος, οὐχ ὁμοῦ δὲ καὶ κατὰ τὸν αὐτὸν χρόνον τῷ Ἡσαΐᾳ, οὐδ' ἔκ τινος πρὸς ἀλλήλους, εἰπεῖν, συνθήματος, οὐδέ γε συμφωνίας· ἀλλ' Ἡσαΐας μὲν, ὡς ἐγένετο αὐτῷ γνῶναι· οὗτος δ' αὖθις, ὡς αὐτόπλης ἐγένετο. Καὶ ὁ πρότερον μὲν εἰς τὸ μέσον ἐνεγκὼν καὶ φανερὸν ποιήσας, ἐκεῖνος· νῦν δ' οὗτος ἐστὶν ἐλέγχων καὶ τὸν χρόνον διεξιὼν καὶ τὸν τρόπον. Τίνα δὲ κἀκεῖνος ἦν λέγων ἢ πανταχῆ κηρύττων; ἔστι μὲν ἢ τῶν πάντων ἀγνοῶν ὅστις οὐδείς· ὡς δὲ καὶ ὁ Θεοδώρητος πληροφορῶν αὐτοῦ καὶ λέγοντος ἤκουσε, μαρτυροῦντος τοῦδε, ἢ ὑμεῖς ἀκούσατε.

Καὶ λέγε τὴν μαρτυρίαν.

Ταῦτα καὶ περὶ τοῦ κατὰ τοῦ θείου σταυροῦ τολμήματος καὶ τῶν ἐν αὐτῷ σεπτῶν ἢ πανάγνων εἰκόνων· καὶ τοιαῦται αἱ μαρτυρίαι ἢ ἀποδείξεις.

Καὶ τοίνυν περὶ τοῦ ἀληθοῦς ἐν καρδίᾳ καὶ λογισμοῖς οὐδενὸς ἀκούοντος καὶ συνιέντος οὐκ ἔστιν, ὡς ἡμῖν γε δοκεῖ, ἀμφισβήτησις οὐδεμία· καὶ, ὡς οὐκ ἔστιν, εἴπ' ἂν καὶ ἕκαστον, ἐπὶ Χριστὸν ἐσταυρωμένον βλέποντα, μὴ ὀκνῆσαι τὸ δοκοῦν ἐκλαλῆσαι, μηδέ τινα βληθῆναι τῆς ἀληθείας αὐτῆς προτιμήσασθαι καὶ πρὸ αὐτοῦ Θεοῦ θελῆσαι θεραπεῦσαι.

Καὶ τοίνυν περὶ τούτου ταῦτα, καὶ ἀποχρώντως ἔχει.

Τῆς δ' αὐτῆς τόλμης καὶ ἀπονοίας καὶ τὸ περὶ τὸν ἀρχάγγελον ἐξ ἄγαν ἱεροσύλου γνώμης καὶ τρόπου

πεπραγμένον. Βάλλει καὶ γὰρ ἐπὶ τῆς ὠν εἰκόνι κεφαλῆς τὰς χεῖρας, καὶ φειχτὴν ταύτην τολμᾷ τόλμαν, καὶ συλᾷ τὸν στέφανον, ὃν βασιλεὺς, αὐτῷ πεμαχοῦντος, μέγα καὶ λαμπρὸν στήσας τρόπαιον κατ' ἐχθρῶν πάντα δεδυνῆσθαι φρυατομένων, καὶ πάντων ὁμοῦ πεσόντων, ὠν αὐτῷ τῷ τόπῳ ἐφ' ᾧ καὶ ἡ στήλη, ἐπὶ κορυφῆς ἀνέθετο (1), μνημεῖον ἐσαεὶ τοῦ ἔργου, καὶ χαριστήριον τῷ πεμάχῳ δι' ὃ τὸ ἔργον. Καὶ τοίνυν οὐδὲ ῥομφαίαν αὐτὸν ἐσπασμένον (2) ὁ ἱερόσυλος οὗτος ἰδὼν, εὐθὺς ἑαυτὸν κατὰ γῆς, ὡς Ἰησοῦς, ῥίπτει καί « Τί πρόσταξεις »; λέγει (3), Ἰησοῦς ἐκεῖνος, ὁ καὶ γλώττῃ κόψας δρόμον ἡλίῳ καὶ σελήνην ἐπισχὼν τῆς κινήσεως (4)· ἀλλὰ τί; θρασύνεται καὶ κατατολμᾷ, καὶ τὸν καὶ κατὰ τῶν ἀοράτων στεφανίτην ἀφαιρεῖται τόνδε τὸν στέφανον, καί γε πρὸς τὰς ἀρχιστρατήγους (5) ἀΰλους δυνάμεις ὁ ὑλικὸς (6) ὅδε τὸ πᾶν στρατιάρχης ὑπὲρ ὕλης δοκούσης εἶναί τι γενναίως οὕτως ἀποθρασύνεται. Καὶ τὸ μὲν τῆς ἱεροσύλου τόλμης τοσοῦτον. Οἱ δὲ τοῦ ἀρχαγγέλου (7) θρασύτερον καὶ αὐτοὶ δεῖν ἔγνωσαν προσενεχθῆναι τῷ τολμητίᾳ· καὶ προσηνέχθησαν σφοδρῶς ἐγχείμενοι καὶ τὸν στέφανον ἀπαιτοῦντες. Καὶ ὃς μέχρι

(1) Nescio an innuatur archangeli Michaelis statua, quam, Constantinopoli recuperata, Michael Palæologus columnæ imposuerat, quamque terræ motu collapsam restitui curaverat Andronicus. Vid. Niceph. Gregoras Hist. VI, 9, 1.

(2) Archangelus Michael gladium strictum manu tenens exhibetur : cf. t. II, p. 477, κϛ'.

(3) Josue V, 15.

(4) Conf. p. 160, n. 5.

(5) Michael archangelus proprie dictus est ab Græcis Archistrategus : cf. t. II, p. 476, et Cangii Glossarium in nomine Ἀρχιστράτηγος.

(6) Eadem antithesis ibidem p. 475, κ'.

(7) An excidit nomen φύλακος?

μὲν πολλοῦ κατεῖχε καὶ ἦν ἀντέχων· ἐπεὶ δὲ μὴ ἐπίπαν δεδύνητο, τὰς κρατίστας τῶν λίθων ἐξελόμενος, τούτους μὲν οὐκ ἀποδεδώκει, ἑτέρους δὲ μηδὲν ὄντας ἀνθεὶς, τὸν ἐκείνων τόπον, ἀλλ' ὑχὶ τὸ κάλλος, πληροῦντας, ἐδεδώκει. Καὶ ὅτως τὸν ἀρχαγγελικὸν λαμπρὸν στέφανον ἀχρεῖον, καὶ μή τι γε μηδαμῶς βεβλημένος, τοῖς ἐγκειμένοις καὶ μάλα τι βιαζομένοις ἀπέδωκε· τοῦ μὲν κατὰ τοῦ Ἀρχιστρατήγου τολμήματος ταυτὸ καὶ αὖθις ὄντος καὶ μηδὲν ἧττονος, τὸ δὲ φονικοῦ κέρδους τῷ ἱεροσύλῳ ἧττονος τῶν ἐλπισθέντων.

Καὶ μὴν τοῦθ' οὕτω καὶ τετόλμηται· ϗ τῆς κατὰ τῶν θείων καὶ σωσέπτων εἰκόνων καὶ τῶν ἀνατεθειμένων αὐταῖς πατριαρχικῆς ἀναισχύντου τὰ πάντα καὶ βδελυρᾶς γνώμης καὶ ἀπονοίας τοιοῦτον καὶ τοσοῦτον περιφανὲς ἐστὶ ϗ μέγα τεκμήριον, ϗ κανόνων τῶν εἰρημένων ὑπ' εὐθύνην ἀφιγμένον. Πολλῶν δὲ καὶ ἄλλων καὶ συχνῶν ὄντων τῶν ἐξ ἴσου κατὰ τῶν θείων εἰκόνων καὶ ἱερῶν ἀναυστων δυσσεβημάτων, πάντα μὲν εἰ καὶ κατὰ μέρος ἐπιχειρήμην λέγειν, ἔργον ἂν εἴη· καί γ' ὂν τούτῳ τῷ μέρει τὸν ὅλον ἂν ἀναλώσαιμεν λόγον, συχνῶν δή τινων καὶ μεγάλων ϗ τῶν ἑτέρων ὄντων τῶν πρὸς ἑαυτὰ μεθελκόντων. Τοῖς γοῦν εἰρημένοις ἓν δὴ καὶ τοῦτο μέγα καὶ μέγιστον ἐπείποντες, ἱεροσυλίας μηδεμιᾶς ὑπερβολὴν ἀπολείπον, ἐφ' ἕτερα βαδιούμεθα, εὐθύνας ὁμοίως ἔχοντα καὶ δίκας τοῖς κανόσιν. Ἔστι δὲ τοῦτο τί; τὸ κατὰ τῆς Ἐλεούσης (1) δρᾶμα, σκαιὸν ϗ πόρρω πᾶσης

(1) Cognomen est peculiare Virginis Mariæ. Vid. Cangii CP. Christianam p. 87, § 17.

σκαιότητος ἐλαῦνον, καί γε ταῖς ὑπερβολαῖς οὔτε χειλιανῶν ἐν ὀφθαλμοῖς ὁρώμενον πιθανὸν, ὅτ' ἀκοαῖς πιθανὸν, μᾶλλον δὲ, ὅτ' ὄψεσιν οὔτε μὴν ἀκοαῖς φορητόν. Τίς γὰρ ἂν ἰδὼν εὐθὺς, οὐχὶ καὶ τὰς ὄψεις εὐθὺς ἀποστρέφειν, παταχθεὶς δεινῶς τὴν καρδίαν; τίς δὲ καὶ ἀνάσχοιτ' ἂν ἑστῶσιν ὠσὶν (1) ἀκοῦσαι;

Ἐπιτίθεται γὰρ ὁ μέγας οὗτος καὶ πάμμεγας κῆ πολὺς δή τις καὶ δεινὸς ἱερόσυλος τῇ παναχράντῳ εἰκόνι, νύκτα καὶ ἀωρίαν τηρήσας· καὶ πολλοῦ τοῦ κόσμου χεμούσης ἐκ χρυσοῦ καὶ ἀργύρου (ἐς τριάκοντα γὰρ ταλάντων ὁλκὸν τὸν κόσμον τοῦτον εἶναι φασὶ βαρυνόμενον), ἐκσπᾷ τὸν ὅλον, καὶ χωρὶς δείκνυσι τῆς εἰκόνος κῆ ὑφαιρεῖται. Καὶ χθὲς ἐξ Ἰωνίας, χεῖρας ἀσεβῶν βαρβάρων ἐπιθεμένων τῷ τόπῳ, τὴν εἰκόνα φυχθῦσαν, οὐμενοῦν ταύτην οἱ σεσωκότες καὶ τῶν μιαρῶν πατριαρχικῶν ἠδυνήθησαν χειρῶν σεσωκέναι. Ἀλλὰ τί; ταύτην οὗτος γυμνώσας, ὑπὸ ζόφῳ νυκτὸς παρὰ μοναχῆς πέμπει ἐς ναὸν τῆς Τριάδος (2). Οἱ δὲ φῶς ἀνάψαντες, τῶν τύπων διαῤῥήδην βοώντων καὶ τὴν κλοπὴν κηρυττόντων, ἀνεκράγεσαν τὴν ἱερόσυλίαν. Καὶ ὃς ἠσθημένος, τῆς αὐτῆς νυκτὸς ταῖς αὐταῖς ἀωρίαις ἐξόρισον διὰ πόντου τὴν εἰκόνα ποιεῖται, τὸν ἔλεγχον τάχα φεύγων, φανερὸν ὄντα δήπουθεν καὶ δῆλον πᾶσι τοῖς ὁρῶσιν, ὁποῖος οὗτος

(1) Himerius p. 770 : ὀρθοῖς καθ' ἑκάστην ἡμέραν τίσηκεν τοῖς ὠσὶ πρὸς τὴν ἀκοήν. Aristides t. I, p. 221, 2 : οὗ τὰς ἀπιλὰς πρῶτον οὐκ ἦν ἑστῶσι τοῖς ὠσὶν ἀκοῦσαι. Diogenianus VIII, 73 (cf. Villois. Diatr. p. 68) : ὠσὶν ἑστῶσιν· ἐπὶ τῶν πρὸς τὸ ἀκοῦσαι τὰ ὦτα τυπτομένων. Libanius t. IV, p. 629, 22 : ἐγὼ δὲ ἕστηκα τὰ ὦτα. Conf. not. ad Phil. Her. p. 442, ubi emendes typorum menda, scripto ὠσὶν... ἄμοτον... ὁμῶς.

(2) Ecclesiæ S. Trinitatis meminit Cangius in Constantinopoli Christiana.

δεινὸς τεχνίτης καὶ σοφός τις ἑαυτῷ δοκῶν εἶναι, σοφίζεσθαι δηλονότι τὰ τοιαῦτα καὶ κλέπτειν κ᾽ μάλα τι δεδυνῆσθαι λανθάνειν ἀνθρώπους, Θεὸν μηδὲν δεδιὼς, μηδὲ μηδαμῆ λογισμοῦ μηδ᾽ ἐννοίας τιθέμενος, μηδὲ τὴν αὐτοῦ μητέρα, κόσμου γε παντὸς ὑπ᾽ αὐτῆς σεσωσμένου, τοῦ δὲ πονηροῦ καὶ ἄνωθεν δυσμενοῦς παντάπασι καθηρημένου.

Ἰού! ἰού! ἀλλὰ καὶ Χριστὸν αὐτὸν, ἄραντες τοὺς ὀφθαλμοὺς, ἴδετε, εἴ γε δὴ καὶ δεδύνησθε βλέψαι, οὐχ ὑπὸ στρατιωτῶν αὖθις σταυρούντων σκέφανον ἐξ ἀκανθῶν δεδεγμένον, κατὰ δὲ τῆς εἰκόνος τὸν ἴσον τρόπον ἐνυβρισμένον, κἀν ὃν λαμπρὸν εἶχε λίθον ἐπὶ κεφαλῆς, χερσὶν ἡρμοσμένον ὁσίαις, ταῖς βεβήλοις τοῦδε σεσυλημένον, κἀν ὕελον ἀντὶ τούτου πρὸς ὕβριν φοροῦντα, παίζοντος ὡσανεὶ κατὰ Καϊάφαν τοῦ μεγάλου τούτου ἀρχιερέως ἐς κορυφὴν τὴν ἄχραντον κ᾽ φοβερὰν τοῖς Ἀγγέλοις, κἀν μή τι γε μηδαμῶς δεδιότος, μηδὲ φειδομένου μήτε σταυροῦ, μητ᾽ αὐτοῦ Χριστοῦ ἐπὶ σταυροῦ κρεμαμένου, μήτ᾽ ἄλλως ἐν εἰκόνι φερομένου ἀνορῶντος, κατὰ πάντων δ᾽ ὁμοῦ τῶν γε τοιούτων δεινῶς φρυαττομένου.

Καὶ τοίνυν ἀπόστολοι καὶ πατέρες πάντες καὶ μάρτυρες ἐκεῖθεν, εἰπεῖν, αὖθις ὁπλίζονται καὶ παρατάττονται, καὶ πανταχόθεν τὸν ἀληθινὸν Θεὸν βάλλουσι, καὶ, τῇ μαχαίρᾳ καθαιροῦντες τὸ Πνεύματος, πάσης ὑγιοῦς ἀποτέμνουσι κοινωνίας κ᾽ τῆς ἀκραιφνοῦς ὁμολογίας ἀλλοτριοῦσι, τὸν, εἴ τε χριστομάχον βούλεσθε τοῦτον καλεῖν, εἴ τε κατ᾽ εἰκόνος Χριστοῦ καὶ τῆς μητρὸς αὐτοῦ καὶ τῶν σεπτῶν ὁμοίως εἰκόνων λυσσῶντα καὶ μεμηνότα καὶ παραφανῆ τὴν μάχην

ἀνῃρημένον. Καὶ κανόνες εἰσὶν αὖθις πάντες κατὰ τούτου σφόδρα τεθηγμένοι καὶ ὁμόσε δήπουθεν ἰόντες.

Οὐ μὴν ἀλλὰ καὶ κανόνων ἀποστολικῶν τὸν ἕκτον, οὐδὲ τοῦτον δίκαιον οὐδ' ὅσιον ὑμᾶς παριδεῖν. Καὶ γὰρ ἔστιν οὕτω καὶ βουλήσεως καὶ ἀποφάσεως ἔχων, καὶ ἐπὶ λέξεως οὕτως· « Ἐπίσκοπος ἢ πρεσβύτερος » ἢ διάκονος κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω· » εἰ δὲ μη, καθαιρείσθω. » Ἔστι γοῦν καὶ περὶ τούτου ἢ αὐτὸν εἰπεῖν τὸν πατριάρχην ὡς οὐκ ἐνέχεται τῇ ἀποφάσει, ἢ ἕτερόν τινα τῶν ὑπὲρ αὐτοῦ καὶ λεγόντων καὶ σπουδαζόντων; Ἡμῖν μὲν οὐ πάνυ τι δοκεῖ, εἰ μὴ φανερῶς βούλοιτο ἀντιβαίνειν τοῖς ἐν ὀφθαλμοῖς ὁρωμένοις καὶ πᾶσί γε δήλοις, καὶ αὐταῖς δήπουθεν προσπαλαίειν ταῖς ἰσχυροτέραις πάντων ἀληθείαις.

Καὶ ἦν ἡμῖν, τούτου γε ῥηθέντος, μηδαμῶς ἔτι λόγου προσδεηθῆναι, τὸ πᾶν, ὑπ' αὐτοῖς καὶ διδασκάλοις καὶ νομοθέταις τοῖς ἀποστόλοις, καὶ ἀποδείξασι καὶ διηνυκόσιν. Ἔστι δ' ὅμως καὶ τόνδε πρὸς ὑμᾶς διεξιέναι, τὸν, εἴτε κανόνα βούλεσθε λέγειν ὑπὸ τοῦ θείου καὶ πολλοῦ καὶ μεγάλου τὰ θαύματα Γρηγορίου (1) τεθειμένον, εἴθ' ἕτερόν τι μέγα καὶ φρικτὸν εἰς εὐθύνην τῶν ἃ δὴ καὶ εἰρήσεται πράττειν κατατολμώντων, καί γε φοβερὸν εἰς τὴν κατὰ τούτων ἀπόφασιν καὶ ψῆφον. Καὶ γὰρ οὕτως ἔχει· « Δεινή » φησίν, « ἡ πλεονεξία· καὶ οὐκ ἔστι δ' ἐπιστολῆς » μιᾶς παραθέσθαι τὰ θεῖα γράμματα, ἐν οἷς οὐ τὸ » λῃστεύειν μόνον φρικτὸν καὶ φρικῶδες καταγγέλλεται,

(1) Gregorii scilicet Thaumaturgi, inter cujus opera Epistola est canonica, unde sequentia Chumnus excerpsit. Pauculas editionum varietates notare non tanti est.

» ἀλλὰ καθόλου τὸ πλεονεκτεῖν καὶ ἀλλοτρίων ἐφά-
» πτεσθαι ἐπὶ αἰσχροκερδείᾳ· καὶ πᾶς τοιοῦτος ἀκκή-
» ρυκτος ἐν ἐκκλησίᾳ Θεοῦ. Τὸ δὲ ἐν καιρῷ τῆς κατα-
» δρομῆς (1) ἐν τοσαύτῃ οἰμωγῇ καὶ τοσούτοις θρήνοις
» τολμῆσαί τινας τὸν καιρὸν τὸν πᾶσιν ὄλεθρον φέροντα
» νομίσαι ἑαυτοῖς καιρὸν εἶναι κέρδους, ἀνθρώπων ἐστὶν
» ἀσεβῶν καὶ θεοστυγῶν, μηδὲ ὑπερβολὴν ἀτοπίας ἐχόν-
» των· ὅθεν ἔδοξε τοὺς τοιούτους πάντας ἀκκηρύξαι,
» μή ποτε ἐφ' ὅλον ἔλθῃ τὸν λαὸν ἡ ὀργὴ καὶ ἐπ' αὐ-
» τοὺς πρῶτον τοὺς προεστῶτας καὶ μὴ ἐπιζητοῦντας. »

Ὁρᾶτε ὅπως ὁ ἅγιος καὶ θερμαίνεται τὴν καρδίαν καὶ τὰ σπλάγχνα σπαράσσεται καὶ τῷ ζήλῳ σφοδρῷ χρῆται καὶ τὰ δεινότατα ἐπαράται, καὶ τοὺς οἷα δὴ καὶ εἴρηκεν ὠμῶς καὶ ἀπανθρώπως τολμῶντας κατὰ τῶν ὁμογενῶν, κατὰ τῶν ὁμοδόξων, κατὰ τῶν χειμαζομένων δυστυχούντων, ἐν καιροῖς δυσκόλοις, ἐχθρῶν ἐπιτιθεμένων καὶ ποιούντων κακῶς, ἀκκηρύκτους εἶναι βούλεται καὶ ἀπελαύνεσθαι πάσης ἐκκλησίας, καὶ ἀσεβεῖς ἅμα καὶ θεοστυγεῖς ἀποκαλεῖ; τί δὲ περὶ τούτου ὁ θεῖος καὶ μέγας ἀπόστολος; τί περὶ πλεονεξίας φησί; καὶ τί δ' ἕτερον, ἢ δευτέραν ταύτην εἰδωλολατρείαν καλεῖ (2);

Ἀλλὰ καὶ ὁ τῶν αὐτῶν ἀποστόλων καινὸν τεμαχοστὸς πρῶτος ἀκούσωμεν ὅπως πρεσβυτέρους τὸ ἰδίᾳ κατεξαισιαμένους ἐπισκόπου καθαιρῶν μέτεισι, μή τι γε καταγνόντας αὐτοῦ ἐπ' εὐσεβείᾳ καὶ δικαιοσύνῃ,

(1) Scripta est prædicta epistola Gregorii Thaumaturgi περὶ τῶν ἐν τῇ καταδρομῇ βαρβάρων εἰδωλόθυτα φαγόντων ἢ καὶ ἕτερά τινα πλημμεληκότων.

(2) Epist. ad Coloss. III, 5 : πεκρώκατε οὖν..... τὴν πλεονεξίαν ἥτις ἐστὶν εἰδωλολατρεία. Epist. ad Ephes. V, 5 : πλεονέκτης ὅς ἐστιν εἰδωλολάτρης.

ὡς τοῦ γε δηλονότι τοῦ ἀδικοῦντος κατεξανίστασθαι καὶ καταφρονεῖν οὐχ ὑπ' εὐθύνην ἐρχομένου, ὥστερ οὐδ' εἴ τις τὸν μὴ εὐσεβοῦντος καταφρονήσει. Καὶ γὰρ ὅτως λέγει· « Εἴ τις πρεσβύτερος (1), καταφρονήσας » τοῦ ἰδίου ἐπισκόπου, χωρὶς συναγάγῃ καὶ θυσια- » στήριον στήξει, μὴ κατεγνωκὼς τοῦ ἐπισκόπου ὡν (2) » εὐσεβείᾳ καὶ δικαιοσύνῃ, καθαιρείσθω. »

Οὕτω περὶ πλεονεξίας, ὅτω περὶ ἀδικούντων ἐπισκόπων, ὧν ἐπιστολαῖς, ὧν κανόσιν, ἀπόστολοι καὶ πατέρες νομοθετοῦσι καὶ διατάττονται.

Ἐπεὶ δὲ τούτων ἠκούσατε, ἀκούσατε καὶ οἷα ἐλεεινὰ καὶ ἀδικίας πάσης καὶ πλεονεξίας γέμοντα ὁ Βαρβλωνίας ἐπίσκοπος, καὶ κοινῶν ἕνεκεν συμφορῶν καὶ ἀδικημάτων καὶ ἰδίων, ἐσθλῶν διεγκαλῶν. Καὶ τὰ τοῦ ἐπὶ τοῦ στρατοῦ ὁμοίως ἀνάγνωτε, κατὰ τοὺς αὐτοὺς καιροὺς ὢν τοῖς αὐτοῖς χώροις στρατηγοῦντος καὶ παρόντος τοῖς πεπραγμένοις καὶ συνειδότος· ἀκούσατε καὶ ὅσα ὅτος ἠδίκηται καὶ οἷα πέπονθεν ὑπὸ τοῦ κοινοῦ πατρὸς τοῦδε καὶ πατριάρχου.

Ἀλλὰ περὶ μὲν ταῦτα, ἕτερον ἀκούσατε πάθος ἐλεεινὸν καὶ δήγμα σκυθρωπὸν ἱερέως τοῦ τὴν κλῆσιν Κτενᾶ.

Ἐγένετο αὐτῷ ἐπὶ τῷ υἱῷ δυστυχῆσαι· καὶ τὸ δυστύχημα αὐτὸς οὗτος ὁ παῖς ἑαλωκὼς ὑπ' ἐχθρῶν ἀσεβῶν ὄντων. Καὶ ἦν οὐ φορητὸν τὸ συμβὰν, ὅτι τε ὁ παῖς αἰχμάλωτος, καὶ ὅτι οἱ κρατήσαντες ἀσεβεῖς.

(1) Codex, εἴ τις ἐπίσκοπος. Id mutavi, sententia jubente. Et est diserte πρεσβύτερος in canone ipso, ut illum Cotelerius edidit t. 1, p. 446, § 23. Ibid. θυσιαστήριον ἕτερον στήξῃ, bona secunda voce, mala ultima. Non male jungun- tur, etsi diversis modis, συναγάγῃ et στήξει.

(2) Forsan ἐπ'.

Καὶ ζῶν ὢν τούτῳ δυσλυχίας καὶ πάθους ὄντος τοῦ ἱερέως, οἰκλείρας τις τῶν τοῖς ἐχθροῖς ὁμοζενῶν σπυδάζει τὴν τῦ ἑαλωκότος ἐλευθερίαν. Καὶ συμφωνήσας ὑπὲρ ταύτης ἀργυρίου νομίσματα χίλια, ἀπῆλθε διὰ τούτων λυτρώσασθαι τὸν αἰχμάλωτον, λαβὼν ἐξ αὐτῶν τῶν συμπεφωνημένων τὰ γε τύτων ἥμισυ, ὡς ἂν δὴ, τοῦ παιδὸς ἀποκατασταθέντος τῷ ἱερεῖ, καὶ τὰ λοιπὰ οὗτος εἰς ἀποδεδωκώς. Καὶ ἀπῆλθε. Καὶ ζῶν, τὸν παῖδα τῆς τῶν κατεχόντων χειρὸς ἐξελόμενος, ἐπανήρχετο, τοῦτόν τε τῷ πατρὶ ἀποκαταστήσων καὶ τὸ ὑπεσχημένον ὅλον ληψόμενος. Τί ζῶν ὢν τῷ μεταξύ; Ἦσθοντο οἱ ἀπὸ τοῦ Ἡρακλείου τοῦ πατριάρχυ μυρτάτοι (1), καὶ ἐνεδρεύσαντες τῷ τοῦ αἰχμαλώτου ἐπιτίθενται ῥύσῃ, καὶ τοῦτον ἀνελόντες καὶ τὰ αὐτοῦ διαρπάσαντες, συλλαμβάνυσιν ἅμα καὶ τὸν ὑπ' αὐτοῦ τυχόντα παῖδα τῆς ἐλευθερίας, καὶ καθειρχνύουσι συλλαβόντες, καὶ σιδήρυις δισλοῖς καὶ δεσμοῖς ἐμπεδοῦσι, καὶ, διπλᾶ τῶν τοῖς ἀσεβέσιν ἐπωφλημένων ἐχθροῖς ἀπαιτοῦντες, λαβεῖν ἐκβιάζονται. Καὶ ὁ ἱερεὺς, τὴν ἀδικίαν μὴ φέρων, προσίρεχει τῷ πατριάρχῃ, τί μὲν οὐ λέγων, τί δὲ οὐ πράττων τῶν ὅσα πείθειν οἶδε καὶ ἕλκειν ἔλεον· ἀλλ' οὐ συμπαθεῖ οὗτος, οὐδὲ δυσωπεῖται. Καὶ ζῶν τῆς εἱρκτῆς καὶ τῶν δεσμῶν καὶ σιδήρων ὁ παῖς οὐκ ἀφεῖται, ἕως οὗ τὸ ἀπαίδυμενον, ἄδικον ὄν, ὁ ἱερεὺς, μὴ ἔχων ὅτι δὴ καὶ δράσει ἕτερον, μηδὲν ἐλλεῖπον ἐξ ἀνάγκης ἀπέτισε, τότε πρῶτον ἡσθημένος δυσλυχέσερός τις εἶναι, αἰχμαλώτου τοῦ παίδος ὑπὸ τοῦ

(1) Quid sint μυρτάτοι non noverat ipse Cangius. Jungendum videtur οἱ ἀπὸ τοῦ Ἡρακλείυ μυρτάτοι τοῦ πατριάρχου.

πατριάρχου γεγενημένου ἢ ὑπὸ βαρβάρων ἑαλωκότος ἐχθρῶν.

Ἀλλ' ἐπεὶ τοῦτο λέλεκται, ἀνάγνωθι καὶ τὴν ἐπὶ τούτῳ τοῦ πατριάρχου ἐπιστολήν.

Ἠκούσατε τῆς ἐπιστολῆς; « Λαβών » φησί « τὰ τοῖς » ἀσεβέσιν ἐχθροῖς ἐσωφλημένα, λῦσον τὸν δέσμιον » τῆς σιδηρᾶς πέδης καὶ τῆς εἱρκτῆς. » Τί λέγεις; ἀσεβεῖς εἰπὼν, ἐχθροὺς εἰπὼν, εἰς ταυτὸν σκείνοις τὴν σαυτοῦ τίθης γνώμην; καὶ οὐ βούλει τούτων οὐδὲν οὐδαμῶς ὅτε συμπαθέστερος ὅτε φιλανθρωπότερος, ὁ πατριάρχης, περὶ τὸν ἱερέα γενέσθαι; οὐ θέλεις ὁ καλὸς καὶ μέγας ποιμὴν περὶ τὸν αὐτοῦ παῖδα, τὸ σὸν πρόβατον, σπλάγχνοις οἰκτιρμῶν χρήσασθαι (1); πρόβατον ἐκεῖνο, ὃ δήπου πλανηθὲν, εὐθὺς σὲ δραμεῖν ἐπὶ τὰ ὄρη κὴ τοὺς βουνοὺς, καὶ ζητῆσαι κὴ εὑρεῖν, καὶ γ' εὑρόντα ἐπὶ τῶν ὤμων ἆραι κὴ περισῶσαι, Χριστός σοι βούλεται (2); εἰ δὲ καὶ μὴ πεπλάνηται, ἀλλ' ἅρπαγμα θηρίων γεγενημένον, εἶτα ῥυσθὲν σκείνων, ἐπὶ τὰς σὰς ἦκε χεῖρας, οὐ δὴ τρόπον καὶ ἦκεν, οὐκ ἀπιλήψῃ, οὐδ' ἐλέους ἐπὶ τούτῳ οὐ μὴ μνησθῇς οὐδενός; οὐμενοῦν οὐδ' ἐπὶ τῇ σωτηρίᾳ χαρήσῃ αὐτοῦ; ἀλλ' ἀγαλλιάσῃ μᾶλλον ἀντὶ τούτου σκῦλα εὑρὼν, κὴ θὴρ ἄλλος ἀντὶ ποιμένος ὀφθήσῃ, κὴ θύσεις, κὴ ἀπολέσεις; Καὶ πῶς οἴσεις, ὅταν Θεὸς, ὁ ὑπὲρ τούτου σφαγεὶς, σκ τῶν σῶν χειρῶν ἥξῃ (3) τὸ αἷμα τοῦτο ζητῶν; Τί μικρῶν οὕτως ἀργυρίων προδίδως Χριστὸν, τὸν πᾶν ὅσον ἐφ' ἑνὶ τούτων τῶν ἐλαχίστων ἔστι γεγενημένον εἰς ἑαυτὸν ἀναδεδεγμένον (4);

(1) Epist. ad Philipp. II, 1.
(2) Vid. Luc. XV, 4....
(3) Codex, ἥξοι.
(4) Vid. Matth. XXV, 40.

« Λάβε » πρὸς τὸν λῃσίαρχον (1) γράφεις, « αἴχ-
» μαλώτῳ χρέα τοῖς βαρβάροις ὑπεσχημένα· λάβε
» πρῶτον, καὶ οὕτως αὐτὸν ἄπες τῶν κακούντων δε-
» σμῶν. » Καὶ οὐδὲ ταῦτα σαφῶς καὶ καθαρῶς λέ-
γεις, ἀλλὰ τί; σίρεβλοῖς κἀνταῦθα τἀληθὲς ἢ κλέ-
πτειν τὸν δόλον, λανθάνειν θέλων, ἀνὶ' ὀλίγων ὄφλων
ἀποχρώντων τοῖς βαρβάροις ἐχθροῖς, πλείω ζητῶν.
Τί γὰρ μὴ τὸν ἀριθμὸν λέγεις, δῆλον ὄντα, ἢ παρὰ
τοῦ ἱερέως καταμαθών, ἀλλ', εἰδώς, ἐκὼν κρύπτεις,
ὥσπερ τις ἀγνοῶν; « Λάβε » λέγεις, οὐ τόσον, αὐτὸ
δηλονότι τὸ καὶ ἀληθῶς ὄφλημα, ἀλλ' ὅσον αὐτῷ τῷ
λῃσεύοντι ἐστὶν ἐγνωσμένον. Καὶ γοῦν ἐκεῖνος ἐκ συνη-
θείας τὸν νοῦν τοῖς γεγραμμένοις προσσχών, ἢ συνιεὶς
ἐς τὰ μάλιστα τί καὶ πόσον ἔγνω καὶ πόσον εἴληφε,
πεντακοσίων ὄντων ὧν ὅτος πρὸς τοὺς ἀσεβεῖς ὁ δυσ-
τυχὴς ὤφλε καὶ κακοδαίμων παντάπασιν ἄνθρωπος,
ὁ καὶ ταῖς σαῖς χερσὶν ἐκ βαρβάρων σχετλιώτερον
ἐμπεσών, οὐ πρότερον αὐτῷ λέλυκε τὰ δεσμὰ ὁ
τὴν φιλάνθρωπον ταύτην δεξάμενος ἐπιστολήν, ἢ
τοῦτον χίλια βυληθῆναι καταθέσθαι, καὶ καταθέμε-
νον (2)· ταυτὶ πάντως εἰσπραττομένης καὶ γε βυλομένης
καὶ τῆς σεσοφισμένης ταύτης ἐπιστολῆς.

Οὐ μὴν ἀλλ' ἐπειδὴ ταῦτ' εἴρηται, καὶ ὁ ἔλεγχος
δῆλος τῶν ἐπὶ συμφορᾷς δεινῆς ἀνθρώπων κακὰ
μείζω πρᾶξαι δεινῶν ἐκ περινοίας ὅλων σοφισμάτων
τοῦ σατειάρχου, φέρε δὴ καὶ τὰ τῷ ἐπὶ τῷ σπρατῷ
λέγε μεσὶὰ θρήνων ἕτερα καὶ χαλεπὰ διηγήματα.

Καὶ τὰ τοῦ Βαραβλωνίας αὖθις ταυτὰ τούτοις
λέγε.

(1) *Murtatorum* ducem. (2) Sic codex.

Χρήματα μὲν οὖν ταῦτα καὶ τοσαῦτα τῷ οἰκουμενικῷ πατριάρχῃ (1), καίτοι τῶν κανόνων ἀμυνομένων, πανταχόθεν, ὡς εἰπεῖν, τῆς οἰκουμένης χειροτονικῶν ἐξ αἱμάτων καὶ συμφορῶν ἤθροισται, καὶ πρὶν ἢ ἐπὶ τοῦ θρόνου τοῦδε καθίσαι καὶ εἰς ὃ νῦν ὕψος ὁρᾶται ἐκ Κυζίκου μετενεχθῆναι. Ἐπεὶ δὲ μετετέθη, πολλῶν αὐτῶν γε τῶν χρημάτων γέμων, ὡς αὐτὸς, ἐπὶ τούτοις μέγα φρονῶν καὶ φιλοτιμούμενος, συχνὰ τοῖς ἐντυγχάνουσι διεξῄει, ἀξιοῦμεν, καὶ πάνυ τι δικαίως ἀξιοῦμεν, μηδὲ τὰ μετὰ ταῦτα παριδεῖν ὑμᾶς ἀνεξέτασται· καὶ πρώτως, περὶ αὐτῆς τῆς κατ' αὐτὸν μεταθέσεως, εἰ, ὅπερ δὴ λέγεται, τοῦτο δήπου καὶ γέγονε.

Μετάθεσις γὰρ πάντως ἐξ ἑτέρου μετατεθῆναι πρὸς ἕτερον, καὶ ἀποστῆναι μὲν τοῦ πρώτερου, ἐπὶ δὲ τοῦ δευτέρου στῆναι. Τί γοῦν ὁ πατριάρχης; μετατεθεὶς ἀπὸ τῆς Κυζίκου ἀπέστη καὶ αὐτῆς δὴ τῆς Κυζίκου; ἢ ἅμα καὶ ταύτην ὡς τὸ πρότερον ἔχει τὴν Κύζικον, καὶ τὴν αὐτῆς μητέρα καὶ τῶν ἄλλων ἁπασῶν ἐκκλησίαν ἠγάγετο; πάντως τοῦτο. Καὶ ἀπὸ ποίους κανόνας, κατὰ ποίους ἱερεῖς καὶ θείους θεσμούς, κατὰ ποῖον εὐπρεπὲς, κατὰ ποῖον σεμνὸν καὶ ἄμεμπτον, ἔλαβε τὴν μητέρα καὶ τὴν θυγατέρα παρακατέχει (2); καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τὴν ἀδελφὴν (3) ταύτης Περικόνησον,

(1) Patriarcha Constantinopoleos peculiari atque honorifico titulo œcumenicus vocatur. Vid. t. III, p. 367, n. 2.

(2) Matrem vocat metaphorice ecclesiam patriarchalem Constantinopoleos, filiam ecclesiam Cyzici, quæ patriarchali suffragabatur. Verba ἔχει, ἠγάγετο, sunt nuptialia; quibus etiam figuris nostri episcopi utuntur, ecclesiasque suas sibi pro conjugibus esse dicunt.

(3) Perstat in metaphora.

καὶ οὐ ταύτην μόνον, ἀλλὰ καὶ τὴν ἀδελφὴν Τραιανούπολιν· ἣν δὴ καὶ διεῖλεν, αὖθις τῶν κανόνων μὴ ἐγχωρούντων· ἃ τὸ μὲν αὐτῆς ἀνῆκεν (ἄπορον γάρ), τὰ δ' οὐ μεθῆκε, Μάκρην καὶ Βήρεαν, γενναῖα δή τινα, συνεισφέρειν δεδυνημένα. Καὶ νῦν ἐστὶν ὁ πατριάρχης, καὶ τὴν μητέρα, τὴν πρώτην δηλονότι τῶν ἐκκλησιῶν καὶ μείζονα, καὶ τὴν ταύτης θυγατέρα Κύζικον, καὶ τὴν δευτέραν ταύτης ἀδελφὴν, καὶ τὴν τρίτην ἢ τὰ τῆς τρίτης, συλλαβὼν καὶ κατέχων. Πῶς γοῦν ἡ μετάθεσις μετάθεσις καὶ ἐξ ἑτέρας εἰς ἑτέραν καθίδρυσις, ἀλλ' οὐχὶ πολλῶν ἅμα σύλληψις; τρᾶγμα μή ποτ' ἄλλοτε τῇ ἐκκλησίᾳ πεπραγμένον, καὶ οὕτως ἄθεσμον καὶ παντελῶς ἄτοπον.

Ἀλλ' εἴποι τις ἂν ἴσως, ὅτι πρᾶξις συνοδικὴ ταῦτα. Πῶς γοῦν, ὦ (1) πρὸς Θεοῦ! πῶς ἢ δέδοκται ἢ διέγνωσται ἢ πέπρακται ταῦτα τῇ συνόδῳ; ἦ (2) ἵνα ὁ μὲν πατριάρχης κερδάνῃ καὶ ὑπὲρ κόρον ἀπολαύσῃ, οἱ δὲ πεπραχότες ἡμεῖς τῷ ἐκ τῆς ἀθεμίτου ταύτης καὶ ἀτόπου τραξεως ἐγκλήματι καθυπαχθῶμεν;

(1) Codex ὦ̃, et sic infra ὦ̃ νόμοι. Mutatio hic loci poterit incerta videri. Julianus Epist. 14: ὦ̃ λῆρε, ὦ̃ φρένες!.. malim equidem ὦ cum codice 2964. Securior scripsi t. III, p. 373, 24, ὦ θεὸς τῆς ἀληθείας, in nostro Chumno, quum esset ὦ̃ in codice. Julianus Misop. p. 369: ὦ̃ τῆς καλλιστευομένης πόλεως· hic ὦ ejusdem codicis sine dubitatione amplector. Maximus Tyr. Diss. XXIV, 4, p. 461: πιθεὶς νόμους τοῖς ἀριστεύουσιν (cod. 1962, ἀριστεῦσιν), οὐ σκήφανον... δωρεῖται, ἀλλ' ἐξεῖναι φιλεῖν τῷ ἀρίστῳ, εἰ δή που ἂν θέλῃ τῶν καλῶν· ὦ τῆς θαυμαστῆς χάριτος! melius ὡ in codice. Iterum Diss. XXXV, 7: ὦ̃ χρησμοῦ καλοῦ! et hic in codice melius ὦ̃. Libanius, t. I, p. 512: ὦ̃ γλυκείας ἀκοῆς! codd. 1000, 3035, ὦ, quod præferendum: et sic eadem pagina iidem libri non semel. Ibidem p. 520: ὦ̃ τῆς ὀρφανίας! et hic libri ὦ, nec semel ea ipsa pagina. Rursus Libanius p. 415: ὦ̃ νυκτὸς ἐκείνης ἱερᾶς! ὦ̃.... codex 3035, ὦ..... ὦ....

(2) Codex, ἤ.

Καὶ τοίνυν, εἴπερ νῦν ἡμῖν ταῦτα δέδοκται, ἔδοξεν ἂν καὶ πρότερον, ἐπὶ τῶν αὐτῶν καὶ ἴσων καιρῶν καὶ πραγμάτων τοῦ καὶ τότε πατριαρχεύοντος ὄντος· ἀλλ' οὐδὲν τότε τοιοῦτον· οὐ τοίνυν οὐδὲ νῦν ἥκιστα τῇ συνόδῳ ταῦτ' ἐστὶ δεδογμένα.

Εἰ δὲ λέγεις ὅτι κατεβιάσθημεν, ὀρθῶς λέγεις καὶ καλῶς λέγεις. Καὶ γοῦν, εἰ μέμψις τοῖς βιασθεῖσι, πόσον κατάκριμα τῷ βιασαμένῳ; ποῖον δὲ καὶ τοῦτο χρηστὸν τῆς καλῆς μεταθέσεως τέλος; ἐπὶ τὰ αὐτὰ ὅλην τὴν ἱερὰν σύνοδον καὶ βιάζεσθαι καὶ συνελαύνειν;

Ὦ νόμοι Θεοῦ, καὶ ἀποστόλων ἀκρίβεια, καὶ ἀσφάλεια πατέρων, καὶ μαρτύρων αἵματα, μᾶλλον δ' αἵματα Χριστοῦ τῆς κεφαλῆς τῆς ἐκκλησίας, ἃ, ἐπὶ σταυροῦ κενωθέντα, ταύτην δὴ τὴν ἐκκλησίαν καὶ συνέπηξαν καὶ ἐστήριξαν! τί παίζομεν ἐν οὐ παικτοῖς, καὶ οὐ δειλιῶμεν οὐδὲ φρίττομεν τὸν πάντα καὶ ταῦτα βλέποντα φοβερὸν ὀφθαλμὸν τοῦ Θεοῦ;

Ἀλλὰ περὶ μὲν τῶν τεσσάρων (1) ἅμα ἐκκλησιῶν, αὐτῆς δὴ τῆς πρώτης καὶ μεγάλης, τῆς Κυζίκου, τῆς Προικονήσου, τῶν τῆς Τραϊανουπόλεως γνησίων, ὧν ἅμα ὡς μιᾶς δή τινος ἐπελάβετο καὶ συνειληφὼς ὁ πατριάρχης κατέχει, ταῦτα· περὶ δὲ τῆς Θεσσαλονίκης, Βερροίας, Μαρωνείας, Φιλιππουπόλεως, Λήμνου, Ῥωσίου, Σηλυβρίας, Δέρκους, ἃς συλλήβδην κατεξουσιάζων ἐκκαρποῦται, τί καὶ περὶ τούτων ἔχεις εἰπεῖν; οὐκ ἐξ αὐτῶν δῆλον ὅπως ὁ πατριάρχης τῇ τῶν ἀρχιερέων κέχρηται συνόδῳ καὶ γνώμῃ; τί καὶ περὶ τούτων λέγουσιν οἱ κανόνες; ἀναγνῶμεν. Καὶ τῶν ἐκθέντων ἀποστολῶν, τῶν ἐκθέντων πατέρων, μηδὲν

(1) Codex, ὧν τεσσάρων.

πρότερον ἡγησώμεθα, μηδὲ βουληθῶμεν, ἄλλον τινὰ πρὸ αὐτῶν θεραπεύοντες, σφῶν αὐτῶν τῆς ἀγανακτήσεως, μᾶλλον δὲ τῆς ὀργῆς τοῦ Θεοῦ καὶ ἀγανακτήσεως, ἐς ὅτι πλεῖστον ὦν πείρᾳ γενέσθαι. Δεῖ δ' ὑμᾶς πάντως καὶ τοῦτο σκοπεῖν καὶ μὴ παρατρέχειν ἐθέλειν. Εἰ γὰρ τὸ δοῦναί τινα καὶ χειρόνηθῆναι μέγα καὶ μέγιστον καὶ κατ' αὐτοῦ καὶ κατὰ τοῦ λαμβάνοντος καὶ χειροτονοῦντος, εἴ τις κατὰ τοὺς ἀποστολικοὺς καὶ πατερικὸς κανόνας ἐξεπίτηδες οὐ βέλει χειροτονεῖν, παρατρέχει δὲ τοὺς ὅρους, ἵν' ἐκ τῶν ἐκκλησιῶν λαμβάνῃ καὶ πλείω ἀνὶ ὀλίγων λαμβάνῃ, πῶς οὐχὶ καὶ ταῦτα λῆψις; ἢ πῶς δ' τὸ κακούργημα τόδε χεῖρον καὶ πολλῷ γε χεῖρον τῷ προτέρου;

Καὶ μὴν πολλῶν τῷ πατριάρχῃ κατὰ τὰς αὐτοῦ φωνὰς (1) προσόντων, καὶ πολλῶν γε τῶν χρημάτων αὐτῷ προειρρεόντων, οὐδ' ὀκεῖν' ἔστιν εἰπεῖν, ὡς ἐξ ἀνάγκης δή τινος καὶ χρείας βιαζομένης ἐπὶ τὰς τοιαύτας συνωθούμενος ἔρχεται λήψεις καὶ ταυτὰ πράττει τοῖς περὶ τοῦ τῶν πατριαρχῶν τισὶ πεπραγμένοις, ὅτι μηδὲ δίκαιον, μηδ' ἀνεύθυνον, οὔτ' αὐτῷ, οὔτ' εἴ τις ἕτερος παραπλησίως ἔγνω καὶ παραπλησίοις ἐχρήσατο λήμμασιν, οὔκουν ἐκ τῶν ἀποστολικῶν, οὐκ ὀκ τῶν πατερικῶν θεσπισμάτων. Ἢ κατὰ τίνα τρόπον, κατὰ τίνα λόγον εἰκότα; ἢ τούτου γε εἵνεκα, ἵνα δηλονότι ἔξει μεταδιδόναι; Ἀλλὰ μὴν τῷ ἔχοντος, ὅ τῷ μὴ ἔχοντος, ὄφλημα τοῦτο· καὶ οὐδεμία δήπουθεν ἀνάγκη τῷ μὴ κεκτημένῳ ἑτέρους μεταδιδόναι, ὅτι μηδ' ἐκεῖνο μᾶλλον ὦν αἰτία τὸ μήτ' ἔχειν δηλονότι, μήτε παρέχειν, ἀλλ' εἴ τις μᾶλλον, ὅθεν οὐ δεῖ

(1) Conf. p. 278, [illegible]

λαμβάνων, ἐξ αὐτῶν αἱρεῖται, πολλῶν. ὄντων καὶ μεγάλων, ὀλίγα καὶ μικρὰ νέμειν. Εἰ δὲ καὶ ἐν ἀφθόνοις τυγχάνει τις ὢν καὶ πολλῷ τῷ πλούτῳ κεχρημένος, εἶτα, περὶ τοῦ κεκενῶσθαι τοῦτον ἢ ποσῶς καθυφεῖσθαι, ἕτερα συνάγει, ποίαν οὐχ ὑπερβολὴν πλεονεξίας ἔχει; ἢ πῶς ὁ τοιοῦτος ὡς εὖ, ἀλλ' οὐχ ὡς κακῶς, ποιῶν νομισθείη;

Ὅλως δὲ τὰ τοῦ πατριάρχου πολλὰ δή τινα ὄντα πυθέσθαι βουλόμεθα τίνα καὶ πόθεν ταῦτα; ἐκκλησιαστικὰ καὶ ἐκ τῶν ἐκκλησιαστικῶν; ἢ αὐτοῦ ἴδια καὶ περὶ τῆς ἀρχιερωσύνης;

Ἀλλ' εἰ περὶ ταύτης; ἀλλ' οὐκ ἦν αὐτῷ μοναχῷ γε ὄντι καὶ κατὰ μοναχοὺς βιοῦντι τοσαῦτ' ἔχειν· καὶ, ὅτι οὐκ ἦν, πᾶσι δῆλον. Ἐκκλησιαστικὰ δὲ ὄντα καὶ ὑπὲρ τῆς ἐκκλησίας δεῖ πάντως ἁπλῶσθαι, καὶ οὕτως ἐφ' ἕτερα τὸν πατριάρχην βλέπειν· εἰ δὲ μὴ ἀνάλωται μηδ' ὑφεῖται, αἰεὶ δ' ἐπαύξει, κενὴ πάντως ἡ πρόφασις τοῦ μεταδιδόναι· ὅλως δ', εἰ, χάριν τοῦ εὖ ποιεῖν ἔχειν, διὰ τοῦτ' αὐτῷ καὶ τὸ πανταχόθεν συνάγειν, οὐκ ἂν οὐδέ γε τὴν ἀρχὴν ὁ πολὺς καὶ πλεῖστος κλῆρος συνέστη τῶν συνειλεγμένων, ἐπὶ πολλοῖς τῶν δεομένων αὖθις ἐσκορπισμένων.

Ἀλλὰ καὶ πάλιν ἡμεῖς πυνθανόμεθα πόθεν τὰ πολλὰ χρήματα ταῦτα· ἐκ Κυζίκου; καὶ εἰ οὕτως ἀφθόνως ἡ Κύζικος καὶ ἀκένωτα οἷδε πλουτίζειν, τίνος εἵνεκα καὶ ἡ Περινθος περσετέθη; τίνος δ' αὖθις εἵνεκα καὶ ἡ Τεκιανούπολις περσελήφθη· διὰ τί καὶ τῶν ἐκκλησιῶν αἱ λοιπαὶ τοσαῦτα διαφορβσιν; Ἀλλ' οὐκ ἐκ Κυζίκου τὰ πολλὰ τῶν χρημάτων; καὶ εἰ μὴ ἐκ ταύτης, ἢ ἑτερός τις ὅθεν ἄλλοθεν λεγέτω, ἢ τὸ

λειπόμενον ἡμεῖς ἐρῦμεν. Λείπεται δὲ ἐκ τῶν δημοσίων καὶ κοινῶν λέγειν πραγμάτων, καί γ' ἐξ ἁρπαγῆς καὶ πλεονεξίας ὅτι πλείστης καὶ ἀδικίας. Καὶ χρῦν, εἰ βούλεσθε, ἔστω καὶ δεδόσθω τοῦτο, καὶ τὸ πᾶν ἡμεῖς εὐθὺς ἔχομεν, καὶ οὐκ ἔτι πολεῖον ἐπιζητοῦμεν.

Καὶ τοίνυν ταῦτ', ὦ θειότατε καὶ εὐσεβέστατε καὶ φιλοχεμστότατε βασιλεῦ, πρὸς τὴν ἱερὰν ταύτην καὶ θείαν ἡμεῖς σύνοδον. Διὰ ταῦτα καὶ πρὸς τὸ σὸν κράτος τὴν ἀναφορὰν πρότερον ἐποιησάμεθα, ὡς ἂν δηλονότι καὶ διὰ σοῦ γένοιτο τὸν ἀθεσιμὸν τόνδε τῶν ἀρχιερέων γενέσθαι, καὶ ἡμῶν τὰ τοὺς λογισμοὺς ταράττοντα ταῦτα ἡμᾶς καὶ εἰς ἀκοὰς αὐτῶν θεῖναι καὶ ἐξέτασιν, καὶ δὴ πρᾶξαι ὀρθὴν καὶ ἀπαραλόγιστον παρ' αὐτῶν εἰληφέναι (1), ἣν δὴ καὶ χρὴ Θεὸν αὐτὸν νομίζειν ἡμᾶς ἀναμένειν, ὑπὲρ ἧς καὶ οἱ λόγοι καὶ ἡ ὀρθὴ αὕτη καὶ δικαία καὶ ἀληθὴς ἀπόφασις ἔστω καὶ ἀσφαλὴς ψῆφος.

(1) Videtur nomen aliquod excidisse, forsan ψῆφον, δίκην.

ΤΟΥ ΑΥΤΟΥ

ΠΡΟΣ ΤΙΝΑΣ ΤΩΝ ΕΤΑΙΡΩΝ,

ΟΤΙ ΜΗ ΧΡΗ ΔΥΣΧΕΡΑΙΝΕΙΝ, ΕΙ ΤΟΙΣ ΚΑΚΟΥΡΓΟΥΣΙ ΤΑ ΠΕΡΙ ΤΟΥΣ ΛΟΓΟΥΣ ΕΚ ΤΩΝ ΑΠΑΙΔΕΥΤΩΝ ΔΟΞΑ ΓΙΝΕΤΑΙ, ΣΚΑΙΟΙΣ ΔΗ ΤΙΣΙ ΚΑΙ ΦΑΥΛΟΙΣ ΟΥΣΙΝ.*

Λόγους ἐπιδεύειν ὑ μεθ' ὁμοίας πάντες τῆς γνώμης, οὐδὲ πρὸς ἓν χὴ τὸ αὐτὸ τέλος ὁρῶντες, πάντες δ' ὁμοίως τινὸς ἕνεκεν, ὅσοι ἐπεδήδευσαν, ἐσπούδασαν.

Οἱ μὲν γὰρ ὅτι χὴ καθ' αὑτὸς καλὸν λόγοι χρῆμα χὴ καλῶν πάντων ἔμπροσθεν, μηδὲν ἑαυτοῖς ὁμότιμον ἔχοντες, περὶ αὐτοὺς φιλοπονοῦσιν, ἄλλο μὲν ἐξ αὐτῶν κέρδος οὐδὲν σκοποῦντες, παιδείαν δὲ χὴ σοφίαν εἴπερ ἔξουσι κατορθῶσαι, τοῦτο μέγα καὶ πάντων μεῖζον κέρδος εἰδότες, σεμνοί τινες οὗτοι τοῦ καλοῦ ἐρασταὶ καὶ μάλα φιλότιμοι, αὐτὸ δὴ τοῦτο σπουδάζοντες τὸ καλὸν δι' αὐτὸ τοῦτο μόνον ὅτι καλὸν, καὶ μηδὲν πλέον τοῦδε ζητοῦντες. Οἱ δ' ὅτι καὶ κλέος, εἴ τις ἐν ἀνθρώποις μὴ φθειρόμενον ζητεῖ κτήσασθαι, ἐντεῦθεν ἔοικε μᾶλλον ἀληθινὸν κλήσασθαι, πάντων τῶν ἄλλων παρὰ πολὺ φερομένων καλλίονα παιδείας καὶ τῆς ἐκ τῶν λόγων λαμπρότητος, τὴν σπουδὴν ἐπιτείνουσι.

Καὶ εἰσὶν ὡσανεὶ δύο μερίδες αὗται τῶν περὶ λόγους ἀσχολουμένων, ἐπαινεταὶ καὶ ἄμφω, καὶ μηδεμία

* E codice 2105, p. 368, 1. Est hæc scriptiuncula inter Nicephori Chumni epistolas, earumque sexagesima tertia.

φαύλη νομιζομένη· μᾶλλον μὲν οὖν καὶ θαυμαστή τις ἑκατέρα τοῦ σκοποῦ, θαυμαστὴ καὶ τῶν πόνων, εἰ κομιδῇ περθυμοῖντο.

Οὐ μὴν ἀλλ' αὐτῶν δὴ τούτων ἀμφοτέρων χὴ συμμετέχειν ἕνα καὶ τὸν αὐτὸν οὐδὲν ἄποργν, ὅτι μηδ' ἔστι τὴν γνώμην οἱονεὶ πρὸς ἑαυτὴν στασιάζειν ἑκατέρων ἔχουσαν ἔρωτα· τοὐναντίον δὲ πᾶν καὶ συμφωνεῖν καὶ συναδειν, καὶ πρὸς τὸ ζητούμενον κατὰ τρόπον συντείνεσθαι, τοὺς τοιούτους ἂν ἴδοις, χὴ φύσει γενναία κεχρημένους χὴ μεγάλ' ἄτα ἐπὶ τέλους κατωρθωκότας.

Ἕτεροι δὲ φαῦλοι χὴ ἀγεννεῖς, χὴ κακοὶ κακῶς ὑπὸ βασκανίας, εἰπεῖν, τὸ πλέον ἡσσημένοι, χωροῦσι πρὸς λόγους, εἰδότες μὲν ἴσως ὡς οὐδὲν αὐτοῖς ἔσται πλέον, οὐδ' ἂν πλεῖστα μοχθήσωσι, πλὴν τοῦ θράσος ἄλογον χὴ ἀναίδειαν μαθηλευθῆναι, ἀπαίῆσαί τε χὴ μέσον ἀγροίκων νεανιεύσασθαι, ἀγαπῶντες δ' ὅμως χὰν τούτῳ· οὐ μὴν ἀλλὰ, χὴ εἴ τι σφίσι γένοιτο τοῖς καλοῖς ἐκείνοις ἐπὶ δόξαν ἰσχύσαι λυμήνασθαι, τοῦτο πλέον ἀγαπῶντες, τὸ δόξαι πεπαιδεῦσθαι ἱκανὸν πρὸς διαβολὴν ἐσχηκότες. Οὕτω δ' ἐπὶ λόγους ὡρμημένοι, οὕτω τελευταῖον οὗτοι χὴ ἀπαλλάττονται. Οὐ γὰρ ἀπέρχονται πλέον οὐδὲν ἀποφερόμενοι, οὐδέ τι κέρδος, οἷον χ' ζηλῶσαί τινα τῶν μετρίως γοῦν περὶ ἀληθείας φερόντων, ἐπεὶ μηδ' εἰσὶν οἷοι χὴ χρήσασθαι παιδείᾳ χ' ἐπιστήμην ἐξακριβῶσαι· ἀλλ', ἔμοιγε δοκεῖν, χὴ τὴν φύσιν ἐξ ἀρχῆς κατ' αὐτοὺς τοῦτο τὸ μέρος σλημμελῆσαι, ἢ μᾶλλον ἐξεπίτηδες, εὖ τὰ πάντα ποιοῦσαν, κἀνταῦθα ποιῆσαι νωθρότητα χὴ ἀκινησίαν καὶ νάρκην, καὶ εἴ τι τοιοῦτον ἕτερον, κλοιὸν παντὸς

καὶ πάσης ἀκριβέστερον πέδης, αὐτοῖς ἐσιθεῖσαν, ὡς μηδ' ἂν δυνηθῆναι, μηδ' ἂν σφόδρα βουληθεῖεν, μεταποιήσασθαι λόγων· τίνος ἕνεκεν; ἵνα δὴ μὴ εἰς ψυχὴν αὐτῶν (κακότεχνος γάρ) εἰσέλθοι σοφία.

Ἀλλ' οὗτοί γε οὕτως, ἢ ἐξ αὐτῆς, ὡς εἰκάσαι, τῆς φύσεως, πάσης ἐπιστήμης ἀπεληλαμένοι καὶ λόγων σοφῶν κοινωνίας ἁπάσης, καὶ μηδὲν ἔχοντες ἐντεῦθεν μήτε τι πρᾶξαι γενναῖον μήτ' ἐπιδεῖξαι, ὅπερ ἔχουσιν ἀγεννὲς ἢ κακόηθες δρῶσι. Φέρονται πρὸς τὸ ἀπαίδευτους, καὶ τούτων ἐπίπροσθεν ἐπὶ λόγοις φιλοτιμοῦνται, κάλλος καὶ μέγεθος καὶ δύναμιν περιτιθέντες, ἢ ὅσα δὴ ἄνθρωποι ἀμαθίᾳ δουλεύοντες ὅσοι (1) μὴ πέφυκε πεφυκέναι νομίζουσι, παρὰ σοφίσιν εἶναι μεγαλαυχούμενοι, τρόπον ἀσολάστου πόρνης ἐν τῷδε ζηλοῦντες, ἥ, μήτε κάλλους μήτε σωλῆς εὖ ἔχουσα, δι' ὧν ἂν ἕλκύσοι τὸν αἰσθανόμενον καὶ ὑπ' αὐτοῦ φιλητὴ εἴη (ἀγαπητὸν μὲν οὖν εἰ καὶ, μὴ σφόδρα μισηθεῖσα, ὡς ἔστιν ἔχουσα, πληγὰς εἰληφυῖα, ἀποπεμφθείη), πάντα μὲν τὸν σὺν αἰσθήσει προσέχοντα δεῖν εἶναι (2) νομίζει φεύγειν ἀεὶ, καὶ φεύγει, ἐπὶ δὲ τῶν ἀναισθήτων ἀπαναιδεύεται, πρόσωπον μὲν αἰσχρὸν ὡς καλὸν θεατρίζουσα, λίθους δὲ φαύλους ἢ κόσμον ἕτερον ἐξ ὕλης ἀτίμου καί γε πεπατημένης, ὡς δή τινα τίμια, περιφανῶς ἐνδεικνυμένη, ἢ τούτῳ δὴ τῷ σοφίσματι τοὺς μηδὲν ἐπαΐοντας περὶ αὐτῶν ὑποκλέπτουσα.

Ἀλλ' οὐδὲν τοῦτο δεινὸν, καὶ μικρὸς ὁ πόνος, εἰ,

(1) An ὅπη?

(2) Est, puto, δεῖν pro δέον: vid. t. III, p. 47, n. 1. Vel potest esse pleonasmus non rarus infinitivi εἶναι. Sic mox pag. 292, 15; pag. 297, n. 1, et alibi.

καθάπερ καὶ ἄλλ' ἄττα τῶν καλῶν δοκοῦσί τινες εἶναι μηδὲν αὐτῶν ὄντες, οὕτω δὴ καὶ δόξαν λαμπρὰν ἐπὶ λόγοις ἄνθρωποι πλείστης ἀμαθίας γέμοντες παρὰ τὸ εἰκὸς ἀποφέρονται. Ἐχέτωσαν εὐδοξίας ὡς ἔχουσι· φθόνος οὐδεὶς ἐμφορεῖσθαι τούτοις τῆς ἀπάτης καὶ τοῦ τεχνάσματος. Καὶ τοίνυν ἀφθόνως ἐμφορῶνται, καὶ οὐδενὸς ἂν ἀκούσαις τούτοις γε χάριν ἀγαναχτοῦντος.

Ἀλλ' ὅτι καὶ κατὰ τῶν ἀρίστων ἐκείνων ἀναισχυντῶσι, τῶν τὰ μεγάλα δηλαδὴ περὶ λόγους κατορθωκότων, καὶ διαβάλλειν ἐπιχειροῦσι, δικασταῖς χρώμενοι, οἷς οὐδὲν πλέον μέτεστι λόγων τῶν περὶ τὰς βαναύσους τέχνας διὰ παντὸς τοῦ βίου ἐσχολακότων, τοῦτό τινες ἐν δεινῷ ποιοῦνται, καὶ εἴ τι πρὸς δύναμιν δρᾶσαι κατ' αὐτῶν πεφθυμῶνται, οὐκ ἐπαινετῶς μὲν ἐμοί, ἀλλ' οὐδ' ἐκείνοις, οἶμαι, τοῖς σοφοῖς ὡς ὄντως καὶ τρόπον τὸν εἰρημένον ἠδικῆσθαι νομιζομένοις· ποιοῦνται δ' ὅμως, δι' αὐτὸ δὴ τοῦτο καὶ θερμῶς ζηλῶντες, ὅτι νομίζουσιν αὐτοὺς ἠδικῆσθαι.

Οὐ μὴν ἀλλ' ὅπερ ἐγὼ πρὸς ὑμᾶς περὶ τούτων (1), τοὺς οὕτω μὲν δικαίαν, οὐ μὴν, ὅπερ ἔφην, ἐπαινετὴν ἡμῖν πεφθυμίαν κατὰ τῶν βασκάνων τῶνδε πεποιημένους, συμβουλεύειν ἔχω, καὶ συμβουλεύω· ἄφελε τοὺς παραπλῆγας τούτους μαινομένους ἀπολαύειν κατ' ἐξουσίαν τῆς ἀπονοίας, δυσχεραίνοντες αὐτοῖς μηδὲν, μηδ' ἐπιτιμῶντες. Οὐ γάρ ἐστιν οὐδαμῶς ὅτε τούτους (ὁρᾶτε γὰρ ὁποῖοι) τοὺς ἀγαθοὺς ἐκείνους ἐπ' οὐδενὶ βλάψαι, οὔτ' ἐκείνους ὑπ' οὐδενὸς ἂν ἐφ'

(1) Codex, πύπυ, sequente puncto, quod pro sigmate male positum esse putavi.

οἷς πλουτοῦσιν ἀδικηθῆναι· οὐδ' οὐ μή τι ζημιωθεῖεν. Καὶ γὰρ, εἰ μὲν αὐτὸ δὴ τοῦτο προέθεντο μόνον, λόγους κατορθῶσαι, καὶ πρὸς τοῦτο βλέποντες τὴν ὅλην σπουδὴν ἔσχον, ἔχουσιν ὅπερ ἠβούλοντο, καὶ πάντ' ἂν μᾶλλον πρότερον ἰσχύσοι τις ἐπηρεάζων πάντων ἀφελέσθαι, ἢ τοῦτο δὴ τὸ κλεινὸν αὐτῶν ἀφελέσθαι· εἰ δὲ καὶ περὶ τῷ δευτέρῳ ζηλοῦποῦσι, δόξαν τεθαυμακότες, οὐδὲ ταύτην αὐτῶν οὐδεὶς καλαλύσοι (1)· μενεῖ δ' ἀεὶ βεβαία καὶ κατὰ παντὸς τοῦ χρόνου κρατήσει, μέχρις ἂν δηλονότι καὶ σοφία παρὰ τοῖς ἀνθρώποις καὶ σύνεσις παραμείνοι. Μενεῖ δὲ πῶς; νῦν μὲν αὐτὸς πάντων τῶν εἰδότων, ὡς εἰκὸς, θαυμαζόντων (θαυμάζουσι γὰρ ὅσοι προσέχουσιν ἐπισταμένως)· ὕστερον δ' ἀεὶ λόγοις τοῖς ἐξ αὐτῶν ἀνδρῶν σοφῶν προτυγχανόντων, καὶ, αὖ λέγω, θαυμαζόντων. Τῶν δ' ἀπαιδεύτων ἐκείνων τοῖς ἐπὶ τοῦ ὄντος καὶ τῆς ἀληθείας ἀνέχουσι, βραχὺς ἢ οὐδεὶς λόγος, καὶ ὕθλος τὰ πάντα, ὅσα δὴ παρ' αὐτῶν δυσφημούντων ἢ εὐφημούντων· σαφῶς γὰρ ἴσασιν ὡς οὐδὲν ὧν ἀποφαίνονται περὶ λόγων νοῦν ἔχοντες ἀποφαίνονται.

(1) Forsan καταλύσει, vel ἂν e superioribus animo repetendum.

ΤΟΥ ΑΥΤΟΥ

ΠΑΡΑΜΥΘΗΤΙΚΟΣ

ΕΠΙ ΣΥΜΦΟΡΑ ΦΙΛΟΥ ΤΩΝ ΓΝΗΣΙΩΝ ΤΙΝΟΣ.*

Οὐχ, ὥσπερ ἐμοῦ πρότερον ἐστιλέλοιτος κατὰ χρείαν δή τινα, ἢ ὥστε σοι προσλαλῆσαι ἵμερος τῆς ὁμιλίας, πάντ' ἦν ἡμῖν ἐκεῖνα διατριβή τις μετὰ ῥᾳστώνης καὶ ψυχαγωγίας, οὕτω δὴ καὶ τὰ νῦν ἔχει· ἀλλ' οἷαν ἡμῖν ταύτην πικρὰν, καὶ ἥκιστα φορητὴν ὅτε λογισμοῖς καρτερῆσαι ὅτε γλώσσῃ λαλῆσαι, ὁ ἀδελφὸς Εὐσέβιος προύβαλε τὴν ὑπόθεσιν! ὥστε μοι καὶ νῦν οὐκ ἐστιστολὴν, μονῳδίαν δὲ μᾶλλον ἢ θρηνῳδίαν βιάζεται τὸ πάθος συντάττειν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν, οὐδ' εἰ πάνυ τι βουλοίμην, τοῦ δακρύειν ἀφέμενον, ἐπ' ἄλλοις ποιεῖσθαι τὴν ἐν γράμμασι συντυχίαν· ἔλκει δ' ἡ συμφορὰ καὶ κατέχει, καὶ πάνθ' ὅσα μνήμη καὶ λογισμοὶ φέρουσι τὴν καρδίαν σπαράττει.

Καὶ τὰ μὲν δὴ πρῶτα, τὰ τῆς εὐσεβοῦς ταύτης ἔστι καὶ θαυμασίας τὰ πάντα μητρός. Ἔσχατος γὰρ ἐκεῖνος αὐτῇ τόκος· καὶ πεισθὴ τοῦτον ἔτεκε, καὶ τῶν ὠδίνων ἅμα τῶν ἐπ' αὐτῷ καὶ τῆς ἐκ τοῦ τίκτειν ἐφεξῆς ἐπαύσατο λύπης, ὅλην ἑαυτὴν τῷ περὶ αὐτὸν παρέσχετο φίλτρῳ, καὶ ἦν ὥσπερ ἀεὶ φέρουσα τοῖς κόλποις, μηκέτι πεσόντος ἐν αὐτοῖς ἑτέρου. Μετὰ δὲ τὴν μητέρα, τὰ παρ' ὑμῶν τῶν ἀδελφῶν τίνα; ὃ γὰρ δὴ τοῦτο μόνον αὐτῷ τῆς σχέσεως, ὃδὲ τὸ τῆς

* E codice 2105, p. 281, 2.

ἄγαν φιλαδελφίας· ἀλλὰ χὴ ἀντὶ πατρὸς ἦτε, πάνθ' ὅσ' εἰκὸς ἐξ ἐκείνου αὐτοὶ περισώζοντες χὴ πληροῦντες, φιλάδελφοί τινες, εἰπεῖν, ἐν ταυτῷ καὶ φιλόπαιδες γνωριζόμενοι.

Ὁ δὲ πρὸς τὴν μητέρα—Ἀλλὰ τί ἂν αὐτὸς ἐκδιηγήμην, ὑμῶν μᾶλλον εἰδότων καὶ διηγουμένων, ἅμα γε καὶ ἀποδυρομένων; ϖάρεσΤι δὲ καὶ αὐτῆς ἀκούειν, ἀντ' ἐπιταφίου τινὸς τοὺς λόγους πεποιημένης καὶ τὰ ἐκείνου καλὰ διεξιούσης, καί γε πολὺν τὸν θρῆνον καὶ παρὰ τῶν ἄλλων κινούσης, ἐφ' οἷς οἷος ὢν ἐκεῖνος οἵως (1) ἀώρως ἐτμήθη, πλόρθος εὐσεβὴς εὐσεβοῦς ῥίζης χὴ καρποῦ καλοῦ παντὸς γέμων, ἡδὺς μὲν καὶ τὴν ὄψιν ὁρώμενος, ἡδὺς δὲ διήκουθεν καὶ τὸ νοούμενον χὴ ὅσον μὴ ὁρῷτο.

Ἃ δὲ πρὸς ὑμᾶς τοὺς ἀδελφούς, ἐκείνῳ πάνθ' ὑμῖν εἴκοντος καὶ ὅσα καὶ δεσπόταις κεχρημένου, καὶ τῷ γε βλέμματος ὑμῶν καὶ νεύματος ἐξηρτημένῳ, καὶ πρὸς τὸ δοκοῦν ὑμῖν ϖᾶν κατὰ ϖᾶσαν κίνησιν καὶ ϖρᾶξιν κινουμένου, τίνα καὶ ἐπιεικείας χὴ καλοκαγαθίας, μέντοι γε καὶ γνώμης πᾶν εἴ τι (2) καλὸν καὶ ἄριστον ἐπηγγελμένης, οὐχ ὑπερβολὴν ἔχει;

(1) In similibus repetitionibus sibi placuerunt. Sophocles Trachin. 996 : *οἵων ἀνθ' οἵων δυμάτων ἐπί μοι μελέῳ χάριν κτίσον.* Synesius Epist. 57, p. 196 D : *ἐξ οἵων ἄρα ἐν οἵοις γεγόναμεν.* Psellus De dæmon. pag. 25 : *ἀνθ' οἵων οἷα διαμειβόμενοι.* Ibi Gaulminus : « adagium est, de quo alibi » plenius. » Qui an alibi dixerit de ea formula nescio, nec puto, nec quæram. Nunc plene satisfaciet lectori Monk. ad Alcest. 145. Adde Jacobs. ad Anthol. Palat. p. 889 ; Valent. et Rhoer. ad Porph. De abst. I, 1, pag. 3 ; Casaub. ad Theophr. VIII, 3.

(2) Forsan ὅ τι : conf. p. 131, n. 2. Sed retardat corrigendi impetum exemplorum numerus. Vid. notas ad Xen. Ephes. IV, p. 242. Aphthonius Prog. p. 79 : *παῖς γάρ τί τι καλόν·* cod. Maz. A 86, *πᾶν μὲν γὰρ τί...*

Ἀλλ', ὦ σὺ, τὰ πάντα χρηστὲ καὶ διὰ πάντα καὶ ἡμῖν φίλτατε, μητρὸς εὐσεβοῦς εὐσεβὲς γέννημα (1), καί γε μετὰ πλείστων ὅσων ἀπιὼν τῶν καλλίστων καὶ τῶν τῆς βελτίονος καὶ ἀμείνονος μοίρας, σὲ θρηνεῖ μὲν μήτηρ, πικρῶς τὰ σπλάγχνα σπαρασσομένη, καὶ, τἆλλα πάντ' εἰδυῖα καλῶς τοῦ προστάγματος καὶ τῆς ἐντολῆς εἶναι, ἐν τούτῳ δὴ μόνῳ τῆς φύσεως γίνεται, καὶ οὐκ ἀντέχει, καὶ βούλεται μὲν τῶν ὠδίνων ἐπιλαθέσθαι τῶν ἐπὶ σοὶ καὶ μάλα τι φιλοσοφῆσαι κἀν τούτῳ καὶ καρτερῆσαι, οὐ δύναται δὲ, ὅτι καὶ συμπαθὴς, κἀν τοῖς ἀλλοτρίοις καὶ τοῖς ἴσαις συμφοραῖς κεχρημένοις οἶδεν ἐπὶ πλέον καὶ συμπάσχειν καὶ συναλγεῖν· θρηνοῦσι δ' ἀδελφοὶ, μεθ' ὧν ἔχεις κἀμὲ, ὁπότερον βούλει ἀδελφὸν ἢ πατέρα καλεῖν· πάσας γὰρ ἐγώ σοι ταύτας περισώζω τὰς σχέσεις (2), σοῦ καὶ τῶν σῶν ὁρᾷς ὁπόσον ἑαλωκώς.

Ἀλλὰ τί ὅτι, οὐκ εἰς μακρὰν ἡμῶν ἀποκεχωρηκὼς, καί γε συνταξάμενος καὶ ὑπεσχημένος ὡς τάχιστ' ἐπανήξειν, οὔθ' ἧκες, οὔτε δίδως θαῤῥεῖν ὡς ὀφθήσῃ ποτέ; Εἷλε μὲν γὰρ αὐτὸν ἔρως ἐπὶ θέαν ἀφικέσθαι πατρίδος ἐξ ἧς αὐτῷ πρόγονοι καὶ πατέρες γεγόνασι,

(1) Cf. similia modo p. 290, 11. Pari oppositione Aristænetus II, 14 : καλοῦ παιδὸς καλὴ μήτηρ· ubi interpretes vid. Euripides Rhes. 385 : ἐσθλὸς ἐσθλοῦ παῖ. Conferendus Plato Phædr. : αὐτοί τε ἀγαθοὶ καὶ ἐξ ἀγαθῶν· ubi Heind. p. 248. Xenophon Ages. 1, 2 : ἐκ βασιλέων βασιλεῦσιν· ubi Zeun. Sophocles El. 582 : εὐσεβεῖς Κἀξ εὐσεβῶν βλαστόντας. Idem Phil. 384 : Πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως. Adde in Pauli verba ad Philipp. III, 5, Ἑβραῖος ἐξ Ἑβραίων, quæ notaverunt Bos. Exercit. p. 203; Rhoer. Fer. p. 214, cum Elsnero, Palaireto, Albertio. Addatur etiam Ovidius Epist. 16, 85 : « *pulcræ* filia Ledæ Ibit in » amplexus *pulcrior* ipsa tuos. »

(2) Conf. pag. 124, not. 2; pag. 289, 26.... p. 305, 12.

καὶ ἀφίκετο. Ἐπεὶ δ' ἀφίκετο, καὶ πεσὼν ἐκεῖ κεῖται, κόλπους αὐτῆς τῶν μητρῴων κόλπων ἀνταλλαξάμενος, θέαμα πάντων ἀωρότατον, ἄνθος ἐν ἔαρι μαρανθέν· ἢ φυτὸν ἐς κάλλος προβεβλημένον, καλλίστους δὲ παραδεῖξαν καὶ τοὺς καρπούς, εἶτα ξηρανθὲν ἐπ' αὐτῆς τῆς ἀναδρομῆς καὶ βλαστήσεως· ἢ ὕδωρ διειδὲς, καὶ ἡδὺ μὲν ἰδεῖν, ἡδὺ δὲ καὶ πιεῖν, πλεῖστον ὅσον ἐνσταλάζον γλυκασμὸν, πηγῆς προελθὸν τοιαῦτα δεδυνημένης καὶ προβάλλειν καὶ γεννᾷν· ῥεῦσαν δ' (ὢ τῆς ζημίας!) οὐκ ἐπὶ μακρὸν οὐδ' ἐπὶ πολὺν τὸν χρόνον, ἀλλ' ὥστε μόνον τοῖς βουλομένοις αἰσθέσθαι παρασχεῖν, καὶ δὴ παρασχὸν, κατὰ γῆς εὐθὺς ἔδυ, ἐξ αὐτοῦ κόρου γεγενημένου μηδενὶ μηδενός. Καὶ τοίνυν τίνας ἔστι μᾶλλον ἐζημιῶσθαι νομίζειν, καὶ διὰ τοῦτο καὶ πλέον αὐτοὺς δεῖν εἶναι θρηνεῖν, πότερον ὧν γευσαμένων ἡ αἴσθησις ὑπῆρξεν, ἢ οἷς μᾶλλον οὐδέτερον τούτων ἔστι συμβάν; οἱ μὲν γὰρ, ὧν ἡδέων ᾔσθοντο πάντων, τοῦ καλλίστου τούτων ἐστέρηνται· οἱ δ' οἵου οὔτ' ᾔσθοντο, οὐδ' οὐ μή ποτε γένοιτο τούτοις αἰσθέσθαι, τούτου δὴ καὶ ἐστέρηνται.

Ἀλλ' ὅποι φέρον ἡμᾶς εἰς οἰμωγὰς παρήνεγκε τὸ πάθος, ἀντὶ παρακαλούντων (1), δέον τοῦθ' ἡμᾶς μᾶλλον εἶναι (2), καὶ παρακαλεῖν καὶ παραμυθεῖσθαι, καὶ μὴ, τῆς πληγῆς φλεγμαινούσης, ἀναξαίνειν ἐθέλειν, μηδ' ὥσπερ πυρὶ πῦρ ἐπιφέρειν (3);

(1) Photius Epist. 234, p. 349: ἀλλὰ τί ἔπαθον; ποῖ φέρομαι; γράφειν ἀρξάμενος παραμύθιον, αὐτὸς, οὐκ οἶδ' ὅπως, τῷ πένθει συναρπασθεὶς... εἰς τοὐναντίον ὧν ἐσκόπουν παρεσύρην. Conf. t. I, p. 297, 26.

(2) Τοῦτο εἶναι, scilicet παρακαλοῦντας. Vid. Walz. Rhett. t. I, p. 102, n. 19.

(3) Proverbium de quo vid. quæ monui ad Nicet. p. 451 et ad Aristophanis Polyidum t. IV,

Καὶ γοῦν ἐμοὶ τὰ τῶν θρήνων ἐπλαυθοῖ πεπαύσθω. Τί δ' ὑμεῖς, οἱ Θεοῦ νόμους εἰδότες καὶ φύσεως εἰδότες νόμους, καὶ ψυχῆς καὶ σώματος μίξιν καὶ κοινωνίαν οὐ χρόνου μέτρῳ διορισθεῖσαν, τοῖς δὲ τοῦ δημιουργοῦ προσλάγμασι συνισταμένην καὶ αὖθις λυομένην, τί φάτε; καὶ τί περὶ τοῦ ἀπελθόντος ὑμῖν δοκεῖ; τάχα γὰρ, εἴ τι καὶ γενναῖον καὶ τοῦ πάθους καὶ τῆς συμφορᾶς κρεῖττον, ὑμεῖς ἂν καὶ ταῖς διανοίαις καὶ τοῖς λογισμοῖς φιλοσοφήσοιτε, καί γ' ἐπὶ τοῦ πράγματος ἐνδείξοισθε, νικῶντες, καὶ ἡμᾶς συμφιλοσοφεῖν ὑμῖν πείσοιτε καὶ μὴ μικροψύχους τινὰς ὑπὸ τοῦ πάθους καὶ ἀγεννεῖς ἀπελπλέγχθαι. Ἔστι τὸν Εὐσέβιον, σωφρόνως καὶ κοσμίως βιώσαντα ὃν δὴ καὶ βραχὺν βεβίωκε χρόνον, ἐπειδήπερ ἀπηλλάγη κακῶν τῶν κάτω, καὶ γῆς ἧς μετέσχηκεν ἐπαφῆκε ταύτην (1) αὖθις τῇ γῇ μετὰ τῆς ἐν αὐτῇ καλαχρί-

p. 287. Julianus Epist. 52 : τὸ λεγόμενον πῦρ ἐπὶ πῦρ ὀχετεύουσι· ubi Heyler. Libanius t. IV, p. 146 : πῦρ ἐπὶ πῦρ ἠθέλομεν, πῦτο δὴ τὸ σοφὸν ἐξευρηκώς. Suidas fuit a Bœckhio, ad Min. p. 145, ob id vituperatus quod πῦρ ἐπὶ πυρὶ exhibeat. Sed videntur recentiores nonnunquam usi dativo. Photius Lex. p. 476 cum Suida facit. Plutarchus De Sanit. § 4 : ἵνα δὲ μὴ πῦρ ἐπὶ πυρὶ, ὡς φασι, γένηται. Idem Conj. præc. § 40 : δεῖ μάλιστα τὴν νοῦν ἔχουσαν ἀποκλείειν τὰ ὦτα καὶ φυλάττεσθαι τὸν ψιθυρισμὸν, ἵνα μὴ πῦρ ἐπὶ πῦρ γένηται. Codices duo Stobæi tit. 74, 52, in loco hoc Plutarcheo ἐπὶ πυρὶ tenent. Chumnus noster Epistola inedita 154 : τί ὅτι πῦρ ἐπὶ πυρὶ φέρων τοῦ σοῦ πόθου πλέον ἀνάπτεις, καὶ τὴν φλόγα λαμπρὰν αἴρεις; Aliis modis loquutio variata fuit. Philo De legat. pag. 1009 E : τὸ λεγόμενον κατὰ τὴν παροιμίαν, πῦρ ἐπιφέρων πυρί. Libanius t. IV, pag. 683 : ψυχὴν ἕτοιμον εἰς ὀργὴν παροξύνειν καὶ πῦρ ἐπάγειν πυρί. Niceph. Gregoras Hist. II, 7, 5 : οἱονεὶ πῦρ πυρὶ καὶ ξύλοις ξύλα προσεπιφέροντες, εἰς ὀργὴν ἀνάπτειν ἠπείγοντο μείζονα ἐπὶ τὸν βασιλέα. Nicetas Eugen. VI, 48 : Πῦρ εἰ πυρὶ προσῆξας, εἰ φλογὶ φλόγα· forsan προσῆψας.

(1) Dixisse videtur γῆς ταύτην, ut alii dixerunt τῆς γῆς τὴν πολλὴν, τῆς χώρας τὴν πλείστην, τοῦ βίου τὸν πλεῖστον, de quo dicendi

σεως, ὃν ἀκηράτου τρυφῆς νῦν χώρις καὶ ἀγαλλιάσεως ἐσκηνῶσθαι, καί γ' ἐστὶ τῆς μακαρίας ταύτης ὄντα μονῆς καὶ λήξεως ἡμῶν ἄμεινον καὶ πολλῷ γε ἄμεινον πράττειν καὶ χρείττω εἶναι καὶ ὑψηλότερον; ἔστι ταῦτα περὶ ἐκείνου φρονεῖν ἡμᾶς καὶ θαρρεῖν; ἢ τι καὶ τῶν ἀνδῶν θράττει, καὶ δεδοίκαμεν περὶ ἐκείνῳ, μὴ δικαίως καὶ καλῶς δεδοικότες; Ἔστι πάντως τὰ βελτίω φρονεῖν, καὶ μέν τοι γε καὶ θαρρεῖν βεβαίως. Τί δ' ἐκείνῳ χάριν καὶ ἡδυλόμεθα καὶ ἐπευχόμεθα; χεῖρον αὐτὸν ἔχειν καὶ τοῖς χείροσιν εἶναι; ἢ βέλτιον καὶ τοῖς βελτίοσιν συνεῖναι; ἢ τοῦτο πάντως. Τί γοῦν; τῶν ἡμῖν περὶ ἐκείνου καὶ δεδογμένων, καὶ κατ' εὐχὴν καὶ βούλησιν, ὄντων ἤδη καὶ τετελεσμένων, οὐχὶ καὶ περσπουδῶς ἂν δεξαίμεθα καὶ ἀγαπήσαιμεν;

Καί τοι θαυμαστὸν μὲν οἶδ' ὅτι λόγον ἐρῶ· ἐρῶ δ' ὅμως, ἀληθῆ γε ὄντα. Οὐχὶ θρηνεῖν μᾶλλον ἡμᾶς, οὐδὲ κόπτεσθαι καὶ πενθεῖν εἰκὸς εἶναι νομίζω· τουναντίον δὲ πᾶν καὶ συνήδεσθαι μᾶλλον (1), καὶ τὰ νῦν καθ' ἑκεῖνον καὶ ἐν οἷς ἐκεῖνος παραμυθίας τῆς γε μεγίστης ἀφορμὴν ἡμᾶς ἔχειν κακῶν τῶν ἡμετέρων.

Ἀλλ' οὐ τοῦτο; ἀλλ' αἴσθησιν ψευδομένην μᾶλλον ποθήσομεν, καὶ δόξης ἀπατηλὰ εἴδωλα καὶ φαντασίας, ἰσάμενα μηδαμῇ, μηδὲ βέβαιον μηδὲν μηδ' ὁμαλὸν (2) μήτε καθαρὸν ἔχοντα, καὶ τούτοις μόνοις περσέξομεν, νοῦ δὲ καὶ ἀληθείας περιφρονήσομεν, νοῦς μᾶλλον ὄντες καὶ τὸ τὴν αἴσθησιν φεύγειν τοῦτ' εἰδότες

modo egi ad Eunap. pp. 151, 561; ad Acharn. v. 364.

(1) Cf. ex Eurip. Cresphonte, quæ apposui t. I, p. 19, n. 4.

(2) In mundi hujus οὐκ ἑστῶτος descriptione Gregorius Nazianz. pag. 287, verba habet similia τὸ ἀπατηλὸν καὶ ἀνώμαλον.

μέγιστον καὶ πρῶτον καλόν; οὐκ ὀφόμεθα τὸν Εὐσεβιον καὶ τὸ ἐκείνου τερπνὸν καὶ ἥδιστον κάλλος· καὶ διὰ τοῦτ' ἀχθόμεθα καὶ δυσαπασχετοῦμεν, καὶ πρὸς τὴν ἐνθύμησιν οὐ καρτεροῦμεν; ἀλλ' οὐδ' ἐν κακοῖς ὄντα τοῦτον ὀφόμεθα καὶ ταῖς σφεφαῖς τοῦδε τοῦ βίου καὶ πλάναις ἄνω καὶ κάτω φερόμενον, καὶ ταῖς μεταβολαῖς ἐμπαιζόμενον, νόσοις, ἂν οὕτως ἔτυχε συμβὰν, περισπαλαίοντα καὶ ταῖς ἐκ νόσων ταλαιπωρίαις συνισχημένον, καὶ ἀθυμίαις ὅπως δή ποτ' ἐπιοῦσαις βαλλόμενον, καὶ καιρὸν βίαιον δεδιότα, καὶ φθόνον ἐπίβουλον, καὶ συκοφάντην ἀναιδῆ, καὶ κριτὴν παραλογιζόμενον, καὶ δίκην οὐκ ὅποι καὶ δεῖ φέρουσαν, ἀλλ' ὅποι κακία βιάζεται μετὰ συμμάχων ἀδικίας καὶ ψεύδους.

Ἀλλὰ τῆς ἐκείνου προθεῖτε φωνῆς ἀκοῦσαι; ἀλλ' εἶχεν ἂν τοῦτο καλῶς, εἰ μὴ τὰ πλείω ταύτης, ἵνα μὴ λέγω τὰ πάντα, κατηφείας ἦν καὶ σκυθρωπότητος γέμοντα καὶ πικρὰ δήπουθεν ἦν ἀκοῦσαι· ἐπεὶ καὶ πονηρὸς ὁ ἐνταῦθα βίος καὶ πλείω τῶν καλῶν καὶ τῶν γε ἡδυνόντων τὰ κακίω καὶ δυσχερῆ φέρει, κἂν, ὅπερ ἔφημεν, αἴσθησις ἐπὶ μικρὸν ἀπατῶσα θέλγῃ, καὶ δόξα ψευδὴς καὶ φαντασία κλέπτῃ, καί τισιν ὡς ἀγαθοῖς ἐνισχώμεθα, κακοῖς γε ταῖς ἀληθείαις οὖσιν, εὐδαίμονές τινες ὁμοῦ καὶ κακοδαίμονες γνωριζόμενοι, καὶ μηδὲ τῇ Σολομῶντος ὀρθῶς προσέχοντας σοφίᾳ, « πάντα ματαιότης » τὰ παρόντα εἰρηκότος.

Τούτων δὴ πάντων Εὐσέβιος νῦν κρείττων καὶ πολλῷ γε κρείττων γεγενημένος, καὶ ἀκηράτως ἔχων καὶ ἀφθάρτως τῶν ἀεὶ ἑστώτων καὶ μή τι γε φθειρομένων ἀγαθῶν ἀπολαύειν, αὐτὸν μὲν ἡμᾶς ἥκιστα βούλεται

θρηνεῖν, ἡμᾶς δ' αὐτοὺς μᾶλλον μήπω γε τῶν ἐνταυθοῖ κακῶν ἀπηλλαγμένους.

Ταῦθ' οὕτως ἐκείνῳ, ταῦτά γε κἀμοὶ (1) δοκεῖ καὶ ὀρθῶς πάνυ τι δοκεῖ καὶ λογισμοῖς ἀπλαίσιοις· εἰ γοῦν καὶ σοὶ, ἐξ ἀθυμίας καὶ λύπης μεταθέμενος, δεῖξον.

(1) Codex, *καίμοῖ*. Lucianus Asin. 22 : *ἔρχεται ἀπαγγέλλων ὅτι ξένος ταύτην παρεῖναι μέλλοι καὶ πολὺν πλοῦτον κομίζοι*. Codex 1310, in quo locus ille valde est varietatibus immutatus, exhibet quod prætulerim, *μέλλει* et *κομίζει*. Rem ut certam narrabat ille homo.

ΤΟΥ ΑΥΤΟΥ

ΑΝΕΠΙΓΡΑΦΟΣ.*

Ἀπολογεῖσθαι μὲν ὑπὲρ ἐμαυτοῦ, καὶ τοὺς αἰτιωμένους, εἴ τινές εἰσι, καί γε βουλομένους ἐξετάζειν καὶ κρίνειν, πειρᾶσθαι πείθειν, περιττὸν οἶμαι, καὶ μηδ' εἰς ὠφέλειαν μηδεμίαν ὁρῶ μηδ' εἰς κέρδος ἁπάντων ὑδέν· ὁμολογεῖν δὲ μᾶλλον πεπλημμεληκέναι καὶ τῶν ἡμαρτημένων συγγνώμην ἐκζητεῖν, τοῦτο δεῖν εἶναι (1) νομίζω.

Καὶ γοῦν πεποίηκα, καὶ νῦν αὖθις ποιῶ. Καὶ ἵλεως εἴη μοι Κύριος, σωτὴρ ὁ φιλάνθρωπος, ἵλεως καὶ ἡ πανυπέραγνος μήτηρ αὐτοῦ· καὶ μεσῖτις αὐτῶν δὴ τούτων γένοιτο τῶν ἀπερισκέπτως ἐξ ἀγεννοῦς μικροψυχίας ἠγνοημένων ἐμοί· οὐ γὰρ θαῤῥῶ λέγειν ἐκ ζήλου καὶ κινήσεως σφόδρα θερμανθείσης καρδίας ὑπὲρ εὐαγγελικῶν νόμων, ὑπὲρ τῶν ἐμοὶ δοκούντων πάνυ τι δικαίων, ὑπὲρ τοῦ καλοῦ, πλὴν ἂν γνῶ ταῦθ' οὕτως ἔχειν, πανταχόθεν ἐξετάσας καὶ δοκιμάσας· ἐπεὶ καὶ τὸ οἰκείοις εὐθὺς ἐξακολουθεῖν τινὰ λογισμοῖς, καὶ πᾶσαν τὴν κρίσιν ἢ καὶ διάκρισιν ἐπὶ τοῖς τοιούτοις ἑαυτῷ ἐμπιστεύειν ἢ ἐπιτρέπειν, σφαλερὸν οἶδα καὶ εἰς κρημνὸς πολλάκις καὶ βάραθρα συνωθοῦν, καὶ, ἀντὶ τοῦ περσάγειν

* E codice 2105, p. 285, 2. — Qua fuerit id opusculum occasione scriptum non facile dixerim, ac multa insunt obscure significata quæ unde illustrentur non habeo. Quum ipse auctor illud sine lemmate reliquerit, voluisse videtur quæ exstiterit scribendi causam obscurare. Tangi puto Chumni filium natu tertium, hominem valde improbum, et moribus a vita monastica quam profitebatur alienissimis, de quo graviter in Testamento inferius edendo Chumnus questus est.

(1) Conf. p. 286, n. 2.

μᾶλλον καὶ οἰκειοῦν Θεῷ, πόῤῥω βάλλον αὐτοῦ. Ἀσφαλὲς δὲ μᾶλλον νομίζω ἐς αὐτὰς ὀρθῶς βλέπειν τὰς ἐντολὰς τοῦ Χεισθ, καὶ, σαφῶν μὲν καὶ φανερῶν κειμένων, μὴ περαιτέρω τούτων ἐθέλειν πολυπραγμονεῖν, τῶν λογισμῶν καὶ τῆς συνειδήσεως πειθόντων ὅτι τοῦτ' ἔστιν ὁ κελεύει Θεὸς, ἐγνωσμένον πᾶσι καὶ δῆλον ὂν καὶ μηδὲν κεκρυμμένον ἔχον μηδὲ δεόμενον ἐξηγητοῦ· ἐν οἷς δ' ἔστι καὶ ζήτησίς τις, καὶ δεινὰ μήποτ' ἔστι τι τῶν τῆς ἐντολῆς ἀγνοούμενον ἡμῖν, ἐν τούτοις εἰς διδασκάλους ἀναφέρειν, πρῶτον μὲν ἀποστόλους καὶ μαθητὰς αὐτοῦ τοῦ ἐντειλαμένου σωτῆρος Χεισθ, ἔπειτα καὶ πρὸς τοὺς ἐξ αὐτοῦ τοῦ Πνεύματος σοφισθέντας (1) καὶ φωτισθέντας πατέρας ἡμῶν, καὶ ταυτὰ ἐκείνοις λελαληκότας, καὶ γεγενημένους ἐξηγητὰς αὐτῶν τῶν τοῦ Χεισθοῦ ῥημάτων, αὐτῶν τῶν ἐνταλμάτων αὐτοῦ, μετὰ δὲ ταῦτα τῶν ἀποστολικῶν παραγγελμάτων ὁμοῦ καὶ διδαγμάτων· ὧν εἷς καὶ μέγας καὶ μέγιστος, ὁ πολὺς τὴν σοφίαν, πολὺς τὴν ἐκ Θεοῦ ἔλλαμψιν, πολὺς τὴν σαφήνειαν τῶν ἱερῶν καὶ θείων γραφῶν, Βασίλειος ὁ πάνυ, οὗ δὴ καὶ αὐτὸς περιέχομαι.

Καὶ νῦν τὴν τοῦ ζητουμένου λύσιν ἐξ αὐτοῦ καὶ διδαχθῆναι καὶ λαβεῖν ζητῶ. Καὶ τοίνυν ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ οὕτω διαῤῥήδην φησίν (2)· « Εἰ μέν τι

(1) Eustathius Opusc. p. 1, 5, Joannis Baptistæ meminit οὐ θυμοσόφου, ἀλλὰ θεόθεν σεσοφισμένου. Præcursor ibidem p. 1, 37, periphrastice vocatur τοῦς θεοδρομικοὺς, quod epithetum Eustathiana oratione indignum videtur; mutandumque in notius ac melius θεοδρομικός. Judicet Tafelius, Eustathii editor doctissimus.

(2) Basilii supersunt ascetici sermones, quibus quum caream, non tanti visum est Parisios excurrere, ut de tomo ac pagina certior fierem.

» ἔστι κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου λεγόμενον ἢ πρὸς
» τὴν ἐντολὴν κατευθυνόμενον, κἂν θανάτου ἀπειλὴν
» ἔχῃ, ὑπακούειν χρή· εἰ δέ τι παρ' ἐντολὴν ἐστὶν ἢ
» τὴν ἐντολὴν παραβλάπτει, κἂν Ἄγγελος ἐξ οὐρανοῦ
» ἢ τις τῶν ἀποστόλων ἐπιλάσῃ, κἂν ζωῆς ἐπαγγε-
» λίαν ἔχῃ κἂν θανάτου ἀπειλήν, οὐδαμῶς ἀνέχεσθαι
» χρή, τοῦ ἀποστόλου εἰπόντος (1)· Κἂν ἡμεῖς αὐτοὶ
» ἢ Ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ
» εὐηγελισάμεθα, ἀνάθεμα ἔστω. » Ταῦτα μὲν ὅτος
πρὸς τοὺς ἀσκητάς, παραινῶν αὐτοῖς μὴ προσέχειν
μηδαμῶς τὸν νοῦν μηδ' ὑπακούειν τοῖς πειρωμένοις
μὲν διδάσκειν, παραβλάπτουσι δὲ τὰς εὐαγγελικὰς
ἐντολάς, κἂν ζωῆς ἐπαγγελίαν ἔχειν διϊσχυρίζωνται
κἂν φόβον θανάτου· ζωὴν δ' ἐνταῦθα τὸν θάνατον δῆλον
ὅτι τῆς ψυχῆς αὐτῆς φησί. Καὶ τοίνυν ἐν τοῖς εὐαγ-
γελίοις ἐντολαὶ Χριστοῦ καὶ πρῶται ταῦτ' ἐστίν·
« Ἐν τούτῳ γνώσονται πάντες » φησίν (2), « ὅτι ἐμοὶ
» μαθηταὶ ἐστέ, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις »·
καὶ αὖθις (3)· « τοῦτο ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε
» ἀλλήλους. » Καὶ πρὸς τὸ πάθος ἠπειγμένος (4), καὶ
τὸν σταυρὸν, ἵν' ἐν αὐτῷ τὸν διάβολον ἀποκτείνῃ καὶ
τὴν ἔχθραν καταργήσῃ καὶ καταλλάξῃ ἡμᾶς τῷ ἰδίῳ
πατρὶ, « Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν », φησίν (5),
« εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν· καὶ (6) εἰρηνεύετε ἐν
» ἑαυτοῖς καὶ πᾶσι. » Καὶ πανταχοῦ τὴν ἀγάπην ὡς

(1) Epist. ad Gal. 1, 8.
(2) Joann. XIII, 35.
(3) Ibid. XV, 17 : conf. idem XIII, 34.
(4) Conf. p. 189, 24.
(5) Joann. XIV, 27.
(6) Marc. IX, 50. Et sic, post Christum, Paulus 1 ad. Thess. V, 13 : εἰρηνεύετε ἐν ἑαυτοῖς. Volui sic distinguere... ἐν ἑαυτοῖς. » Καὶ πᾶσι καὶ πανταχοῦ... Sed retraxit me similis locus p. 303, 5.

τὴν εἰρήνην περτίθησι, καὶ διὰ τούτων ἐπαγγέλλεται τὴν σωτηρίαν, ἐπεὶ καὶ τὸ πᾶν μυστήριον, τὸ αὐτὸ καὶ κοσμοσωτήριον ὄν, ἀγαπήσας ἡμᾶς Θεὸς ἐνήργησεν, ἐπὶ σταυροῦ τὰς χεῖρας ἐκτείνας, ἵν' ἡμᾶς ἐναγκαλίσηται ἐχθροὺς μὲν ὄντας αὐτῷ, ὑπηκόους δὲ τῇ ἁμαρτίᾳ, καί γ' ἐπὶ τούτου τὸ οἰκεῖον ἐκχέας ὑπὲρ ἡμῶν αἷμα.

Ταύταις συνάπτει ταῖς ἐντολαῖς καὶ τὸ « τίμα » τὸν πατέρα σου, τίμα καὶ τὴν μητέρα », καὶ τὸ « υἱὸς πατρὶ δίκαια λέγων (1) θανάτῳ τελευτάτω »· περὶ ἐκείνου δὲ οὐ μνημονεύει, ὁμολογημένου πάντως ὄντος· τοῦ ποίου λέγω; τοῦ καὶ ἀγαπᾷν δηλονότι τοὺς τεκόντας, ἐπεὶ πρῶτον ἔνεθηκε τοῦτο τῇ φύσει καὶ οὐκ ἔστιν ἐγχωροῦν πατέρα μὴ στέργειν, μηδ' ἀγαπᾷν μητέρα. Περὶ ἀδελφοὺς δὲ μᾶλλον ὁ ἠγαπημένος αὐτῷ (2), ὁ καὶ τῆς βροντῆς υἱὸς (3), καὶ τὴν μεγάλην καὶ πρώτην θεολογίαν ἐξ αὐτοῦ Χριστοῦ μυηθεὶς (4), καὶ ἐξηχήσας ταύτην ἐς πᾶσαν τὴν οἰκουμένην ὥσπερ τις κήρυξ μεγαλοφωνότατος, οὕτως βοᾷ (5)· « Ὅστις λέγει ὅτι τὸν Θεὸν ἀγαπᾷ, τὸν δὲ ἀδελφὸν » αὐτοῦ μισεῖ, ψεύστης ἐστί. »

Καὶ τοιαῦτα τὰ τοῦ σωτῆρος Χριστοῦ ἐντάλματα περὶ ἀγάπης καὶ εἰρήνης, οὐ πρὸς τοὺς γνησίους μόνον, ἀλλά τι καὶ πρὸς πάντας· τοιαῦτα καὶ περὶ τῆς ἐς

(1) Conf. Matth. xv, 4.

(2) Joannes scilicet Evangelista; respectu ad verba Joannis ipsius xix, 26 : Ἰησοῦς οὖν ἰδὼν... τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα. Conf. et ibid. xiii, 23; xx, 2; xxi, 20.

(3) Conf. pag. 166, n. 1, et t. iv, p. 382, n. 2, de eo Joannis cognomine.

(4) Hinc Theologus cognominatus est Joannes evangelista: cf. t. iv, p. 382, n. 2.

(5) Joann. i Epist. iv, 20.

τὰς τεχνίλας τιμῆς· κἂν εἴ τις, υἱὸς ὤν, εἶτα δίκαια τολμᾷ λέγειν, θάνατον αὐτῷ ἀπειλεῖ. Τοιοῦτος καὶ ὁ τῶν αὐτῶν τούτων ὀνίαλμάτων ἐξηγητὴς, ὁ πολὺς καὶ μέγας καὶ θεῖος Βασίλειος, μὴ ἐκχωρῶν (1) τὰς ἐντολὰς ταύτας παραβλάπτεσθαι μηδ' ὑπ' οὐδενὸς, κἂν Ἄγγελος ἐξ οὐρανοῦ ἤ τις τῶν ἀποστόλων ἐπιτάσσῃ, κἂν ζωῆς ἐπαγγελίαν ἔχῃ, κἂν θανάτου ἀπειλήν.

Ποῦ γοῦν ἡ τήρησις αὕτη; ποῦ τὸ πολὺ καὶ μέγα τοῦτο δέος; ποῦ τὸ τῆς ἀγάπης καὶ τὸ τῆς εἰρήνης καλόν; πῶς μάλιστα μὲν ἐπὶ πάντας διαβήσεται, οὕτω τοῦ Χριστοῦ προστάττοντος καὶ βουλομένου, εἰ δὲ μή, κἂν πρὸς τὸν πλησίον, εἴ γε μὴ περὶ πατέρα περισώζεται, μηδὲ περὶ μητέρα; οὕτως εὐκαταφρόνητον ἐφ' ἡμῖν μόνοις ἔδοξε τὸ τοῦ προστάγματος, τὸ τῆς ἐντολῆς, τὸ τοῦ καθηγητοῦ τῆς ἀσκήσεως καὶ τῶν εὐαγγελίων ἐξηγητοῦ; ὥγε καὶ δεῖ ὁμοῦ μὲν χριστιανοὺς πάντας, ὁμοῦ δὲ καὶ πάντας ἀσκητὰς πειθαρχεῖν, καὶ τοῖς τούτου διδάγμασι καὶ παραγγέλμασιν αἰεὶ προσανέχειν, καὶ περαιτέρω μὴ τολμᾷν χωρεῖν, μηδ' ὑψηλότερον τούτων, ἵνα μὴ λέγω ὑπερήφανον, ἐθέλειν φρονεῖν.

Ἀλλ' ἐρεῖ τις ἴσως ἡμῖν ἐκεῖνο τοῦ εὐαγγελίου· τὸ ποῖον δὴ λέγω; τὸ « ὁ φιλῶν (2) πατέρα ἢ μητέρα » ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος » · καὶ πειράσεται τὸν τρόπον τοῦτον τὴν πρὸς τοὺς πατέρας καὶ μητέρας ἀφελέσθαι τιμὴν, ἅμα δ' ἀφελέσθαι καὶ τὴν ἀγάπην καὶ τὴν εἰρήνην, καὶ πᾶν τὸ ἐπιβάλλον αὐτοῖς καὶ κατὰ τὰς τοῦ Χριστοῦ ἐντολὰς, καὶ κατὰ τὰς

(1) Cf. p. 259, n. 2; p. 279, 3. (2) Matth. x, 37.

φυσικὰς ἀνάγκας, ἐξ αὐτοῦ τοῦ δημιουργοῦ καὶ ταύτας συγκαταβληθείσας τῇ φύσει;

Ἐγὼ δὲ πρὸς τοῦτο πρῶτον μὲν αὐτό γε τὸ τοῦ ἀποστόλου καὶ ἠγαπημένου τίθημι, ὃ δὴ καὶ ἔφην (1), ψεύδεσθαι δηλονότι τὸν λέγοντα τὸν Θεὸν ἀγαπᾷν, μισοῦντα δὲ τὸν ἀδελφόν· μίσους δ' ἀπόδειξις τὸ παροξύνειν πάντως, τὸ λυπεῖν, τὸ μηδὲν νομίζειν εἰ πλήττοι γε ἂν οἷς αὐτὸς πράττει πρὸς ἔκθλιψιν, πρὸς ὀδύνην τοῦ ἀδελφοῦ. Εἰ γοῦν περὶ τοῦ ἀδελφοῦ τοσοῦτος ὁ λόγος, καὶ οὐδὲ προσίεται Θεὸς χωρὶς τούτου τὴν εἰς αὐτὸν ἀγάπην, καὶ πᾶς ὁ λυπῶν, καὶ τὴν θείαν καὶ τοῦτο γραφήν, ἔστι κακόδοξος, κἂν θυμίαμα προσφέρῃ, βδέλυγμα ἐστίν (ἐξ ἑτέρας καὶ τοῦτο λαμβάνω γραφῆς), οὐδὲ δέχεται μόσχους ἐξ οἴκων εἰς θυσίαν, οὐδὲ χιμάρους ἐκ τοιμνίων (2), κἂν προσφέρῃ τις δῶρον, ἀποστρέφεται καὶ ἀπωθεῖται, καὶ «Ὕπαγε», φησί (3), «πρῶτον καλλ-» λάγηθι μετὰ τοῦ ἔχοντος κατὰ σοῦ»· πῶς ἀνέξεται, ἢ πῶς ἀγαπήσει τοὺς παροξύνοντας, καί γε περιφρονητὰς ὄντας πατέρων καὶ μητέρων τῶν ἰδίων;

Ἡ ποῦ ταῦτα γνήσια τῆς τοῦ Χριστοῦ νομοθεσίας, «ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ», εἴ τις ἔστι ταῦτα τὸν τρόπον τοῦτον ἐκλαμβάνων, ἅμα δ' ἐξηγούμενος κἀκεῖνα, τὸ «οὐκ ἦλθον (4) βαλεῖν εἰρήνην, » ἀλλὰ μάχαιραν», καὶ τὰ ἑξῆς; ὁ γὰρ ταῦτα λέγων μισανθρωπίαν ἄντικρυς ἐγκαλεῖ τῷ μόνῳ φιλ-

(1) Conf. p. 300, n. 5.
(2) Psalm. XLIX, vers. 9 : οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους.
(3) Conf. Matth. V, 24.
(4) Matth. X, 34.

ανθρώπῳ, τῷ μόνῳ σωτῆρι, καὶ καθ' ἡμῶν ἔχθραν ὁμοίως ἐγκαλεῖ τῷ ὑπὲρ ἡμῶν ἐπὶ τοῦ σταυροῦ ταθέντι καὶ παθόντι καὶ θανόντι. Καὶ δή γε τὰς ἐντολὰς αὐτοῦ ἰσχυρίζεται πρὸς ἀλλήλας εἶναι μαχομένας, καὶ ἅμα μὲν ἡμᾶς ἐγκελεύεσθαι τοῦτον ἐν ἑαυτοῖς καὶ πᾶσιν εἰρηνεύειν, ἅμα δὲ ῥομφαίαν καὶ μάχαιραν θήγειν, οὐ κατά τινος τῶν ἀλλοτρίων, οὐδὲ τῶν ἐχθρῶν τοῦ σταυροῦ οὐδ' αὐτοῦ Θεοῦ, ἀλλὰ κατὰ πατέρων καὶ μητέρων καὶ ἀδελφῶν.

Ἀλλὰ μὴ τοῦτο, σύ γε πᾶς ὁ βουλόμενος φιλόχριστος εἶναι καὶ φιλόθεος, καὶ ἄβυσσον εἰδὼς καὶ μέγα πέλαγος καὶ ὑπερβολῶν ὑπερβολὰς οἰκτιρμῶν καὶ χρηστότητος καὶ φιλανθρωπίας Θεοῦ καὶ ἀγαπήσεως, ἧς ἡμᾶς ἠγάπησε τοὺς ὁμολογοῦντας καὶ πιστεύοντας εἰς αὐτόν· μὴ, ταῦτα κακῶς παραδεχόμενος τῶν ἐντολῶν αὐτοῦ ἐξηγήσεις, ἀπὸ παντὸς ἔξω πίπτε τοῦ θελήματος αὐτοῦ καὶ τοῦ γε βουλήματος τῶν σωτηρίων εὐαγγελικῶν ἐνταλμάτων.

Περὶ τῆς ἐς αὐτὸν γὰρ πίστεως, περὶ τῆς ἐς αὐτὸν ὁμολογίας, ταῦτα τὰ ῥήματα, τὸ πάντων αὐτὸν περιτιμᾶν, καὶ πατέρων καὶ μητέρων, καὶ τέκνων, καὶ τοῦ γε κόσμου παντὸς, ὅτι μηδ' ἀντάξιος ὅλος οὗτος τῆς ἑκάστου ψυχῆς (1)· καὶ τοίνυν πρὸς τὰς ἀρχὰς ἡμᾶς, πρὸς τὰς ἐξουσίας ἀποδύεσθαι προτρέπεται, πρὸς τοὺς κοσμοκράτορας (2), καὶ μὴ φοβεῖσθαι (3) ἀπὸ τῶν ἀποκτενόντων τὰ σώματα, τὰς δὲ ψυχὰς μὴ δυναμένων ἀποκτεῖναι. Οὕτω γὰρ Θέκλα

(1) Conf. Matth. xvi, 26; Marc. viii, 36.

(2) Conf. p. 204, n. 1. Ibi sunt apposita quæ respiciuntur Pauli verba.

(3) Matth. x, 28.

ἡ πρωτόμαρτυς (1), οὕτω Βαρβάρα (2), οὕτω μυρίοι καὶ μυρία, πληθὺς ἄπειρος ἀνδρῶν καὶ γυναικῶν, γνόντες ὑπὲρ Χριστοῦ ἠγωνίσαντο, πάντων ὑπερφρονήσαντες καὶ καταφρονήσαντες, καὶ ὑπὲρ πάντας ἠγαπηκότες Χριστόν. Τοὺς δέ γε γεγεννημένους ἢ ἀναγεγεννημένους ἐξ αὐτοῦ Χριστοῦ, καὶ τοῦτον ἐνδεδυμένους ἐκ τοῦ θείου βαπτίσματος (3), καὶ ἀδελφοὺς ὄντας, καὶ ὠνομασμένους ἐξ αὐτοῦ, οὐ τοῦτο βούλεται, ὥστ' ἀπ' ἀλλήλων τέμνεσθαι ὅτε διασπᾶσθαι, μηδὲ δεῖν ἡμᾶς Θεοῦ δούλους ὄντας πρὸς ἀλλήλους μηδαμῶς μάχεσθαι, εἰρήνης δ' ἕνεκεν συναποβάλλεσθαι καὶ τὸν χιτῶνα τοῖς πειρωμένοις λαβεῖν τὸ ἱμάτιον, καὶ παρειὰν τὴν ἀριστερὰν ἐμπαρέχειν τῷ καὶ τὴν δεξιὰν τύπτοντι (4), καὶ δῆτ' ἀνέχεσθαι ὁμοῦ μὲν ἐπὶ πράξεσι ταῖς δεξιαῖς, ὁμοῦ δ' ἐπὶ ταῖς ἀριστεραῖς πλήττεσθαι· καὶ ἓν μᾶλλον πάντας εἶναι, καθὼς καὶ αὐτὸς καὶ ὁ Πατὴρ ἓν εἰσὶν, ἐξ αὐτοῦ αἰτεῖται καὶ ζητεῖ τοῦ Θεοῦ καὶ Πατρὸς, οὐκ αὐτῶν μόνον ἕνεκεν τῶν ἑαυτοῦ τότε μαθητῶν, ἀλλὰ καὶ πάντων τῶν ἐφεξῆς πεπιστευκότων καὶ πιστευόντων ἐς αὐτόν (5).

Μακρὰν γοῦν ἡμῶν τῶν εὐσεβούντων ἡ παρὰ Θεοῦ βληθεῖσα καὶ τέμνουσα μάχαιρα· μακρὰν καὶ τὸ τοὺς

(1) Theclæ, S. ipsius Pauli discipulæ, Acta sunt notissima. Vide Basilii Seleuc. opera; Biblioth. Gr. t. x, p. 203.

(2) De Barbara virgine et martyre consule Morcellium ad Menolog. t. I, p. 259; Biblioth. Gr. t. x, p. 331.

(3) Epist. ad Gal. III, 27 : ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Cf. Joann. III, 5.

(4) Matth. v, 39, 40; Luc. VI, 29.

(5) Joann. XVII, 20, 21 : οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ, ἵνα πάντες ἓν ὦσι· καθὼς σὺ, πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοὶ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν.

πατέρας καὶ μητέρας ἀποσείεσθαι καὶ περιφρονητικῶς αὐτῶν ἔχειν, καὶ μηδὲν δεινὸν οἴεσθαι μηδὲ μετέχον ἁμαρτίας μηδὲ πλημμελήματος μηδενὸς, εἰ ἐμπιχραίνομεν τούτους, εἰ σκληλίζομεν, εἰ ἀνιῶμεν, εἰ σκανδαλίζομεν, εἰ ταῖς αὐτῶν καρδίαις πλῆθος ὀδυνῶν ἐπισωρεύομεν· πῶς γάρ; ὅπου γε καὶ τοῖς ἕνα τῶν μικρῶν σκανδαλίσασι Χριστὸς κολάσεις τὰς φρικωδεστάτας ἐπανατείνεται, καὶ συμφέρειν αὐτοῖς φησὶν (1), εἰ, μύλον ἐπὶ τῷ τραχήλῳ ὀνικὸν περιθέμενοι, καὶ εἰς βυθοῦ θαλάσσης ἑαυτοὺς ἐπιρρίψουσι.

Τί δὲ καὶ κωλύει Θεὸν ἡμᾶς ὑπὲρ πατέρας καὶ μητέρας καὶ τέκνα καὶ πᾶσαν ἄλλην σχέσιν ἀγαπᾶν, εἰρηνεύειν δὲ καὶ μετ' ἀλλήλων καὶ ἀγαπᾶν ἀλλήλους κατὰ τὰς ἐντολὰς αὐτοῦ; Ἐγὼ μᾶλλον οὕτω δὴ καὶ νομίζω τὴν ἐς αὐτὸν ἀγάπην ἀκραιφνῆ καὶ κατὰ τὴν αὐτοῦ βούλησιν πληρῶν, εἰ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· ἐπεὶ καὶ Χριστὸς αὐτὸς φησίν (2)· « Ὁ ἀγα-» πῶν με καὶ τοὺς λόγους μου τηρεῖ. »

Ὅρα δέ μοι κἀκεῖνο. Πρόσεισί τις ἐν τοῖς εὐαγγελίοις νεανίσκος τῷ Ἰησοῦ, ὁ αὐτὸς καὶ πλούσιος (3), ἐθέλων μαθεῖν καὶ γνῶναι ζητῶν τί δὴ πράξας αἰωνίου τύχοι ζωῆς· ἀκούει δ' ἄλλο μὲν οὐδέν, ἃ δὲ καὶ αὐτὸς οἶδεν ἐν ταῖς ἐντολαῖς, ἐν αἷς ἐστι καὶ τὸ « τίμα τὸν » πατέρα σου, τίμα καὶ τὴν μητέρα », ὡς ἀποχρώντως ταῦτά γ' ἔχοντα τὴν μὴ φθειρομένην ταύτην, αἰεὶ δὲ μένουσαν, ἐμπαρέχειν ζωήν. Ἀλλ' « Ἐφυλαξά-

(1) Matth. XVIII, 6. Cf. Marc. IX, 42 ; Luc. XVII, 2.

(2) Joann. XIV, 21 : ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με. Rursus 23 : ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει· et 24 : ὁ μὴ ἀγαπῶν με τοὺς λόγους μου οὐ τηρεῖ.

(3) Matth. XIX, 16-22; Marc. X, 17-22 ; Luc. XVIII, 18-23.

» μην » ἐκεῖνος φησί, « ταῦτα πάντα ἐκ νεότητός » μου ». Καὶ ὁ Σωτὴρ αὖθις περιαθηρεμένον τοῦτον ἐν ταύταις ταῖς ἐντολαῖς ἐπὶ τὸ πλέον καὶ μεῖζον καὶ τελεώτερον περάγει καὶ μεταπαλεῖται, περσλεθέντος δὴ καὶ τοῦ λείποντος· τίνος δὴ τούτου; πωλῆσαι τὰ ὑπάρχοντα καὶ δοῦναι πτωχοῖς, καὶ αὐτῷ Χριστῷ ἀκολουθεῖν εἰς μαθητὴν τεταγμένον. Ἐχρῆν γὰρ, ἐχρῆν πρώτως αὐτὸν ἂς ἔφημεν ἐντολὰς τηρῆσαι καὶ φυλάξαι, ἐν αἷς ἦν καὶ τὸ κληρονομῆσαι τοῦτον αἰωνίζουσαν ζωήν, εἶτ' ἐπὶ τὸ τέλειον καὶ πλέον ἔχον περαχθῆναι. Εἰ γὰρ μὴ πρότερον ἑαυτὸν ἐπ' αὐτῶν δὴ τούτων τῶν ἐντολῶν ἐγκατέστησε καὶ παρέσχεν ἀσφαλῶς ἐνιδρυμένον, μηδ' ἔπραξε καὶ περιέσωσε τὰ ἐν αὐταῖς κεχαρισμένα ὄντα Θεῷ, οὔτ' ἀποθέσθαι τὰ ὑπάρχοντα τρόπον ὃν ἔφημεν, οὐδ' ἀκολουθεῖν ἂν αὐτῷ Χριστῷ ἤκουσεν· ὑποθέσθαι γὰρ αὐτὸν πρότερον ἔδει ταῦτα, θεμέλιον οἱονεὶ, εἶτ' ἐπὶ τούτῳ τὰ τοῦ εὐαγγελίου ἀκατάσειστα οἰκοδομηθῆναι.

Καὶ τὰ μὲν κατὰ τὸν πλούσιον ἐκεῖνον οὕτως ἔσχε. Τί δ' ὁ Πέτρος καὶ οἱ λοιποὶ μαθηταί; πάντ' εὐθὺς ἀφέντες, ἀκολουθοῦσι περσφραμόντες Χριστῷ, μήτε τῶν ἑαυτῶν ἀπεμπολήσαντες μηδ' ἀποδόμενοι μηδὲν, ἐπεὶ μηδὲ περσετάχθησαν τοῦτο. Εἴποι τις ἂν ἴσως ὅτι μηδὲ πολλὰ καὶ πλεῖστα περιῆν αὐτοῖς καὶ κατ' ἴσον ἐκείνῳ τῷ πλουτοῦντι. Ἀλλ' οὔτι γε τοῦτο. Καὶ γὰρ, εἰ τὸ τῶν δύο ὀβολῶν ὧν ἡ χήρα ἔβαλε πλέον ἀπεφήνατο Χριστὸς εἶναι τῶν πολλὰ βαλόντων (1), πάντως κἀνταῦθα καὶ τὰ τοῦ Πέτρου καὶ τῶν λοιπῶν μαθητῶν πλείω ἂν ἔδοξαν τῶν τοῦ πλουσίου παρ'

(1) Marc. XII, 42, 43.

αὐτῷ Χρισῷ, πεσθέντα καὶ τοῖς πλωχοῖς δοθέντα. Ἀλλὰ τίνος ἕνεκεν καὶ Πέτρος καὶ οἱ λοιποὶ τῶν μαθητῶν ἀφιέντες εἰσὶ (1), πρὸς τὸν πλούσιον δ' οὐκ ἀφεῖναι τὸ πρόσταγμα, ἀλλὰ πωλῆσαι; Φιλοχρήματός τις ἄνθρωπος ἐκεῖνος ἦν, καὶ τῷ πάθει τούτῳ δεινῶς ἦν ἑαλωκώς· ὅτι δὲ τοῦτο, δῆλον· καὶ γὰρ πολλὰ χρήματα εἶχεν (2)· εἰ δὲ μὲ ἐδίδου, εἰ δαπάναις, εἰ ἀναλώμασιν ἦν κεχρημένος, οὐκ ἂν ἦν αὐτῷ περιτὰ τοσαῦτα. Ὁ τοίνυν ἐπὶ τὰς καρδίας ἐμβατεύων (3), οἶδεν ὅποι καὶ οὗτος τὴν καρδίαν, ὅτι ἔνθα καὶ τοὺς θησαυρούς, ἐκεῖ γ' ἔχει (4). Ὁ δὴ τοιοῦτος πῶς ἔμελλεν ἐξ ὅλης ψυχῆς, ἐξ ὅλης καρδίας, καὶ καλὰ τὴν τοῦ νόμου (5) πρώτην ἐντολήν, Θεὸν ἀγαπῆσαι (6); πῶς καὶ μετὰ τῶν πλωχῶν καὶ πενήτων μαθητῶν αὐτῷ Χρισῷ ἀκολουθῆσαι; Διά τοι τοῦτο (7) οὐκ ἀφεῖναι, ἀλλὰ πωλῆσαι τὰ ὑπάρχοντα ἀκούει, ὡς ἂν, τοῦ πλούτου καὶ πάντων τῶν χρημάτων ἑαυτὸν ἀπορρήν-

(1) Matth. IV, 20, de Petro et Andrea : *οἱ δὲ, εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ*· et 22, de Jacobo et Joanne : *οἱ δὲ, εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ*. In eadem narratione *ἀφέντες* habent Marcus I, 18, 20, Lucas V, 11.

(2) Matth. XIX, 22; Marc. X, 22 : *ἦν γὰρ ἔχων κτήματα πολλά*. Conf. t. IV, p. 128.

(3) Vid. Raphel. in Epist. ad Coloss. II, 18, p. 533.

(4) Matth. VI, 21 : *ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν*.

(5) Deuter. VI, 5.

(6) Marc. XII, 30 : *ἀγαπήσεις Κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς διανοίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου· αὕτη πρώτη ἐντολή*, Conf. Matth. XXII, 37.

(7) Codex, *διά π τοῦτο*. Visum est aptius *διὰ τι* scribere, quam *διὰ π*. Mox iterum *διά τι* occurret. Et mutationi pronunciatio favet. Sophocles Antig. 875 : *Ἀλ' ἴσ', ἀοιδὰς καὶ γόους πρὸ τῆ θανεῖν Ὡς οὐδ' ἂν εἷς παύσειτ' ἄν, εἰ χρείη, λέγων*; Chorum alloquitur Creon : *ἆρ' ἴσθ'*. Memorabo tamen in codice 2886 adscriptam lectionem *ἆρ' οἶσθ'*, qua Antigonu

ξας, ἐξ ὅλης καρδίας μαθητεύσῃ τῷ τέλειον αὐτὸν εἶναι ζητοῦντι δεσπότῃ.

Οὐ μὴν ἀλλὰ καὶ δυσκόλως τοὺς πλουσίους εἰσελεύσεσθαι εἰς τὴν τῶν οὐρανῶν βασιλείαν ὁ Χριστὸς λέγων (1), περὶ τῶν οὕτως πλουτούντων φησὶ καὶ τοῖς χρήμασι σφόδρα ἐπιφυομένων καὶ προσδεδεμένων, καὶ ἀῤῥήκτως αὐτῶν ἐχόντων, καὶ μητ' ἀποσείσασθαι ταῦτα, μητ' ἀποθέσθαι βουλομένων. Οὐ γὰρ χωρεῖ τούτους τοσαῦτα φέροντας ἡ πρὸς τὴν ζωὴν ἀπάγουσα ὁδὸς, στενὴ οὖσα καὶ τεθλιμμένη (2), οὐ μᾶλλόν γε ἢ κάμηλον χωρεῖ τὸ τῆς ῥαφίδος κενὸν, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν (3). Οὐδὲ δύνανται τὸν σταυρὸν ἐπὶ τῶν ὤμων ἆραι· προκατέλαβε καὶ γὰρ αὐτοὺς ὁ τῶν χρημάτων βαρὺς φόρτος. Καὶ οὐκ ἐθέλουσιν οὐδαμῶς οὔμενουν ἑαυτοὺς ἀπαρνήσασθαι, ὅλους ἑαλωκότας τῷ τῆς φιλαργυρίας πάθει καὶ συνισχημένους αὐτῇ. Καὶ τοίνυν ἐπὶ τέλους, εἰς πῦρ ὠσθέντες, ἀπο-

compellabitur, nec eam ineptam, sed auctoritate idonea carentem. Addam ad hunc locum scholium codicis 2712 : ὡς εἰ χρὴ πρὸ θανάτου θρηνεῖν, οὐδεὶς ἂν οὐδέποτε παύσαιτο τούτου. Cujus codicis qui glossas aliquot edidit vir d., in describendis non satis fuit diligens. Ad versum enim 1165 hanc adposuit : « ἤτοι ὅταν αἱ ἡδοναὶ » παρέλθωσιν· οὐδενὸς ἄξια..... » (nulla lacuna in codice) τὸν ἄν- » θρωπον, κἂν τἆλλα εὐδαίμων ᾖ· » quum codex ipse omnino habeat: ἤτοι ὅταν αἱ ἡδοναὶ παρέλθωσιν, οὐδενὸς ἄξιον ἐγὼ τίθημι τὸν ἄνθρωπον, κἂν τἆλλα εὐδαιμονῶν ᾖ. Ad versum 1337, Μὴ νῦν προσεύχου (sic codex ille, non κατεύχου) μηδὲν, glossa ibidem est adpicta, editæ similis : τουτέστι τὸ θανεῖν· οὐδεὶς γὰρ αὐτὸ ἐκφευξεῖται. Tum sequitur, relicto intervallo : ὃς οὔτε σὲ, ὦ παῖ, οὔτε σὲ αὐτὴν τὴν Εὐρυδίκην ἑκὼν ἔκτανον· quæ sunt referenda ad v. 1340. Utramque glossam vir d. miscuit, mutilavit, corrupit.

(1) Matth. XIX, 23 : ἀμὴν λέγω ὑμῖν, ὅτι δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Conf. Marc. X, 23 ; Luc. XVIII, 24.

(2) Conf. t. IV, p. 1, n. 2.

(3) Matth. XIX, 24; Marc. X, 25. Conf. t. IV, p. 128.

τηγανίζονται (1) διὰ τὸ πάθος φλογὶ ἀσβέστῳ (2). Διά τοι τοῦτο καὶ ὁ πολὺς οὗτος τὸν πλοῦτον νεανίσκος ἀπεμπολήσας τὰ ὑπάρχοντα καὶ δοῦναι πτωχοῖς ὑπὸ τοῦ Σωτῆρος ἀκούει· Πέτρος δὲ καὶ πᾶς τις ἄλλος τῶν μαθητῶν οὐ τοῦτο· ἀλλὰ τί; « Δεῦτε (3), καὶ » ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· καὶ ἀναστὰς ἀκο- » λούθει μοι. » Καὶ τὸν ἴσον αὐτοὺς μεταλαλεῖται τρόπον· διὰ τί; ἐπεὶ καὶ τούτων ἕκαστος, τῶ κόσμῳ παντὸς κύριος ὤν, ἠλλάξατο ἂν τούτου τὸν δημιουργὸν, μεχρὶς ἡμῶν κενώσαντα ἑαυτὸν (4), καὶ τοσοῦτον πτωχεύσαντα ὥστε μηδ' ἔχειν πού τὴν κεφαλὴν κλίνοι (5).

Καὶ τοίνυν οὐκ ἀπεμπολοῦσιν οὗτοι, οὐδὲ τυρβάζονται περὶ πολλά· ἀλλὰ, τὴν ἀγαθὴν εὐθὺς ἐκλεξάμενοι μερίδα (6), ὅλοι γίνονται τοῦ καλοῦντος, καὶ, πάντ' ἀφέντες, ἀκολουθοῦσι τῷ Σωτῆρι, τοῦτον δὴ τὸν τρόπον ὑποδεικνύντες καὶ διδάσκοντες καὶ πάντα τὸν βουλόμενον ἆραι τὸν ἑαυτοῦ σταυρὸν, καὶ ἀκολουθῆσαι Χριστῷ τῷ δι' αὐτὸν σταυρωθέντι, ἀφιέναι μᾶλλον πάντα καὶ χρήματα καὶ πράγματα (7), Χριστοῦ γ' ἕνεκεν αὐτοῦ καὶ τῆς ἐς αὐτὸν ἀγάπης, καὶ ζῆν εἰδέναι βεβαίως ὅτι λαμβάνει ταῦτα Θεὸς, καὶ τὸ συνάλλαγμα γίνεται, μὴ μεσιτεύοντος ἑτέρου τινὸς ἐπὶ τούτῳ, ὅτι μηδὲ πρὸς ἀνθρώπων οὐδένα κατασο-

(1) Respectu ad parabolam mali divitis. Vide t. III, p. 54, n. 3; coll. Matthæio ad Eclogas ex Jo. Chrysost. p. 342.

(2) Conf. t. IV, p. 66, n. 3.

(3) Matth. IV, 19. Cf. Marc. I, 17; Luc. V, 10.

(4) Conf. t. IV, p. 166, n. 3.

(5) Vid. Matth. VIII, 20; Luc. IX, 58.

(6) Luc. X, 41: Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά... Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο.

(7) Quæ nomina et alibi junxit: conf. p. 300, n. 1; p. 317, 17.

φιζόμενον ἢ καὶ παραλογιζόμενον ἐπὶ τοῖς συμβολαίοις καὶ μεγάλα βουλόμενον μικρῶν ἀνταλλάττειν, ἀλλὰ πρὸς Θεὸν αὐτὸν ἡ πραγματεία, μικρὰς μὲν ἀφορμὰς ζητοῦντα καὶ μικρά δή τινα καὶ εὐτελῆ, καὶ σταθμοῖς ὧν ἐλαχίστοις καὶ δῆτ' ὧν βραχυτάτοις, ἀντισταθμώμενον δὲ τὰ ὑπερμεγέθη καὶ ἄνω φέροντα καὶ ὅσα μὴ ὀφθαλμὸς εἶδε (1), μήτ' ἤκουσεν οὖς, μηδ' ἐπὶ καρδίαν ἀνέβη.

Οὕτω δὴ τὸ ἀφεῖναι πάντα, καὶ τὸν τρόπον τοῦτον καταθέσθαι καὶ ἀποδοῦναι Χριστῷ, κρεῖττον καὶ μεῖζον καὶ δὴ τελεώτερον καὶ ὑψηλότερον ἢ διαπωλεῖν καὶ περὶ τὴν προσαγωγὴν ταύτην ἐνασχολεῖσθαι καὶ πραγματεύεσθαι, καὶ μελέτας καὶ φροντίδας περισπᾶν καὶ νοῦν καὶ λογισμῶν ἐνεργείας πρὸς αὐτὸν Χριστὸν τεινούσας μεταστρέφειν καὶ περισπαπατᾶν πραγματώδεσιν ἀσχολίαις τοιαύταις. Συνεισέρχεται δέ τις καὶ φιλοτιμία ταῖς περὶ τὰ τοιαῦτα διατιθεμέναις ψυχαῖς, ἧς ἧκιστα χρὴ τοῖς Θεῷ τὸ πᾶν ἀποδιδοῦσιν. Ἔστι μὲν γὰρ καὶ ἄμφω φίλα καὶ κεχαρισμένα Θεῷ, τό τε καθάπαξ ἐκ τοῦ εὐθέος ἁπάντων τῶν ὑπαρχόντων ὑπερφρονῆσαι καὶ δῆτ' ἀποβαλέσθαι, καὶ κοῦφον καὶ ἀπέριττον περισπᾶσθαι τῷ καλοῦντι Σωτῆρι, τό τε πτερᾶσθαι καὶ μεταδιδόναι πτωχοῖς. Καὶ ζημία οὐδεμία, εἴ τις ἀφήσει μᾶλλον, κατὰ Πέτρον τὸν μέγαν, ἢ πωλήσει καὶ μεταδῷ. Φημὶ τοῦτο καὶ αὐτὸς, καὶ ἀφίημι θάτερον προτιθέναι θατέρῳ.

Ὅπου δὲ τὸ μὲν ἀφεῖναι κἀκεῖνα τηρεῖ καὶ περισώζει τῶν ἐντολῶν, τὴν ἀγάπην δηλαδὴ καὶ τὴν εἰρήνην, πρῶτα τῶν ἄλλων ἁπασῶν ὄντα, τὸ δ' ἀπεμπολεῖν

(1) Conf. t. IV, p. 60, n. 2.

ταῦτα περιτρέπει καὶ ἀθετεῖ, καὶ ἔχθραν μὲν ἀντ' ἀγάπης, ἔριδας δὲ καὶ φιλονεικίας καὶ σίασιν καὶ ταραχήν, καὶ εἴ τι τοιοῦτον κακὸν καὶ κάκιστον, ἐμποιεῖ, πρόφασιν ἔχον τὸν εἰρηνάρχην καὶ τῆς ἀγάπης πληρωτὴν Χριστὸν, τὸν καὶ φιλάνθρωπον καὶ πάντων σωτῆρα, πῶς ἴσον ἢ ταυτὸν τοῦτο τῷ ἁπλῶς καὶ εἰρηνικῶς ἀφιέντι, ἢ καὶ θεοφιλὲς τὸν ὅμοιον τρόπον; Ἐγὼ μὲν οὐκ ἂν ποτε τοῦτο δεξαίμην, οὐδ', εἴ τις τῶν πάντων λέγοι, πεισθείην ἄν, τοῖς τοῦ μεγάλου διδασκάλου (1) οἷς ἔφημεν ἀσκητικοῖς παραγγέλμασι καὶ νομοθετήμασι προσανέχων καὶ δὴ πεπεισμένος.

Διὰ τοῦτο καὶ παθῶν εἰμὶ ὃ δὴ μέγα, καὶ ἴσως οὐδ' ἀμεμπτον, ἔπαθον ἐπὶ τῷ παντελῶς ἀπροσδοκήτῳ τοῦ συμβάντος πράγματος, μέγα τι ἐκπλαγεὶς καὶ σχεδὸν πεσὼν ἐκ πάσης φρενός. Οὐδὲ γὰρ εἶχον οὐδ' ἐν ἰσοῤῥοπίαις ἀνενεγκεῖν εἰς παράδειγμα, κἀκεῖθεν ἐπὶ γαλήνην τῶν λογισμῶν ἐλθεῖν, καὶ καταπαῦσαι τὸν τῆς ψυχῆς πλεῖστον ὅσον, βυθίζοντα καὶ ὑποβρύχιον αὐτὴν οἱονεὶ ποιοῦντα, τάραχον. Ἐκλελοιπε μὲν γὰρ ἡ Ἰακὼβ τὴν εὐλογίαν (2)· ἀλλὰ τίνα ταύτην; τὴν πατρικήν· καὶ οὐδ' ἐκείνου ἦν τὸ σκέμμα, οὐδέ γε τὸ τόλμημα· ἀλλ' ὑπόθεσις ἦν καὶ πρόνοια καὶ συνώθησις μητρικὴ, ὑποσχέσεις ἔχουσα ἀρέσαι ταῦτα Θεῷ, καὶ τῆς εὐλογίας ἐπιτυχεῖν, καὶ κύριον αὐτὸν ἔσεσθαι μὴ τῶν ὄντων μόνον, ἀλλὰ καὶ μελλόντων μεγάλων πραγμάτων, καὶ αὐτοῦ γε τοῦ καὶ πρώτου τεχθέντος ἀδελφοῦ, καὶ ὥγε ἡ εὐχὴ καὶ ἡ εὐλογία προσῆκεν. Ἀλλ' οὐ τί γ' ἐκεῖνος οὐκ εὐθὺς ἀκούσας ἐπέδραμεν, οὐδ' ἐθέλχθη ταῖς ὑποσχέσεσιν,

(1) Basilii videlicet. (2) Vid. Genes. c. XXVII.

οὐδ' ἐθάῤῥησε τὴν ἀσάτην, οὐδέ γε τὸ τόλμημα· ἀλλὰ τί; « Δέδοικα » φησί, « μὴ φωραθείς » καὶ τὸν τρόπον εἶπε καθ' ὃν, « ἀντ' εὐλογοῦντος, καλαρωμένῳ » πειραθήσομαι πατρός. » Εἶδες ὁπόσον ἐκεῖνος ἔφριξεν ἀρὰς πατρικάς; ὁρᾷς πῶς ὁ ἄπλαστος ἐπὶ τῷ ἐγχειρήματι καὶ θεοφιλὴς γίνεται, καὶ φεύγει τὴν μὴ κατὰ γνώμην καὶ προαίρεσιν τοῦ πατρὸς εὐλογίαν, καί τοι τὰ μεγάλα παρεχομένην αὐτῷ ἐκ Θεοῦ μητρικαῖς ἐγγύαις, καὶ ὅδε ταῦτα προσίεται, ἵνα μὴ τοὐναντίον προσπεσὼν ἁλῷ ταῖς ἀραῖς; Καὶ τοίνυν φυλάξας πρώτως τὸ πρὸς τὸν πατέρα δέος, τὴν εὐλάβειαν, τὸν ἐπιβάλλοντα φόβον τῷ προσῳζυσμῷ τούτῳ, εἶτα ἑαυτοῦ μὲν οὐδέν, πείθεται δὲ καὶ πληροῖ τὰ πρὸς βούλησιν τῆς μητρός. Καὶ τοῦτον δὴ τὸν τρόπον, ἔκ τε τοῦ δεδιέναι καὶ φείδεσθαι εἴ τί γε προῳζυνθεὶς ὁ πατὴρ ἐπαρήσαιτο, ἔκ τε τῆς πρὸς τὴν μητέρα πειθούσης αἰδοῦς, προκαθίσταται ἑαυτῷ τὴν τόλμαν μὴ ἀβούλητον γενέσθαι, μηδ' ἀποτρόπαιον μηδ' αὐτῷ γε τῷ Θεῷ· καὶ δὴ τ' ἐπιχειρεῖ, καὶ τῆς εὐλογίας ἐπιτυγχάνει κατὰ τὰς μητρικὰς ὑποσχέσεις καὶ χρῆν ἐντολάς. Καὶ ἐπευδοκεῖ τε καὶ ἐπακούει τοῦ δικαίου Θεὸς, ἐπακούει καὶ τῶν εὐχῶν αὐτοῦ τῶν ὑπὲρ τοῦ παιδὸς, ἀγνοουμένου μὲν, εὐγνωμονοῦντος δὲ καὶ περὶ αὐτὸν καὶ περὶ τὴν μητέρα.

Ὅπου δ' ἡ κλοπὴ προφάσιν μὲν ἔχει Θεὸν καὶ τὸ πρᾶξαί τι θεραπεῦον αὐτὸν, ἀνιῶσα δ' ἔστι καὶ παραπικραίνουσα μὴ πατέρα μόνον, ἀλλὰ καὶ μητέρα, καὶ προσέτι γ' ἐπί τισιν αὐτῶν δικαιώμασι, πῶς ἂν ἴδοι Θεὸς εὐμενῶς αὐτήν; πῶς δ' ἂν καὶ ἐπιλάθηται τῶν ἑαυτοῦ ἐντολῶν; πῶς καὶ παιδὶ τοῦτον τὸν

τεφπον ἠθετημένας αὐτάς; πῶς καὶ τῶν ἀσκητῶν ὁ μυσταγωγὸς καὶ παιδευτὴς καὶ διδάσκαλος (1) ὃκ ἂν ἀποστεφφείη, οὐδ' ἂν ἀπώσαιτο τοὺς μετὰ τοιούτων σπουδασμάτων πεφσερχομένους αὐτῷ;

Ἡμεῖς μὲν, πᾶν τό γ' εἰς ἡμᾶς ἧκον (2), καὶ ἀφήκαμεν ἐξ ὅλης ψυχῆς, ἐξ ὅλης καρδίας, καὶ Θεὸν καθικετεύσαμεν καὶ νῦν αὖθις καθικετεύομεν οἰκτιρμοῖς μεγάλοις αὐτοῦ καὶ φιλανθρωπίαις παντάπασιν ἀφεῖναι, καὶ μή τι γε σῆσαι τὴν ἁμαρτίαν ταύτην, εἴ γε, καθὰ τὸ δοκοῦν ἡμῖν, ἔστι τι τῶν πεπραγμένων ἡμαρτημένον· ὑπὲρ τούτου γὰρ καὶ δεδιότες ἐσμὲν, καὶ τὰ πολλὰ καὶ πλεῖστα καὶ μεγάλα δεδιότες. Εἰ δὲ τὸ γεγονὸς ἔστιν ὅλον ἀνεύθυνον καὶ παντὸς ἐκτὸς πολυμελήματος, καί γε τἀναντίον ἔστι πᾶν ἀρέσκον Θεῷ, καί τις ἡμᾶς τοῦτο διδάξει καὶ πείσει, αὐταῖς ὡς ἡμεῖς κεχρημένος πειθούσαις ταῖς εὐαγγελικαῖς καὶ ἀποστολικαῖς καὶ παλεϊκαῖς ἐντολαῖς καὶ τοῖς γε τούτων διδάγμασιν, οὐκ ἔστιν εἰπεῖν ὁπόσην ἂν αὐτῷ τὴν χάριν πλείστην ὅσην ὁμολογήσαιμεν, ὁπόσην ἂν καὶ τὴν παρρησίαν, ὁπόσον δὴ ταῖς καρδίαις ἡμῶν δεξαίμεθ' ἂν καὶ τὸν γλυκασμόν.

(1) Basilius jam memoratus. (2) Conf. p. 239, n. 1.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΟΥΜΝΟΥ

ΔΙΑΘΗΚΗ

ΚΑΙ

ΠΡΟ ΤΗΣ ΤΕΛΕΥΤΗΣ ΩΣ ΕΠ' ΑΥΤΗ ΤΗ ΤΕΛΕΥΤΗ

ΤΗ ΔΙΑΘΗΚΗ ΜΙΚΤΟΣ ΣΥΝΤΑΚΤΗΡΙΟΣ.*

Σπουδάζει δὲ πρῶτον δεῖξαι ὅτι κρεῖττον καὶ λυσιτελέστερον ἐν ὑγιείᾳ σταθερᾷ καθεστῶτας διατίθεσθαι, ἢ νόσον ἀναμένειν λύουσαν, καὶ ἡμέραν ἑκάστην χωρίζουσαν τῆς ζωῆς. Ὁποίας δ' ὁ λόγος ἔτυχεν οἰκονομίας, ἁρμοζούσης ἐντέχνως καὶ κατὰ καιρὸν ἑκάστῳ τὸ πρόσφορον, ὡς μήτε τι τῶν δεόντων εἰρῆσθαι δόξαι παραλειφθῆναι, μήτε τὸ ἐξ ἀνάγκης παπτὸν παρεμπίπλον, καὶ ὃ μὴ ἔστι φυγεῖν, ὑπεκλύειν καὶ πάνυ τι χαυνῶσθαι καὶ χαλᾶν τὸν τόνον ποιεῖν, εἰδεῖεν ἂν οἱ τὸν λόγον ἐπιμελῶς μετιόντες.

Ἔθος τοῦτο σχεδὸν τοῖς πᾶσιν, ἢ τοῖς γε πλείστοις, ἐπὶ τὰ τελευταῖα τοῦ βίου καὶ τὴν τούτου καλάλυσιν ἀφικνουμένοις, περὶ διαιρέσεις τῶν ὑπαρχόντων καὶ μερισμούς, καὶ οἷς ἂν βούλοιντο κλήρους προσγενησομένους, τὴν σπουδὴν ἔχειν, καί γε τὴν ψυχὴν αὐτήν, πρὸς τὴν ἔξοδον ἐπειγομένην, ἐθέλειν ἐπιστρέφειν αὖθις εἰς μερίμνας καὶ τοιαύτας ἀσχολίας μηδὲν αὐτῇ προσηκούσας· ὃ δή μοι καὶ πάνυ τι θαυμάζειν ἔπεισιν, εἰ ἄνθρωπος, ἐν αὐτῇ γενόμενος τῇ ὑστεραίᾳ, οὐχὶ καὶ πάντας εὐθὺς τοὺς τοῖς παροῦσιν ἐνεχομένους ἀπόλλυσι λογισμούς, ἀλλ', ἔτι ταῖς περὶ τῶν προσόντων φροντίσιν, ἢ μᾶλλον ὧν εἶχε, συνισχημένος, ἐπιστροφήν τινα τῶν ἐν τῷ βίῳ ποιεῖται, ἐν ἄλλοις δή τισι

* E codice 2105, p. 245, 2.

μεταχαλούμενος, οὐκ εἰδὼς δ' ὧν οἵοις, ἡδέσι δηλονότι ἢ σκυθρωποῖς, ἐς ἀπέραντον δ' ὅμως παρεκτεινομένοις, ὅδε πρὸς ἐκεῖνο μόνον παντελῶς ἀνεπιστρόφως βλέπει, ὅποι δηλονότι, λυθεῖσα τοῦ σώματος, ἡ ψυχὴ μετασταίη ὑπὸ τῶν ἀγόντων ἑλκυσθεῖσα, καὶ ποῖος αὐτὴν μεταδέξεται χῶρος, κολάζων ἢ ἀναπαύων. Ἔχομεν δὲ καὶ ταύτην πάντως παιδείαν καὶ νουθεσίαν, πάνυ τι τὸ μέλλον ἡμῖν εὖ καὶ καλῶς οἰκονομοῦσαν καὶ καταρτίζουσαν πρὸς τοῦτο συμφερόντως, μελέτην αἰεὶ θανάτου τὸν τῆδε βίον ποιεῖσθαι (1). Καὶ μακάριοί γε οἱ ταύτῃ νουνεχῶς προσχόντες (2) τῇ νουθεσίᾳ, καὶ τὴν ἐνταῦθα πολιτείαν ὅλην σπουδάσαντες ὑποθέσθαι τῇ παραινέσει, καὶ ταύτῃ συζῆσαι.

Ὅταν δέ τις μὴ μόνον ταύτης κατωλιγωρικῶς φανείη, ἀλλὰ καὶ τὸν θάνατον μελέτην ὡσανεὶ τιθῆται (3) τῶν ἐν βίῳ πραγμάτων, πρὸς τοὐναντίον παντελῶς τοῦ παραγγέλματος ἥκων, ἔμοιγε, ὅπερ ἔφην, οὐ πάρρω θαύματος ὁ τοιοῦτος, τοῦτον δὴ τὸν τρόπον τοῖς ὑσιάτοις καὶ τῇ τελευτῇ κεχρημένος. Καὶ γὰρ, εἰ βούλει, νύττοντός σε τοῦ θανάτου, γράφειν διαθήκας, ἄλλως δ' οὐκ ἀνέχῃ δοκεῖν ἐκπίπτειν τῶν προσόντων, τί μὴ καὶ πάντα τὸν ζωῆς χρόνον θανάτου

(1) Nobilis est Ciceronis locus Tusc. 1, 30 : « tota philosophorum vita, ut ait idem (Plato), commentatio mortis est. » Vide Wyttenb. ad Phædon. p. 207, et in Philom. t. III, pag. 96. Joannes Climac. p. 145 : ὁ θαῦμα ὄντως, πῶς οἱ Ἕλληνές ποτε τοσοῦτον ἐφθέγξαντο, ὅτι ἡ φιλοσοφία τοῦτο εἶναι ὁρίζονται, μελέτην θανάτου. Seneca Epist. 26 : « meditare mortem. » Adde Diogenem Epist. 10 init. in Notit. Mss. t. X.

(2) Codex sic; sed olim fuit προσχόντες. Conf. pp. 251, n. 3; 277, 13.

(3) Relinquo ὅταν φανείη καὶ πιθῆται, quum videantur sic ab auctore ipso, non a librario, relicta.

χρόνον γε λογίζῃ, καί, πρὶν ἢ καθαρῶς τὸ τέλος ἀφικέσθαι, πρὸς αὐτὸ γράφεις βλέπων;

Καὶ γὰρ οὕτως ἔχει· θνητοῖς ἡμῖν γε γεννωμένοις συναποτίκτεταί πως καὶ ἡ τὴν ζωὴν αὐτὴν λύουσα φθορὰ καὶ ῥεῦσις. Καί γε παρὰ τὴν ὁδὸν ἐμπεσοῦσι καὶ τὸν δρόμον τοῦ βίου μὴ μόνον ἔστιν ἡμῖν ἐξ ἀρχῆς ἀπλαίσιως ὁρᾶν πρὸς ὃ δὴ καὶ καταπαύσομεν τέλος, ἀλλ' ἤδη κἂν τοῖς καθ' ὥραν ζῶμεν, ἐν τούτοις ἔστι συνορᾶν καὶ τὴν φθορὰν εὐθὺς παρεζευγμένην· ὡς γὰρ ἐν ἴχνεσί τισι βαινούσης τῆς ζωῆς ἡμῶν ἀπάσης καὶ τοῦ θανάτου παραθέοντος καὶ συμπαρθέοντος, ὅπερ ἐκείνη παρῆκε διαβᾶσα, τοῦτ' εὐθὺς αὐτὸς μεταδεξάμενος ὑφεῖλε, καὶ νενεκρώμεθα λοιπὸν πᾶσι τοῖς τῆς ζωῆς μέρεσι ῥεύσι καὶ παρερχομένοις, καί γε τῷ θανάτῳ προσιγνομένοις. Ὥσθ', εἴπερ ὁ θάνατός σε δεδιττόμενος ἐπὶ τῆς τελευταίας βιάζεται διαθηκῶν μεμνῆσθαι, τί μὴ κἂν τὴν σήμερον, ἐνδυναστεύοντος τούτου (κἂν βλέπεις πάντως ὁπόσον ἐγκαταλαμβάνῃ), γράφεις τὰς διαθήκας, ἐῤῥωμένως μὲν ἔχων τοῦ σώματος, μή πω δὲ τὸν νοῦν διεφθαρμένος ἐκ χαλαιᾶς κατασεισάσης νόσου, μηδὲ τὴν διάνοιαν οὖμενουν ὑπὸ δέους ἔχων ὅτι θνήσκεις τεθορυβημένην;

Οἷον γὰρ δὴ καὶ τοῦτο, ὅταν πυρετὸς λάβρος (1) ἀναφλεχθεὶς ἐκτήκῃ, χρείττω καὶ ἰατρῶν τέχνης καὶ πάσης ἄλλης μηχανῆς τὴν ἀκμὴν ἔχων, καὶ τὴν φθορὰν καὶ λύσιν κατεργαζόμενος εὐτόνως, καί γε τὸν δεσμὸν παραλύων τὸν τῆς ψυχῆς καὶ τοῦ σώματος, ἢ ὅταν ῥῖγος ἐπεισφρῆσαν τὸν ὅλον συγκλονῇ σωματικὸν ὄγκον, καὶ τὰ τούτου πέρατα καταλαμβάνῃ

(1) Cod. λαῦρος.

νεκροποιὸν ψύχος, τοῦ ζωτικοῦ πνεύματος συσταλλομένου καὶ βίᾳ περὶ τὴν καρδίαν ἀναχωροῦντος, εἶτα περσιών τις διαλέγηται περὶ γραμμάτων τὴν ὑσίαν καταμεριζόντων καὶ ἀποτατλόντων κλήρους τοῖς ἔτι τῷ βίῳ περιεσομένοις, καὶ ὁ μὲν ταῦτα συμβουλεύῃ, ὁ δὲ, πρὸς τὴν ἀκοὴν εὐθὺς παλαχθεὶς δεινῶς τὴν καρδίαν, ἑαυτὸν τῆς μακρᾶς πλάνης καὶ τῆς πολλῆς ἐκείνης ματαιότητος ταλανίζῃ, ὑφ' ἧς ἠγνόει τὸν πάντα τῆς ζωῆς χρόνον κακοειλημμένος, κἄ διελέγχῃ (1) δὴ τότε τὸ παρεσπὼς αἴφνης τῆς ἀπλανοῦς συναισθήσεως τοὺς μόχθους ἐκείνους καὶ πᾶσαν αὐτῷ τὴν περτέραν σπουδὴν εἰκῇ καὶ μάτην ἐκπεπονῆσθαι κἄ πρὸς οὐδὲν ὄφελος ἀπαντῆσαι; ὅταν γοῦν ταῦτα, κἄ τοιούτοις ἐνασχολουμένῳ τῷδε τοῖς λογισμοῖς περσεπιτιθῶνται καὶ τῶν γνησίων εἰσὶν οἱ καὶ τῶν ξένων, οἱ, χρέος ὥσπερ αὐτοῖς ἀνάγκης ἐξ ἁπάσης ἐπωφλημένον, χρήματα ἐκείνου καὶ πράγματα διαλαβεῖν ἐκζητοῦντες, καὶ γε βιαζόμενοι συμμερίσασθαι τὰς κλήσεις, οἷον δὴ κἄ τοῦτο; Ὁ μὲν γὰρ διαιρεῖ κατὰ τὴν οἰκείαν, οὐ μὴν δὲ κατὰ τὴν ἐκείνων ἑκάστῳ βούλησιν, οὐδέ γε κατὰ τὴν ἁπλοῦν ἔφεσιν· κἄ αὐτοὶ λοιπὸν δυσανασχετοῦντες ἀποστρέφονται τὴν χάριν, ὁ μὲν πλέον εἰσπραττῶν ἢ ὅσον ἐκεῖνος ἐκὼν εἶναι δίδωσιν,

(1) Codex, διελέγχει, mendo solenni. Ælianus Tact. præf. p. 5: ὡς ἂν ἐπιζητήσεις ἀναγνωσθῆναι πάντας· imo ἐπιζητήσῃς, quod legi in cod. 2540. Planudes Somn. Scip. ed. Ciamp. p. 3 : ἐνταῦθά σε, Ἀφρικανέ, δεῖξαι δίκην τῇ πατρίδι τὸ φῶς τοῦτο τί ποτέ σοι κἄ τῆς εὐδουλίας· codex 963, recte δίκην σοι. Ibid. p. 4 : κἄ, ἵνα μὴ πολλὰ λέγω, σε μόνον ἄρξαντα τὴν πολιτείαν καταπαῦσαι δίκην· rursus bene codex, δίκησι. Ibid. p. 11 : εἰ τὴν εἰς πυρὶ τὸν χῶρον ἐπάνοδον ἀπελπίσῃς· et hic malo codicis scripturam, ἀπελπίσεις. — Moseriana, quam, impressa hac nota, consului, bis exhibet δίκησι.

ὁ δὲ τὴν ἴσην μοῖραν δυσχεραίνων καὶ μὴ πάνυ τι καλαδεδεγμένος· ἔστιν ὃς καὶ τὸ νεμηθὲν ὅλον ἀπείπατο τελέως, καὶ ἡ πρόφασις εὐπρεπὴς καὶ τὸ δίκαιωμα γενναῖον· «πολλῷ γὰρ πλεῖον» φησί, «νομίσας, βε-» βαίαις ἂν ἐλπίσιν ἐθάρρουν»· οὐ μὴν ἀλλὰ, καὶ τοῦ καιροῦ καλοῦντος πρὸς οἰμωγὰς καὶ θρήνους, οἱ δὲ, γνώμης ἁπλησίᾳ, δάκρυα πάντα καὶ τὸ πενθεῖν παρωσάμενοι, ἐς μάχας πολλάκις καὶ πρὸς ἀλλήλους χωροῦσι, τὸν τῶν πάθους καιρὸν ἔρριδος ὥσανεὶ καιρὸν καὶ πολέμου τιθέντες.

Καὶ τὰ ἐντεῦθεν τίνα; Ὁ, τρόπον ὃν ἔφημεν, κατ-πεισμένος πρὸς τὴν ἐκδημίαν, τὰ μὲν ταῖς ἐκείνων χαυνωθεὶς καὶ μαλακισθεὶς, ἅμα δὲ καὶ καθυφεὶς λο-γομαχίαις, τὰ δὲ βουλόμενος ἑαυτὸν ἀπαλλάξαι, ἀπαλλατόμενον ἤδη τοῦ βίου, καὶ τῆς ἐκλόπου ταύτης ἐπιρείας καὶ περὶ αὐτόν τε καὶ τὸ δίκαιον ἀγνωμο-σύνης, ἀφεὶς τὰ καλὰ γνώμην ἐν διαθήκαις γράφειν, γράφει τὰ τῆς τυραννίδος. Εἶτα τὰ γράμματα τελευταίαν φασὶ βύλησιν καὶ ἀκίνητόν τινα διαθήκην, καὶ ὡς ἔξεστιν οὐδενὶ ἀθετεῖν καὶ παραποιεῖν· καὶ τοι-αῦτα οἱ βιασάμενοι ἰσχυρὰ καὶ γενναῖα τοῖς ἀπερ-αιρέτοις καὶ κατηναγκασμένοις ἐπιψηφίζονται.

Ἀλλ' οὐκ ἐγὼ ὅτως· ἀλλ', ὅπερ ἐκ παντὸς τρόπου δοκιμάσας ἐν τοῖς τοιούτοις ἄριστον ἔγνων, τοῦτ' ἤδη καὶ ἐπὶ τοῖς ἐμαυτοῦ πράξω. Τὸ δέ ἐστι (1);

Νῦν, ὅτε νόσῳ μηδὲν ἐνοχλεῖ, νῦν, ὅτε μὴ καλαλύων ἐπὶ κλίνης εἰμὶ, μηδὲ περὶ ζωῆς, μὴ μόνον ἀμφίβο-λος ἢ ἄδηλον εἰ ταύτης ἔσται, ἀλλ' ἤδη καὶ περὶ τῆς σήμερον, ἰατροὶ διαφέρονται καὶ ξυγμαχοῦσιν, οἱ

(1) Sic codex. Forsan τί δὲ ἔστι; πόθι δὲ ἔστι τί;

μὲν δὴ καὶ πρὸς ἑσπέραν ἥξειν καὶ ἀρκέσειν τὰς ἀναπνοὰς φιλονεικοῦντες, οἱ δὲ περὶ ἕκτην ἢ ἑννάτην, ἢ ἥντινα ἐκ τῆς τέχνης ἢ τῆς ἀμαθίας κατεσκόπησαν, ὥραν λυθῆναι φασὶ τὴν ψυχὴν τοῦ σώματος ἀπορράγεῖσαν, γνωσθὸν δ' οὐδὲν ἐπὶ τοῦ ὄντος οὐδὲ δῆλον οὔτ' αὐτοῖς τοῖς λέγουσι καὶ λίαν ἰσχυριζομένοις, ὅτ' αὖ τοῖς συνθανομένοις· ἀλλ' εὐεκτεῖ μὲν ὅλον τὸ σῶμα, κύριοι δ' οἱ λογισμοὶ ὁρᾶν τὸ ἑαυτῶν καὶ ὀρθῶς κρίνειν· νῦν, ὅτε ταῦτα, μηδενὸς ὄντος τοῦ ταράττοντος καὶ θορυβοῦντος, δεῖν ἔγνων ἀπειργάσθαι μοι τὴν διαθήκην (καὶ ἀπείργασται), μηδὲν βίαιον τῇ ψυχῇ μηδ' ἀβούλητον ἔχουσαν.

Καὶ κράτιστόν γε τοῦτο πάντως καὶ παρὰ κριταῖς πᾶσι ψήφοις ἁπάσαις (1), καὶ παρ' ἀνθρώπων, ἔμοιγε δοκεῖν, τοῖς λοιποῖς ἅπασιν. Αὐτίκα γὰρ καὶ νόμοι πάντες καὶ νομοθέται τοῦθ', ὡς ἔπος εἰπεῖν, περὶ παντὸς ἄλλα διασκοποῦνται, περὶ τούτου καὶ τὸν ὅλον ποιοῦνται λόγον, ἐπ' ἀκραιφνοῦς τινος τῆς τοῦ συντάττοντος γνώμης, ὡς ἐπ' ἀσφαλοῦς τινος (2), ἱδρῦσθαι τὰ διατάγματα. Καὶ καλῶς γε τοῦτο σὺν τοῖς νομοθέταις καὶ τοῖς δικασταῖς διεσπούδασται, ἅτε δὴ καὶ δίκαιον ὂν παντὸς μᾶλλον· ὡς τοὐναντίον παντελῶς ἀνόσιον, εἴ τι δηλονότι παρὰ τοῦτο κρατοῖεν τις βιάζεται.

Εἰ γοῦν τοῦθ' οὕτως ἔχει (ἔχει δὲ πάντως), πότε

(1) De hac loquendi formula egi ad Eunap. p. 359, et in Notit. Mss. t. XI, II, p. 136. Plato Legg. VII, p. 241 : νικᾷ γὰρ πάσαισι ταῖς ψήφοις οὗτος ὁ νόμος. Libanius t. III, pag. 22 : ἁπάσαις Ἡσίοδος ἐνίκα. Psellus de Heliodoro, init. : ὅλαις ψήφοις νικᾶν. Cicero Epist. ad famil. XII, 10 : « sententiis omnibus » hostis judicatus est. »

(2) Conf. supra pp. 210, 4; 216, 26.

μᾶλλον εἰκὸς ἐστὶ τοῖς ἐξετάζουσι περὶ τῶν γεγραμμένων βεβαίας ἀφῖχθαι τὰς πίστεις, καὶ μηδαμῶς αὐτοὺς ἀμφιβάλλειν, ἢ ὅταν ὑγιαίνοντι καὶ βαδίζοντι, καὶ μεῖ' ἰσχύος σύμπαν τὸ πρακτέον καθιστᾷεν ἔχοντι, καὶ ὅλῳ γε τῷ διατιθεμένῳ ἑαυτοῦ καὶ τῶν λογισμῶν ὄντι, τάττηται τὰ δεδογμένα. Καὶ μὴν οἱ ἐν τοῖς τελευταίοις σπουδασταὶ καὶ συγγραφεῖς τῶν συνταγμάτων, τοῦτο καὶ σπουδάζουσι μᾶλλον περὶ τῶν ἄλλων δεικνύναι, ἐῤῥωμένως ἔχοντα τὸν καταλύοντα νοὸς καὶ γλώττης ἴσχθαι πρὸς τὰς διαθήκας, ὡς τοῦ γέ τινος τούτων αὐτὰς ἀπολελεῖφθαι μηδὲν εἶναι ποιοῦντος τοῖς ἐπεισχομένοις ἥκιστα εἰς συμμαχίαν.

Ἔχε (1) δὴ τοίνυν περὶ ταῦτα καὶ σὺ, καὶ σκόπει νῦν καὶ γλῶτταν ὑγιαίνοντος τὸ ὅλον, καὶ κατανοοῦντος, εὐρωστοῦντος, καὶ τὰ μέλη διαπεπλωκότος, τοῦ ψυχικοῦ τόνου παρηλελυμένου. Σκόπει μοι καὶ διάνοιαν ἀκώλυτον παντάπασι καὶ ἐλευθέραν περὶ τὰς ἰδίας κινήσεις, μηδὲν ὑπ' ὀδενὸς πάθους μηδαμῶς σαλευομένην καὶ περιτρεπομένην, καὶ νόσου πεπεδημένην βαρύτητι καὶ νάρκῃ. Ἔτι δὲ καὶ τὴν ὑπὸ δέους ὅτι πλείστου ἀγωνιῶσαν σκόπει ψυχὴν καὶ μάλα τι τεθορυβημένην, αἰσθομένην ἤδη τῆς λύσεως, καὶ τῶν μὲν αἰσθητηρίων ἀναχωρούσαν καὶ ἀπορῥηγνυμένην ὀργάνων, τοῖς δὲ φωνητικοῖς ὀλίγον ἐμπνέουσαν καὶ ὀνηχοῦσαν, καὶ, εἰ μὴ τὸ πλέον ἄσημον καὶ παρηκεκομμένον, ἀλλ' οὖν τὸ ὅλον ἀποτρόπαιον καὶ κατηναγκασμένον. Σκόπει δὴ ταῦτα· καὶ, εἴ γε μὴ βούλει λυμαίνεσθαι ταῖς ἀληθείαις, δὸς τὸ κράτος τοῖς καὶ περδήλως ἐκ τῶν ὄντων καὶ φαινομένων κρα-

(1) Quem compellet nescio ; ex sequentibus imperatorem adloqui suspicari quis poterit.

ταιγμένοις, καὶ πάντας, ὅ γε δίκαιος σὺ νομοθέτης καὶ τῶν ὀρθῶν μεταποιούμενος ψήφων, τάτλε ἰσχυροὺς ὄντας καὶ ἀκμαίους ἐν ῥώμῃ σώματος καὶ ὑγείαις, ἀλλὰ μὴ καταπαλαιούσαις νόσοις καὶ παρηλυγώσαις τοῦ ζῆν ἀγωνιῶντας καὶ κατατεινομένους, διαθηκῶν μεμνῆσθαι. Καὶ ἅμα δικασταῖς ἐνδίκως ἐπίτρεπε τοῖς τοιούτοις μᾶλλον τῶν διαταγμάτων περισανέχειν καὶ ὅλους ἑαυτοὺς ἐπινέμειν, τῶν ἑτέρως γιγνομένων μὴ τὸν ἴσον λόγον ἥκιστα πεποιημένους. Ταῦτα δὴ νομοθέτει, καλῶς ἐστεσχεμμένος, καὶ τοῦ δικαίου μὴ μόνον, ἀλλά τι καὶ τοῦ συμφέροντος τῷ τε κληρονομοῦντι καὶ τοῖς κληρονομοῦσιν, ὡς εἰκὸς, προμηθούμενος.

Πῶς τοῦ συμφέροντος; πρῶτον μὲν ὅτι καθ' ἐξουσίαν πᾶσαν, ὅπερ ἔφην, μηδὲν ἐκεῖνος βιασθεὶς, μηδ' ὑπ' οὐδενὸς ἔχων σπαρασσομένην τὴν καρδίαν, ἀλλ' ἀνέτως πράττων καὶ ἐλευθέρως τὰ δεδομένα, οἷδε καὶ διαιρεῖν καὶ πρυτανεύειν προσηκόντως καὶ ὡς αὐτῷ συνοίσει καὶ ζῶντι καὶ ἀποιχομένῳ· ἔπειθ' ὅτι καὶ οἱ τὰς μερίδας λαγχάνοντες ἥδιον αὐτῷ προσκόψουσιν, οὐδ' ἐπαχθεῖς τινες ἔσονται καὶ βαρεῖς, συνεπιτιθέμενοι μετὰ τῆς νόσου, καί γε τὸν τῆς περισίασεως καιρὸν πρὸς τὴν πλεονεξίαν καὶ κακὴν ἐπιθυμίαν προσλαμβάνοντες σύμμαχον, ἀλλὰ σπέρξουσι τοῖς νεμηθεῖσι, σαφῶς εἰδότες ὡς οὐδὲν αὐτοῖς οὐμενοῦν ἔσται πλέον βιασαμένοις, ἅμα δὲ καὶ δεδιότες μὴ τοῦ παντὸς ἐκπέσοντες διαπεσόντες, ἀχαρισίαν ἐπὶ τοῖς δωρεὰν ἥκουσι καταγνωσθέντες. Ἔξεστι γὰρ εὐθὺς καὶ ἐπιδιατάττεσθαι καὶ τῆς διαθήκης παντελῶς τοὺς ἀγνώμονας ἐξορίζειν, τοῖς δ' εὐγνωμονοῦσιν ἀμετα-

χίνητον ποιεῖν ἑστάναι τὴν χάριν· οἷς καὶ συνήνεγκε πάντως, χωρὶς ἔριδος ἁπάσης καὶ φιλονεικίας καὶ τῆς ἐπὶ δικαστήρια καὶ δικαστὰς ἕλξεως, ἀπειληφόσιν ἐν τῇ περθεσμίᾳ τοὺς κλήρους, πολλῷ μὲν πρότερον ἀπονενεμημένους, τότε δ', ὡς ἔδοξε τῷ δικάζοντι, σφίσιν αὐτοῖς εἰσποιηθέντας.

Καὶ τοίνυν δόξαν μεγαλοψυχίας, ἅμα δὲ καὶ φιλοτιμίας καὶ τῆς περὶ τὸ παρέχειν ἐλευθερίας, πότε μᾶλλον δικαίως ἀποίσεταί τις, ἢ τῶν ὄντων καὶ ὧν ἀπολαύειν ἔχει δοκῶν ἀπονέμειν, ἢ τῶν ἀλλοτρίων μεταδιδούς, καὶ ὧν ἄκων ἐκπίπτειν νενόμισται καθάπαξ. Καὶ γὰρ ἐν τοῖς τελευταίοις μηδὲν τῶν ἰδίων ἔχων μεθ' ἑαυτοῦ φέρειν, πάντων δ' ἀπωσμένος, καὶ τοσοῦτον δυνάμενος αὐτῶν συμμετέχειν ὅσον καὶ τῶν μηδέποτε προσγεγενημένων, κἂν πάντα προῖτο τοῖς βουλομένοις, οὐδὲν μᾶλλον οἰκεῖα δοκεῖ ἢ νόθα καταχαρίζεσθαι· ἃ γὰρ μὴ δεδύνηται κατέχειν, μεθῆκε. Καὶ χοῦν οὐδ' ἔστι τότε οὐδέ γε τοῖς ἐμπαθεστάτοις πρὸς οὐδὲν τῶν παρόντων ὀδεμία προσπάθεια· πῶς γάρ; οἷς ἤδη μὴ μόνον κτημάτων καὶ πραγμάτων, ἀλλά τι καὶ τοῦ σώματος λύσις καὶ ἀπόθεσις γίγνεται. Διὰ τοῦτο καὶ οὐδὲ θερμοί τινές εἰσιν οἱ τῶν ἐκείνου μεταλαγχάνοντες ὁμολογεῖν αὐτῷ καὶ πάνυ τι (1) τὴν χάριν ἀπομνημονεύειν· ἀλλ' ἀμβλυτέραν

(1) Consueta ac bona scriptura π, non τοι. Pletho De virt. c. 4 : ἡμῶν ἕκαστος γίγνεται πρῶτον μὲν θεοῦ π ἔργον, οὐ πάνυ τοι ἀλλότριον, ἀλλά πη οἰκεῖον. Codex 963, πάνυ ποι, confusis duabus scripturis; dein fuit prius ι lineola inductum. Capp. 14, 16, editio quidem habet πάνυ π, sed cod. π. ποι. Et capp. 13, 18, in π. ποι conspirant. Idem Pletho Laudat. Cleopæ § 26 adhibuit π. τοι, consentientibus codd. 963 et 2540; rursus § 30, π. π, adsti-

ὡσανεὶ πρὸς τοῦτο δείκνυνται τὴν γνώμην, ἐφ' οἷς αὐτοῖς ἐκεῖνος ὑγιαίνων καὶ τρυφῶν μηδ' ἔβαλεν εἰς νοῦν, μηδ' ὅσον ἐν γραφαῖς, τῶν προσόντων μηδ' ὁποσονοῦν ἀπονεῖμαι.

Καὶ περὶ ψυχῆς δὲ ἥντινα τότε μνείαν καὶ τῶν δεομένων ποιεῖται βοηθεῖν αὐτῇ δεδυνημένων, νεκράν τινα ταύτην, ὡς εἰπεῖν, καὶ ἀκερδῆ ποιεῖται, καί γε μὴ παντάπασιν, ἐμοὶ δοκεῖν, Θεῷ κεχαρισμένην, ὅτι μηδ' ὁ πάλαι νόμος ἄῤῥωστον οὐδὲν οὐδ' ἄπνουν (1) ἦγεν εἰς θυσίαν. Ζωῆς γὰρ μή ποτε ληγούσης τὸ προσενηνεγμένον ἀνταλλαγὴν ἔχον, πῶς ἂν ἀχρεῖον καὶ ἀνενεχθείη; πῶς καὶ βδελυκτὸν, νεκρότητος μετέχον;

Ἀμέλει τοι καὶ εἴ τις ποιοῖτο περὶ πλείστου ζώσας ὡσανεὶ καὶ τεθνεῶτι τὰς δωρεὰς αὐτῷ μένειν καὶ μὴ παντάπασί γε διεφθάρθαι, ἅτε δὴ καὶ μὴ κατὰ καιρὸν καὶ ὅτ' εἰκὸς ἦν, θνησιμαίας δ', ὡς εἰπεῖν, γιγνομένας, ἀντὶ ψυχῆς ὄντος τοῖς πράγμασι τοῦ καιροῦ, ὥς τισιν ἔδοξε κἀμοὶ συνδοκεῖ, νοὸς αὐτῷ καὶ σώματος τετονωμένων καὶ ῥώμῃ καὶ ὑγείαις ἀκμαζόντων, ἰτέον πρὸς τὰς διαθήκας, καὶ διαιρετέον τὰς ὑπάρξεις, καὶ προσαρμοστέον οἷς ἂν αἱροῖτο, ὡς τοῦ γε πρὸς τοῖς ἐσχάτοις ἀφιγμένον τὰς διανομὰς σπουδάζειν ἐμπαρέχειν οὐδεμίαν αὐτῷ παρ' οὐδενὸς ἔχοντος οὔτε φιλοτιμίας οὔτε χάριτος ὁμολογίαν. Ἔτι τε καὶ πλέον

pulante codice 2540, contradicente autem altero. Sed scripserit Pletho quod scripsit; ipsi magis prodero sic edito § 26: ὁ δέ γε ἐντεῦθεν ἐκείνων ἀμελέτητος, εἰκότως, ἐκεῖσε ἀφικόμενος, ἰλιγγιῴη τε ἂν καὶ ἀποστρέφοιτο, ἅτε ἀλλοτρίοις τε διὰ τὴν ἀλήθειαν καὶ οὐ πάνυ τοι ἑαυτῷ προσήκουσι πράγμασιν ἐντυγχάνων. Pro ἀλήθειαν, quod nomen sententiam impedit maxime, reponendum ἀήθειαν, quod est opportune scriptum in utroque codice.

(1) De conditionibus hostiarum in vetere lege vid. Levit. c. XXII.

εὐγνώμονας ποιεῖ τοὺς εἰς τοὺς κλήρους ἐρχομένους, καὶ μικροὺς αὐτοὺς ὄντας, τὸ πόρρωθεν αὐτοῖς προσεθισθῆναι καὶ πλείονι τῷ χρόνῳ, πᾶν ὅσον κερδανθῆσιν ἐκ τῶν προειληφότων ἄνωθεν ἐπεγνωκότας· κ᾽ ὐδὲν εἰσὶν ἐπὶ τέλους, κἂν ἔλαττον ἀποφέρωνται τῆς ὀρέξεως καὶ τῆς ἐπιθυμίας, ὅτε δυσανασχετοῦντες καὶ χαλεπαίνοντες, οὔτ᾽ αὖ νεμεσῶντες τῷ χορηγοῦντι καὶ ἀντ᾽ εὐχαρίστων γιγνόμενοι ὀργίλοι. Ἄπεισι δὲ καὶ ὁ τὴν ἐκδημίαν στελλόμενος ἀτρέμας, τό γε κατὰ τύτυς, παρὰ μηδενὸς μηδὲν τεθορυβημένος. Καὶ τοίνυν πάντες οἱ συνιόντες αὐτοῦ δὴ τούτου μόνου καὶ γίγνονται τοῦ παρόντος καιροῦ καὶ τοῦ πράγματος, καὶ τοῦ χωρισμοῦ καὶ τῆς ὑποχωρήσεως τοῦ πονουμένου, καὶ τὸ γε ἐπ᾽ αὐτὸν πένθος, πρὸς ὐδὲν ἄλλο βλέποντες, μηδὲ περὶ μηδενὸς ἑτέρῳ ποιούμενοι τὸν λόγον καὶ τὰς σπουδὰς τῶν λογισμῶν ἔχοντες οὔτι γε προσήκοντος τῷ πάθει καὶ τοῖς ὁρωμένοις.

Ἀμέλει τοι κ᾽ πᾶς τις ἐπῄνησε τὸν οὕτω τὰ καθ᾽ ἑαυτὸν, πρὶν τὸ τέλος ἀφικέσθαι, πρὸς τοῦτο πόρρωθεν ἀποδόντα, εὖ γε καὶ καλῶς διαθέμενον. Ἐπαινῶν δὲ κἀγὼ καὶ πλέον τῶν ἄλλων, οὐχ ἕτερον ἢ τοῦτον δὴ τὸν τρόπον δεῖν ἔγνων τὰ κατὰ γνώμην ἐπὶ τοῖς ἐμοῖς ἐκθέσθαι· καὶ διεκτίθημι (1).

(1) Videtur scribi oportere κ᾽ δὴ ἐκτίθημι. Permutatio est facillima. Julianus Misop. p. 350 : εἰκότως λυποῦνται δὴ ἀμφοτέρων ἀφῃρημένοι τὰς ὑπηρεσίας. Cod. 2964, δ᾽ ἀμφοτ. quod non displicet. Apud Apollodorum p. 218, Heynius, qui διέγω edidit, varietatem δὴ ἔγω notavit. Et in aliis vocibus librariis η et ι ob similem sonum illuserunt, verbi causa, in Meliti illius nomine. Maximus Tyr. Diss. XXXVI, 5 : οὔτε Μέλητός τις ἐπὶ Διογένει αἰτίᾳ· melius Μέλητος in codice 1962. Eidem auctori ex eodem codice eadem facienda medicina t. 1, pp. 79, 152, 154, 417. In Athenæi edi-

Καὶ τοίνυν τοῦτο πρῶτον πάντας εἰδέναι καὶ πάντι ὀρθῶς εἰδέναι βουλόμεθα, τούς τε νῦν παρόντας τῷ διατάγματι καὶ τοὺς τῷ χρόνῳ ὕστερον συνεσομένους, ὡς οὐδὲν ἡμεῖς ἐξ ἀδικίας, ὅσον ἐπὶ μνήμης ἥκει, ἑαυτοῖς σύνισμεν παντα χόθεν ἐξετάζουσι καὶ βασανίζουσιν, οὐμενοῦν εἰς προσθήκην ἐπὶ τοῖς προσοῦσιν ἐσπουδακόσι, πολλοῖς αὐτοῖς οὖσιν, οἰκτιρμοῖς Θεοῦ καὶ χορηγίαις, ἔτι δὲ καὶ συχναῖς τισιν εὐποιΐαις τοῦ θεοφιλῶς ἡμῶν καὶ ὁσίως κρατοῦντος (1). Οὐδ' ἐπειδὴ καὶ δεδυνῆσθαι ὑπ' αὐτῷ ἐλεοῦντι πλεῖστον ἐδόξαμεν, οὐδένες τῶν ἀνθρώπων τῆς ἡμετέρας χειρὸς καὶ δύναμεως, οὔτε τινὸς βιαίας καὶ τυραννικῆς οὔτ' ἐκθλιβούσης οὐδαμῶς, ἐπειράθησαν, οὐδ' ἐπεσπέναξεν οὐδεὶς ἐπ' οὐδενὶ τῶν ἑαυτοῦ, κακῶς ὡς πεπονθὼς ὑφ' ἡμῶν. Οὐδέ γε τῶν ἀλλοτρίων ἐπιθυμίας ὀδεμιᾶς καὶ μεταποιήσεως ἥττους ἐφάνημεν. Διὰ τοῦτο καὶ ὀφείλειν οὐδὲν φαμὲν οὐθ' ἁπλοῦν οὔτε πολλαπλοῦν (2) ἀποδοῦναι, ὡς συκοφαντήσαντες ἢ βίᾳ καὶ πονηρῶς ἀφελόμενοι. Παντὸς γὰρ μᾶλλον τὸ ἀδικεῖν ἐχθρὸν ἡμῖν ὂν διαφερόντως ἐμισήθη, καὶ πᾶν τὸ ἐξ αὐτοῦ ἐβδελύχθη ὡς βλαβερὸν καὶ πολέμιον. Καὶ μὴν καὶ τοῖς ἄλλοις διεγενόμεθα συμβουλεύοντες, οἷς καὶ πρόσηκον ἦν ἡμῶν συμβουλευόντων ἀκούειν· καὶ συχνοί τινες ἐπὶ τούτοις ἡμῖν λόγοι ἐξεπονήθησαν (3), προσανέχειν

tione Argentoratensi, XII, 75, melior ejus nominis scriptura in notis relicta est. Jac. Morellius, ad Liban. p. 201, non videtur audiendus. Addantur, si tanti sint, meæ ad Aristophanem notulæ t. I, p. 321, t. II, p. 279.

(1) Imperatoris, scilicet.

(2) Vetere lege sancitum erat ut, pro surrepto bove uno, quinque redderentur, quatuor oves pro una. Exod. XXII, 1.

(3) Verbi causa, Thessalonicensibus de justitia colenda συμβουλευτικός, a me editus secundo hujus collectionis volumine.

μὲν ἀεὶ δικαιοσύναις, φεύγειν δ' ἐκ παντὸς τρόπου τὴν ἀδικίαν.

Διὰ τοῦτο καὶ παραιτεῖσθαι νῦν οὐκ οἶδ' ὅτι δεῖ ἢ καὶ περὶ συγγνώμης δεῖσθαι, ἐγνωσμένων δή τινων ἡμῖν ὄντων, τῶν γε πρὸς ἀνθρώπους καὶ κακὰ ἡμῖν μεγάλα σφόδρα βουληθέντας καλῶς ἐξειργασμένων. Συνέβη γὰρ ἐμοὶ παρὰ πολλῶν καὶ τοῦτο μέγα δὴ καὶ μέγιστον ἐπήρειας, χαλεπῷ τινι βληθέντων φθόνῳ, ἐξ οὐδεμιᾶς δ' ἄλλης οὐδαμῶς λόγου ἐχούσης αἰτίας κεκινημένων· ὑπὲρ ὧν καὶ τότ' ἔφην, « Ἴλεως αὐτοῖς » εἴης, Κύριε », καὶ νῦν δέ φημι, « καὶ τῆς ὀργῆς σὺ » μηδαμῶς, τῆς δ' ἐπὶ πᾶσιν οἷς ἂν δέοιντο χρηστό- » τητος πεῖραν λάβοιεν καὶ φιλανθρωπίας, καὶ μὴ » σήσαις αὐτοῖς μήτε ταύτην, μήθ' ἑτέραν ἰσχύ- » σασαν ἐν καρδίαις αὐτῶν, ἁμαρτίαν. »

Τοῖς βασιλεῦσι δ' ἡμῶν, εἰ καὶ μὴ πᾶν ὅσον εἰκὸς ἦν καὶ πρὸς χρέος δίκαιον ἦκον ἀποχρώντως ἀποδεδώκαμεν — οὐδὲ γὰρ ἦν, ὅτ' ἔστι πρὸς τὰς εὐεργεσίας (ὁρᾶτε δ' αὐτὰς ὁπόσαι, καὶ τὰς ὑπερβολὰς ὁρᾶτε τοῦ μεγέθους) τὸ ἱκανὸν ἐκπλῆσαι — ἀλλά γε τὸ πᾶν ὁπόσον οἷόν τε ἦν ἐς πλεῖστον ἐξ ὅλης ψυχῆς, ὅλης καὶ καρδίας καὶ διανοίας, ἀποδεδώκαμεν, καὶ εἰ μὴ τῆς ἀξίας ἐφικνούμενον (τοῦτο γὰρ παντὸς μᾶλλον ἀδύνατον), ἀλλὰ τῆς ἡμετέρας οὐκ ἐλλεῖπον δυνάμεως. Εἰ δέ τι καὶ συνεισηνέγκαμεν ἐκ τῆς πάνυ ταύτης προθυμίας ἐς τὰ κοινῇ χρήσιμα καὶ πάνδημον τὴν λυσιτέλειαν ἔχοντα, ταῖς σοφαῖς τοῦ βασιλέως ἐξυπηρετούμενοι μὴ λίαν ἀγεννῶς βυλαῖς καὶ γνώμαις, οὐκ ἐμὸν ἂν εἴη λέγειν, τοῦ δ' ἐγχρίναντος εἰς τοῦτο μοίρας καὶ διακονίας ἡμᾶς· παρίημι καὶ αὐτῇ τῇ

ἀληθείᾳ λέγειν (1) ἢ παρισᾶνειν, διαβολῆς ἢ συκοφαντίας καὶ φθόνου πάντος γενναιοτέραν τὴν ἰσχὺν ἐχούσῃ καὶ τὴν φωνὴν ὑψηλοτέραν, ἐπειδὴ καὶ πάντων ἰσχυρότερον, ἐμοὶ δοκεῖν, ἡ ἀλήθεια (2)· ὥσθ', εἴ τις καὶ ζῶσιν, εἴ τις καὶ τεθνεῶσιν, εἰκῆ καὶ μάτην ἡμῖν ἐπηρεάζειν ἐθέλει, ὑδὲν αὐτῷ πλέον ἔσται, τῶν πραγμάτων, ἅμα δὲ καὶ τῶν ἐπὶ τούτοις βαθέως συνιέντων καὶ ὀρθῶς εἰδότων κρίνειν, ἀντεπιβοώντων. « Μυῖαι » σαπροῦσιν ἔλαιον », φησὶν ὁ εἰπὼν (3), καὶ τὰ καλὰ ὁ φθόνος βουλήσεται (4) μέν, οὐ δυνήσεται δὲ παρὰ τοῖς νοῦν ἔχουσι καὶ δικαίως ἐξετάζειν καὶ διαιτᾶν αἱρουμένοις.

Οὐ μὴν ἀλλ', ἵνα μὴ περὶ τούτου πολλὰ λέγειν ἔχοντες, ἢ πάντα καθεξῆς πειρώμενοι λέγειν, ἑτέραν

(1) An excidit πῦρ?

(2) Veritas παγκράτης dicta fuit Bacchylidi Stob. tit. 11, 7. Æschines orator ibid. 16 : οὕτως ἰσχυρόν ἐστιν ἀλήθεια, ὥστε πάντων ἐπικρατεῖν τῶν ἀνθρωπίνων λογισμῶν.

(3) Eccles. x, 1.

(4) An repetendum σαπρίζειν animo? vix puto. Excidisse verbum videtur; ἀμαυροῦν, verbi causa, simile aliud. Obiter verbum restituam Libanio, quod amisit, t. IV, p. 862 : χρὴ δὲ τοσοῦτον αὐτοὺς (τοὺς σοφοὺς) τῶν λοιπῶν διαφέρειν, ὅσονπερ ἐκείνους τῶν ῥητόρων. Codex 2918, χρὴ δὲ τ[illegible] ὑπερβάλλειν τῶν λ[illegible], sententia melius procedente. Obiter ejusdem rhetoris locum tractabo, quem omissione nonnullarum vocum laborasse credidit Reiskius, falso, opinor. Libanius igitur t. IV, p. 11 : πολὺ διενήνοχε νίκη κλοπῆς, ἢ πολέμου κράτος μεμηχανημένης ἀπάτης· τὸ μὲν γὰρ τῷ κρείττονος ἀπόδειξιν ἔχει, τὸ δὲ τῷ χείρονας εἶναι τοὺς ἀπάτῃ πειρωμένους ἑλεῖν, ἃ δι' ἀνδρίας οὐ δεδύνηνται. Libri χείρονος, quibus addendus codex 963. Cui videbatur cum genitivo χείρονος locus esse mancus, Reiskius χείρονας scripsit, et vel sic alia in nota molitus est. Nil mutem; poscitur τῷ χείρονος ab antithetico τῷ κρείττονος. Sententia est : τὸ δὲ τῷ χείρονες ; εἶναι. . . « superioris vis » præstantiorisque hoc enim est » argumentum; tenuioris vero et » inferioris illud, esse scilicet » qui dolo ea rapere conentur » quæ sua non valent virtute ac » fortitudine. »

τῆς προκειμένης εἴημεν τραπέζης, ταῦτα μὲν δοκῶ μοι παντελῶς παρήσειν, καί γε τῷ Θεῷ θαρρῆσαι πάνυ εἰδότι καὶ φανερᾷ καὶ ἀφανῆ, καὶ χείρα ὀρέγοντι τῇ ἀληθείᾳ καὶ μηδὲν ταύτην ὑπ' οὐδενὸς μήτε κρατεῖσθαι μήτε καταπατεῖσθαι συγχωροῦντι· λοιπὸν δ' ἂν εἴη πρὸς τὸ προκείμενον ἐπανιέναι καὶ τὰ τῆς προθέσεως συμπεραίνειν.

Σκοπὸς γοῦν ἦν ἡμῖν περὶ τῶν ὑπαρχόντων διαθέσθαι καὶ τὴν ἐν τούτοις ἡμετέραν γνώμην εὔδηλον θεῖναι. Τοίνυν καὶ συμπεραίνομεν ἤδη, τὸν σκοπὸν πληροῦντες (1).

Καὶ βουλήσεως οὕτως ἔχομεν, ἐπὶ πᾶσι τοῖς ὅσι τὴν τοῦ βίου κοινωνόν, ἐπ' εὐδαιμονίᾳ τούτου πρὸς ὁμοψυχίαν ἐκ Θεοῦ συνηρμοσμένην, χειραν καθεστάναι, καί γε περὶ τῶν ἄλλων τῆς ἐμῆς ψυχῆς φροντίδα πεποιῆσθαι, πᾶν ὅσον γιγνόμενόν ἐστιν (2) ὑπὲρ αὐτῆς θεοφιλῶς πράττουσαν, καὶ τῆς περὶ ταύτην ἐπιμελείας οὐκ ἀπαλλατομένην. Καὶ μὴν ἐν τούτῳ τὴν σπουδὴν ἐχούσῃ ἐξέσται ταύτῃ πάντως καὶ τὸ δοκοῦν σύμπαν ἐκ τῶν πραγμάτων ἀναλῶσαι, μηδέ τινι τῶν ἁπάντων μηδαμῶς λόγον ὑπεχούσῃ, μήτε τῆς δαπάνης, μήτε τῶν πραττομένων. Καὶ παισὶ κλήρους χορηγήσει καὶ τοῖς γνησίως ἄλλως ἔχουσι πρὸς γένος.

(1) Sic vernacule « remplissant le but. » Sed qui diligenter scribunt talem loquendi modum fugiunt, cujus metaphora est inconcinna: scopus enim tangitur, non impletur; ad scopum pervenimus, eum non implemus. Sunt tamen vel boni scriptores qui ad hunc lapidem impegerunt, aliud agentes profecto. Possem, si his esset hic locus, Harpii, Campofortii, vivorum etiam eorumque excellentissimorum hominum, exempla in medium proferre.

(2) « Quod conveniens est. » Vid. de hac loquutione tom. II, p. 288, n. 2.

Καὶ οἰκέτας εὖ ποιήσει. Καὶ τἆλλα πάντα παρέξει κατ' ἐξουσίαν, ὡς καὶ ἡμῖν εἰρήσεται τὰ πλείω τούτων καὶ μᾶλλον ἀναγκαῖα λεχθῆναι κατὰ μέρος ἐκτεθέντα.

Ἀτὰρ ἐμοὶ οὕτω βεβουλημένῳ, ἅμα δὲ καὶ διατιθεμένῳ, ἀντιτίθησιν οὐδεὶς πάντως οὐδ' ἀπειπάγει τῶν νόμων, οὔμενουν οὐδ' ἀντιλέγει· ἀλλὰ καὶ θεῖος, ὡς εἰπεῖν, ἅπας θεσμὸς καὶ ἀνθρώπινος περὶ τοῦθ' ὁμοῦ φέρουσιν, ἐξεῖναί μοι ποιεῖν ἐπὶ τοῖς ἐμοῖς ὧν ὅσον βούλομαι. Ἅμα δὲ καὶ δίκαιον τί ἂν γένοιτο τούτου γε μᾶλλον, ἢ τὴν πάντων ὧν αὐτὸς μεμόχθηκα τὴν αὐτὴν ἐξ ἴσου μετέχουσαν, ἅτε καὶ μηδὲν ἧττον αἰτίαν γεγενημένην μηδ' ἔλαττον εἰς ταῦτα συμβαλομένην, ἐπ' αὐτοῖς τούτοις, ἐμοῦ ὑπεξιόντος, καὶ καθάπαξ ἐγκαταστῆναι; Ἐγένετο γὰρ ἡμῖν, καὶ πάνυ τι καλῶς ἐγένετο, τὸν οἶκον ἐπαυξῆσαι, οὐκ ἐκ τοῦ θερίζειν μόνον ὅπου καὶ ἐσπείραμεν, καὶ συνάγειν ὅθεν διεσκορπίσαμεν (1), καὶ γε τὴν εὐλογίαν μὴ μόνον ἐκ τῶν παρόντων, ἀλλά τι καὶ τῶν συνειδότων πάντων καὶ τὴν εὐθηνίαν ἡμῖν καὶ τἆλλα τῶν ἀγαθῶν συνευχομένων, καρπωσόμεθα· ὃς δὴ καὶ μόνος τρόπος ἀρούρας οἶδε παίνειν καὶ καρποὺς ἐκτρέφειν, καὶ γενναίας τὰς ἐπιδόσεις καὶ τοὺς πλεονασμοὺς εἰσφέρειν, ὡς τοῦ ἐναντίου γε παντὸς εὖ μάλα καὶ δικαίως καταξηραίνοντος, καὶ μήτε τὴν χεῖρα μήτε τὸν κόλπον πληροῦντος τῷ θερίζοντος καὶ συνάγοντος· ἀλλά τι καὶ ταῖς καλαῖς φιλοπονίαις, ἅμα δὲ καὶ πειναλέαις (2) τῆς

(1) Respectu ad hæc verba Matthæi xxv, 24: σκληρός εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας.

(2) Conf. similia apud Gregor. Nazianz. t. 1, p. 291 C.

πάντ' ἀρίστης (1) ταύτης καὶ θαυμαστῆς ὁμοζύγου. Οὐ γὰρ αἰσχυνοίμην λέγων, παντὸς μᾶλλον προτιμῶν τὴν ἀλήθειαν· ἐνευθήνησεν ἡμῶν ὁ βίος καὶ πλεῖστον εἰς ὅσον οἷόν τε ἦν ἐς τὰ μάλιστα προῆκε, τῶν ἄλλων, οὐκ ἐξ ἐλαττόνων τῶν ἀφορμῶν, ἀλλά γε καὶ πολλῷ μειζόνων, οὐ τὰ ἴσα κατακτησαμένων.

Ἐγὼ μὲν γὰρ ὅλον ἐμαυτὸν ἐπιδοὺς τοῖς τοῦ κρατοῦντος κελεύσμασι καὶ ταῖς ὑπὲρ τῶν κοινῶν πραγμάτων ἀσχολίαις, ἦγον οὐδαμῆ σχολὴν τῶν κατ' οἶκον ἐπιστρέφεσθαι καὶ προσαναλίσκειν τούτοις πόνους καὶ φροντίδας· αὕτη δὲ τὸ ἑαυτῆς ὅλον πληροῦσα καὶ τὸ ἐμὸν ἀντ' ἐμοῦ συνεισέφερεν. Ἐξ οὗ δὴ μὴ μόνον οὐδὲν τῶν ὄντων, ὅποι μὴ προσῆκε διαῤῥυὲν, παραπώλετο, ἀλλά τι καὶ πρόσοδοι ταύτῃ καὶ πορισμοὶ ἐκ δικαίων τῶν τρόπων ἐπενοήθησαν, καὶ περισσὰ τῷ οἴκῳ μετὰ πολλῆς τῆς περὶ τοὺς πένητας εὐσπλαγχνίας, πολλοῦ καὶ τοῦ περιαλγεῖν καὶ τοῖς δυστυχοῦσι συμπαθῶς ἐπικάμπτεσθαι, καί γε διαφέροντα τῶν ἄλλων γεγένηται, καὶ πολλῷ μᾶλλον ἐπαινετὰ, ἢ κατὰ τὴν θαυμαστὴν ἐκείνην, καὶ μόναις ταῖς τοῦ Σολομῶντος σοφίαις, οὐδαμῆ δ' ἄλλως, ἐξευρημένην, ἣν ἐγὼ σμικροπρεπῆ τινα καὶ χειρωνακτικὴν μᾶλλον νομίζω, πρὸς ἄτρακτον τὰς χεῖρας ἐρείδουσαν καὶ ταλασιῶν ἐπιμελουμένην, καὶ περὶ ἔρια καὶ ἱματισμοὺς καὶ δισσὰς χλαίνας, καὶ σιτηγίας καὶ τραπέζας οἰκετῶν (2), καὶ τοιαῦτα, τὸ σύντονον καὶ σπουδαῖον καὶ μεγαλοφυὲς δεικνῦσαν.

(1) Vide p. 125, n. 2. Athenæus I, c. 4: ὑπὸ τοῦ πάντ' ἀρίστου βασιλέως Μάρκου. Idem VIII, c. 63: ὑπὸ τοῦ πάντ' ἀρίστου καὶ μουσικωτάτου βασιλέως Ἀδριανοῦ.

(2) Prov. XXXI, 10: . . . γυναῖ-

Ἀλλ', ὅπερ ἔφην, τίνι μᾶλλον ἐπιτρεπτέον ἂν εἴη μεῖ' ἐμὲ τὰ κατ' ἐμὲ καὶ ἡμέτερα, εἰ μὴ καὶ παρὼν ᾖγε ταῦτα ἐπιτετράφθαι δεῖν ἔγνων, καὶ ἐπιτέτραπται. Αὕτη καὶ καλῶς ἅμα καὶ θεοφιλῶς οἰκονομήσει, καὶ, τὴν ἐπὶ πᾶσιν ἐξουσίαν καὶ ἐλευθερίαν τοῦ δρᾷν κατὰ βούλησιν ἀνέγκλητον παντελῶς καὶ κρείττω δικαστηρίου παντὸς ἔχουσα, πάντ' ἐσεῖται (1) συμφερόντως ἅμα καὶ κοσμίως διαπραξαμένη. Καὶ τοὺς κλήρους, πρὸς τὴν ἐμὴν ὁρῶσα γνώμην, οὕτως παρέξεται.

Πρῶτον μὲν οὖν ὑπὲρ τῆς ἐμῆς, ὅπερ ἔφην, φιλοπονήσει ψυχῆς. Καὶ τῆς φιλοπονίας ἔσται τὸ πρῶτον· τῇ τοῦ Θεοῦ μητρὶ, πρὸς ἣν καὶ ἐκ κοιλίας ἐπερρίφην μητρὸς, καὶ ἣν τοῦ βίου παντὸς κραταιὰν σκέπην ἐθέμην, ᾗ δὴ καὶ προσεκπνεύσω ἡδέως τὸ πνεῦμα προέμενος, κακίᾳ μὲν πάσῃ καὶ πονηρίᾳ δεδουλευκὸς, πίστιν δ' ὅμως ὀρθὴν καὶ τὴν εὐαγγελικὴν περισῶζον,

κα ἀνδρείαν τίς εὑρήσει; . . . μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς . . . καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις.

(1) De hoc futuro t. II, p. 426. Theodorus Prodr. De sap. p. 4: ἀπαίδευτος ὁ τοιοῦτος ἐσεῖται. Ibid. p. 9: ἐφ' ἧς μὴ τὸ φιλόσοφον ἄρχοι πόλεως, τὸ δὲ χρηματιστικὸν ἐπιτάττεται, οὐκ ἄν ποτε γαλήνης εὐνομία ἐσεῖται· νῦν δὲ * ἄλλως ἢ ἐχρῆν ἔχει τὸ πρᾶγμα. Rescribas e codice regio 3059, et e Vaticano in Notit. Mss. t. VIII, II, p. 101: . . . χρηματιστικόν τε καὶ στρατιωτικὸν ἐπιτ. . . . ἐσεῖται· νῦν δέ· ἀλλ' ἄλλως. . . . Idem Tetrast. p. 30: Δεῦρο φάτε, πρόπολοι· τὶ τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι; Πλαζομένην ῥείθροισι θίβην λάζεσθέ ἑ ἅβρα· Λαζόμεθ'· ἔν γε τ' ἀθρεῖτ'· ἄφενος ῥά οἱ ἔλπομεν εἶναι· Νηπίαχος τόδ', ἄνασσα· ἀτάρ γέ μοι υἱός ἐσεῖται. Codex 2831 habet, v. 2, λάζεσθέ οἱ αὖραι, et alias varietates, quibus usus sic locum refingo: . . . Πλαζ. ῥεέθροισι θίβην λάζεσθε, αἱ ἅβραι. — Λαζόμεθ'. — Οἴγετ'· ἀθρεῖτ'· ἄφενός ῥά οἱ ἔλπομαι εἶναι. — Νηπίαχον τόδ', ἄνασσα. — Ἀτάρ γέ μοι υἷὶς ἐσεῖται. Conf. mox pag. 336, n. 2.

καὶ διὰ ταύτην μόνην καὶ τὰς ἐν τῷ βίῳ γενομένας ἀντιλήψεις θαῤῥοῦν, μηδὲν ἐμποδὼν τῆς τῶν ἐμῶν τρόπων γεγενημένης φαυλότητος, ταύτῃ δή, καὶ διὰ ταύτην τῇ ἀνατεθειμένῃ ταύτῃ μονῇ καὶ παρ' ἡμῶν ἐξ αὐτῶν ἱδρυμένῃ χρηστίδων, χρυσίου νομίσματα καθοσιῶσαι (1)· ταύτῃ καὶ τὸν ἐμὸν χοῦν περσρίψαι καὶ βόρβορον, τὸ μιαρὸν σῶμα, καὶ κρύψαι τὸ ἀκάθαρτον· τῷ καθαρῷ ἐδάφει τοῦ ἱεροῦ, μηδὲν μὲν τούτου μηδ' ἅπτεσθαι πρόσηκον, ὅτι μηδὲ θεμιτὸν ἀκάθαρτον ἔγγυς ἱέναι τῶν καθαρῶν, καὶ διὰ τοῦτο μακρὰν ἀποκηλάσθαι μᾶλλον δίκαιον, καὶ ἐξῶσθαι καὶ ἀπερρίφθαι ἀχρεῖον ἐν ἀχρείοις καὶ βέβηλον ἐν βεβήλοις. Καὶ ὡς (2) ἔχει δὲ κείμενον ἀνακάλεσαι σὺ, πάναγνε παρθένε, καὶ μῆτερ τοῦ πρὸς ζήτησιν ἐλθόντος τοῦ πλανηθέντος (3) καὶ πάσαις ἁμαρτίαις καὶ τοῖς ἐσχάτοις κακοῖς ἐγκατολισθήσαντος πλάσμαλος, καί γε τὰς χεῖρας τείναλος ἐν σταυρῷ, οὐχ ἵνα δὴ καὶ ἀνελκύσῃ καὶ ἀνακαλέσηται καὶ σώσῃ μόνους δικαίους καὶ τοὺς ἧττον ἁμαρτηκότας, ἀλλ' ἵνα πάντας ἐκ χειρὸς ἁρπάσῃ τοῦ πονηροῦ, καὶ τῶν κατὰ τὴν ἰδίαν εἰκόνα γεγενημένων οὐδαμῶς ὁτιοῦν ἀπολεσθῇ. Ναὶ, καὶ τὸν ταῖς ἀσωλίαις ἐμὸν φθαρέντα χοῦν ἀνακάλεσαι, καὶ τὴν ψυχὴν ταύταις (4)

(1) Relictum est hic, ut et infra non semel, spatium vacuum, quo nummorum numerus, nondum a testatore constitutus, postea posset inscribi.

(2) Codex, ὡς.

(3) Respectu ad parabolam boni pastoris Matth. XVIII, 12: ἐὰν γένηταί τινι ἀνθρώπῳ ρ' πρόβατα καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ, ἀφεὶς τὰ ἐνενήκοντα ἐννέα, ἐπὶ τὰ ὄρη πορευθεὶς, ζητεῖ τὸ πλανώμενον; Conf. Luc. XV, 4.

(4) De animis peccatorum stigmatis et vibicibus maculatis vide t. III, p. 115, n. 2. Nilus Epist. 129: αἵματι τὰς κηλῖδας μὴ ἀποπλύναδαι, ἀλλ' ἐστιγμένον εἶναι

κατεσθιγμένην (ὀργῆς ὁπόσον) εὐμενῶς πρόσου (1) καὶ ἴασαι, καὶ μὴ ἀποστρέψῃς ἀπὸ τοῦ παιδός σου τὸ τῆς σῆς ἐπισκοπῆς κοσμοσωτήριον πρόσωπον. Ἔδει μὲν γὰρ ἡμᾶς μεθ' οὗ καὶ ἀνεπλάσθημεν σώματος αἵμασι θείοις Χριστοῦ ἐκλέξασθαι παραρρίπτεῖσθαι μᾶλλον διὰ βίου πανὸς ἐν οἴκῳ τῷ σῷ (καὶ εἶχεν ἂν ἡμῖν τοῦτο καλῶς) · ἐπεὶ δὲ τοῖς τοῦ ἀπατῶντος καὶ κτείνοντος ἐμπαιγμοῖς καὶ μηχαναῖς, καί γε μοχθηρᾷ τῇ προαιρέσει, ἡ πρὸς τὴν θείαν εἰκόνα δημιουργηθεῖσα ψυχὴ σκηνώματι ἁμαρτωλῷ μᾶλλον ἠγάπησεν ἐγκατοικεῖν (αὐτὸ δὴ λέγω τὸ δυσῶδες σκῆνος), καὶ ἔτι ζῶν, ἅτε δὴ καὶ πάσης γέμον ἀκαθαρσίας, νῦν ὧδε νεκρὸν ἀφῆκε σπιγμάτων γέμον καὶ ἐῤῥιμμένον ἐπ' ἐδάφους τεμενισμάτων (2) τῶν σῶν · σὺ δὲ πάντως εὐμενὴς, συμπαθὴς, ἵλεως, καὶ γεργετήκοος (3) πρὸς ἱκεσίας, καὶ σπλαγχνίσθητι τοίνυν ἐπὶ ἀσώτῳ ψυχῇ καὶ σώματι, καί γε ταῖς κακίσταις ἐπιθυμίαις καὶ ἡδοναῖς ἀτόποις ἐκλόπως δεδουλευκόσι, καὶ τὴν ἐμὴν γῆν ὅλην τῷ πονηρῷ Βελίαρ καὶ ταῖς ἁμαρτίαις καταπεπαλημένην τῇ τῦ ἱεροῦ μίξον γῇ, καὶ σῶσόν γε τῇ ταύτης δυνάμει · τὴν δὲ ψυχὴν,

ταῖς ἀνομίαις! ubi Possin. Adde Vict. Clericum ad Eclogas e Platone p. 493.

(1) In Juliani Epist 41, p. 77, πρόσου mutandum fuit in πρόσου » accipe », non in προσοχῆς. Vid. Misc. Observ. t. v, p. 226, ubi de vera scriptura monitum fuit.

(2) Codex, πνισμάτων.

(3) Sic codex. An καί γ' ἐπήκοος ? An composito pessimo, ᾧ σπλαγχνήκοος ? Modo percurrebam Aristotelis libellum De virtutibus, cui forsan compositum dandum est, non vulgare. Πεφύτευτός ἐστι, ait, τὸ μὴ εὐκίνητον εἶναι πρὸς τὰς ὀργάς. Scriptura codicis 963 παχυτητον me ad id duxit, ut opinarer posse legi παχυκίνητον. Ceterum non multum in tali auctore codici illi valde recenti tribuerim ; præsertim quum in locis similibus adjectivo εὐκίνητος constanter philosophus utatur.

ὅποι σὺ βούλει, ταῖς πρὸς τὸν υἱὸν μεσιτείαις (πείθεται γάρ, καὶ πρεσβεύσης ἑτοίμως ἐπακούει), πόρρω που πάσης αἰεὶ μενούσης μάσλιγος καὶ βασανιζούσης ἀθάνατα πέμφον.

Οὐ μὴν ἀλλ', ἐπειδὴ ταῦτα, δέον ὂν ἔν γε τῷ παρόντι καὶ διὰ παντὸς ἱκετεύειν, καθικετεύσαμεν, κἂκ τῶν ὧν τῷδε τῷ βίῳ περὶ ἡμᾶς πλείστων ὅσων γεγενημένων ὧν εὐεργεσίαις θαυμάτων ἔχομεν καὶ περὶ τῶν μελλόντων θαρρεῖν, καὶ τῶν πρὸς σωτηρίαν οὐκ ἀπογινώσκειν ἐλπίδων, φέρε δὴ καὶ τοῖς ἑξῆς προσβῶμεν τοῦ συνταχτηρίου καὶ διατάγματος.

Τί γοῦν; τοῖς ἐμοῖς βασιλεῦσι πολλὰ δεδωκόσιν ἐπεὶ μηδὲν ἀντάξιον ἀπεδώκαμεν, οὔτ' ἔχομεν ἀποδοῦναι, κἂν ὅλην τὴν χεῖρα προσοίσωμεν (1) γέμουσαν, ἀπολειφθῆναι διὰ τοῦτο δεῖν εἶναι (2) καὶ τοῦ παντὸς ἡγησόμεθα; ἀλλά πονηρί τινες πάντως καὶ ἀγνώμονες δικαίως ἀκούσομεν. Ὅθεν εἰ καὶ μή τι οἷον καὶ ἀξιόχρεων, ἀλλ' ἀποδοτέον ὁπόσονοῦν, δείγματος εὐγνωμοσύνης ἕνεκεν, χρυσίου νομίσματα , καὶ διαιρετέον ἐξ ἴσου τῷ τε πατρὶ καὶ βασιλεῖ, καὶ τῷ υἱῷ καὶ βασιλεῖ (3).

(1) Codex, προσυίσομεν. Visum est permutationem fuisse factam vocalium ω o. Æschylus Choeph. 181 : Καμοὶ προσίζει καρδίας κλυδώνιον Χολῆς· ibi scholium : κίνησις τῆς χολῆς τῆς κατ' αὐτόν. Qui conjecit vir d. κατ' αὐτήν, debuit saltem conjicere κατ' αὐτῆς· propono κατ' αὐτῶν, scilicet Ægisthi et Clytemnestræ. Pletho Laudat. Hypomon. p. 3 : καὶ δὴ καὶ περὶ τῶν πλουτῶν τῶν πρὸς οἰκείων καὶ φίλων καὶ ἡμῶν αὐτῶν οὕτω διατοῖσθαι, ὡς ἀποδημιῶν τῷ ἀμείνονος καὶ κωλιωτέρου ἡμῶν οὐσῶν εἰς δὴ πᾶσα αὐτῷ προσήκοντα χώρον, ἀλλ' ἢ τῷ παντὸς ὀλίθρου. Malim codicis 963 scripturam ὀλέθρων, qui genitivus genitivos πλουτῶν et ἀποδημιῶν rite consequitur.

(2) De qua loquutione vide supra p. 296, n. 2.

(3) Andronico Seniori et Andronico Juniori.

Μετὰ τοῦτο, παῖδας ἡμῶν, ἡ Φιλόπαις σὺ πασῶν μᾶλλον μήτηρ, ἐπῳσκεψαι, οἳ δὴ καὶ τέτταρες μὲν ἡμῖν υἱοὶ, θυγατέρες δὲ δύο γεγένηνται.

Καὶ τούτων τὴν πρώτην, νύμφην Θεῷ τῷ βασιλεῖ πάντων ἐκοῦσαν ἑκόντες φέροντες ὠνηρμόσαμεν. Καὶ γένοιτο ταύτην μήτε τοῦ νυμφῶνος μήτε τῆς θείας παστάδος ἀποστῆσαι, μήτε τῆς ἐκεῖθεν λαμπρότητος. Ὡς μὲν ὃν καὶ συμπαραμείνοι, καὶ δι' αἰῶνος ἕστιαι τῷ νυμφίῳ συνδεδεμένη, μηδὲν λυθεῖσα τῆς ἐκείνου φαιδρότητος, δίδωσι θαρρεῖν καὶ τοῖς φαινομένοις, ὅλην τὴν ψυχὴν ἐξόστισθεν αὐτὸ πορευομένην θεῖσα, καὶ τὴν καρδίαν ὅλην δεινῶς τῷ πόθῳ βεβλημένην καὶ τετρωμένην ἀσφαλῶς αὐτῷ προσκολλήσασα, καί γε τῆς ἐκείνου δεξιᾶς ἀντιλαμβανομένης ἐξημμένη καὶ πρὸς τὴν ἐν αὐτῷ χειραγωγούσης κατάπαυσιν. Ταύτῃ τοι καὶ ὀλίγα ταύτῃ δεομένῃ τῶν κάτω, ὅτι μὴ καὶ μόνων τῶν ἀναγκαίων τῇ φθειρομένῃ ζωῇ, ὀλίγα καὶ ἡμεῖς ἀπεμερισάμεθα, τὸ δόξαν ἱκανὸν ἱκανῶς χορηγήσαντες.

Τὴν ἐμὴν μεγάλαις μὲν Θεοῦ δωρεαῖς, ὑπερβολαῖς δέ τισιν οἰκτιρμῶν τοῦ δι' αὐτοῦ βασιλεύοντος, εὐδαιμονεστάτην καὶ εὐτυχεστάτην βασίλισσαν (1), ὁ αὐτὸς βασιλεὺς, οὕτω τοῦ Θεοῦ κινήσαντος καὶ δόξαν αὐτῷ, νύμφην ἐφ' ᾧ δὴ καὶ εἵλετο τῶν υἱέων ἠγάγετο, ἀεισίῳ τὰ πάντα καὶ καλλίσῃ (2). Καὶ ὑμεῖς ὁρᾶτε πάντως καὶ μετ' ἐκπλήξεως ὡσανεὶ τὴν χρησιότητα τῶν τρόπων θαυμάζετε, ἧς ταῖς περιουσίαις καὶ τὸν

(1) Annotator recentissimus, quem Boivinum esse suspicor, ad marginem codicis : « Irenen, » quæ postea Eulogia nominata » est. » Nupserat Joanni Palæologo : vide supra t. 1, pag. 293.

(2) Idem annotator : « non- » dum itaque obierat Despota » Chumni gener. » Vide tom. 1, pag. 306.

ἐμὸν ὅλον πόθον πρὸς ἑαυτὸν ἑλκύσας ἐμὲ κενῶσαι πεποίηκεν. Ἀλλ', ὦ μοι σὺ καλλίστη συζυγία ἐξ ἀμφοτέρων τῶν γενῶν ἀνδρῶν καὶ γυναικῶν κατ' ἐκλογὴν ἡρμοσμένη, καὶ θαυμασιωτάτη ξυνωρὶς, μὴ τῶν ἄλλων πάντων μόνον ἐμοὶ, ἀλλὰ καὶ αὐτῆς προτιμωμένη πνοῆς καὶ ζωῆς, σοῦ χάριν καὶ ὁ θάνατος ἐμοὶ μνημονευθεὶς, μετὰ τοὺς πρώτους ἐκείνους καὶ μεγάλους φόβους, ἔτι δηκτικώτερος καὶ πικρότερος γίγνεται, ὅτι σε οὐκ ἔτ' ὄψομαι (1), οὐδ', εἴ τί γε κἀν τοῖς ἐν ᾅδου φρικτὸν καὶ ἀηδές (μᾶλλον δὲ, οὐχ ἓν τοῦτο· ἔσονται δὲ, οἶδα, πολλὰ καὶ χαλεπὰ ἀξίως εἰς δίκην τῶν ἐνταυθοῖ κακῶς βεβιωμένων), σὺ πρὸς θέαν ἰοῦσα διαλύσεις, ἢ τό γε δεύτερον κουφότερα ποιήσεις τὰ στυγνὰ ταῦτα καὶ σκυθρωπὰ, ὡς ἐν τοῖς παροῦσι πᾶσαν ἐξ ἀνιαρῶν συμβαμάτων κουφίζεις καὶ τελέως ἐξαίρεις πικρίαν μόνον ὀφθεῖσα· καί γε βρασμὸν καταπαύεις καρδίας σβεννῦσα, καὶ θραυσμὸν θεραπεύεις, καὶ κοιμίζεις ψυχῆς παθαινομένης καὶ λογισμῶν τάραχον. Τί τοῦ σοῦ χωρισμοῦ πρὸς κόλασιν δραστικώτερον; πῶς οἴσω, τοὺς ὀφθαλμοὺς μύσας, μᾶλλον δ' ὅλους ἐῤῥυηκότας ἀποβαλόμενος, τὸ σὸν κάλλος καὶ τὸ τοῦ προσώπου ἄνθος καὶ τὸ τῆς μορφῆς ὡραῖον ἀθέατον; Τίς ἀνθ' ὑμῶν ἐν ὁμιλίαις ἐσεῖται (2) γλυκαίνων καὶ στυγνάζοντα παρακαλῶν καὶ παραμυθούμενος, τῷ χωρισμῷ ἢ καὶ ταῖς ἐκεῖσε (3) μάστιξιν ὀδυνώμενον; Οἴμοι, ὅτι με

(1) Similes querelas, ut philosophis et christianis indignas, ac prorsus indecoras, vituperat Joannes Chryst. Eclog. p. 229: εἰ γὰρ ἐπίστευον ὅτι ὁ τετελευτηκὼς οὐ τετελεύτηκεν, ... οὐκ ἂν τοιαύτας ἀφῆκαν φωνὰς ἀπιστίας γεμούσας, « οὐκέτι σε ὄψομαι. »

(2) Conf. p. 331, n. 1.

(3) Ἐκεῖ ἐκεῖσε de animarum post vitam habitatione, et ἐνταῦθα ἐνθάδε ἐνταυθοῖ (conf. modo

λίθος καλύψει βαρὺς καὶ τάφος συγκρύψει, καὶ, ὑμῶν τῷ φίλτρῳ κεκινημένων καὶ προσιόντων, καὶ γεραῖς φωναῖς ἀνακαλουμένων τὸν πατέρα, κόνις ὢν κωφὴ καὶ ὀστᾶ μόνα γεγυμνωμένα πάσης σαρκὸς καὶ αἰσθήσεως, ὁ τὰ πολλὰ νῦν ἐγὼ λαλῶν, οὐδαμῆ οὔτε τῆς φωνῆς ὑμῶν οὔτε τῆς λαλιᾶς ἐπαΐων γνωσθήσομαι! Ἀλλὰ περιττὸν ἴσως ἐπὶ τοῖς τοιούτοις μηκύνειν, ἐπεὶ μηδὲ μονῳδία τὰ παρόντα καὶ τραγῳδία καὶ θρῆνος ἐπιτάφιος, μνήμη δὲ μόνη θανάτου, καὶ, ὡς ἐν βραχέσι φάναι καὶ καθόσον προσήκει τῷ λόγῳ, τὰ ἐξ ἀνάγκης τῇ ἀνθρωπίνῃ φύσει, θνητῇ γε οὔσῃ, παρεζευγμένα. Ὅθεν καὶ, ἀφέμενος τούτων, ζῴης ἐς μήκιστα φημὶ χρόνων μηκίστων (1) καὶ συνευφραίνοιό γε καὶ συναγάλλοιο, καὶ λάβοις μηδεμίαν μηδέποτε πεῖραν μηδενὸς τῶν λυπούντων, Θεοῦ διὰ τῶν εὐθυμοτέρων ἀεὶ τὸν βίον ὑμῖν ἄγοντος καὶ τρυφὴν ἀκραιφνῆ χορηγοῦντος, ἀμέμπτοις ἐν ταῖς ἐντολαῖς αὐτοῦ καὶ τοῖς δικαιώμασι, καὶ τοῖς ταῖς τρίβοις ὑμῶν φῶς ἐμποιοῦσι προστάγμασι (2) καὶ πρὸς αὐτὸν ὀρθῶς ὁδηγοῦσι, πορευομένοις· οἷς καὶ τὸ ἐμμένειν ἀεὶ, καὶ μηδαμῆ παρεκκλίνειν μηδὲ παρενηνέχθαι, μηδὲ τοὺς πόδας ἥκιστα πρὸς λίθον δόξαι προσκόψαι, σκληρὸν ἴσως καὶ τὴν καλὴν συνείδησιν θραύοντα λογισμὸν ἐξ

p. 336, 11), de hac terrena usurpari monui, t. I, p. 105, n. 2, et ad Choeph. 348. Adde Blomf. Gloss. ad Choeph. 353.

(1) Conf. similia t. III, p. 391, n. 1, ubi pro ζώοις velim scribi ζῴης, ut et t. IV, p. 24, n. 1, in Andreopuli loco. Aristænetus I, Epist. 21 habet, ζώοις, quod nunc mutem in ζῴης. Ad Aristæneteum ζώοις Hemsterhusius quidem non offendit, quum in Lucianum D. M. VI, 5, commentaretur; sed ad talia cæcutire facillimum est. Bastius ad Aristænetum Lucianeum ζῴης in ζώοις mutabat, non audiendus.

(2) Conf. Psalm. CXVIII, 105.

ἀκροτόμου καὶ ἀκάρπου καρδίας (1), ἔρχειν ὑμῶν ἐπιμελὲς, καὶ ταῖς ἀπάντων κείμενον γλώσσαις καὶ πάνυ τι θαυμαζόμενον σπούδασμα. Καὶ χθὲς ἡμεῖς ὑμῖν οὐ τὸ πᾶν ἐσμὲν μόνον φίλτρον καὶ πόθον τὸν ὅλον, ἀλλά τι καὶ τὸν ὅλον σχεδὸν πλοῦτον κενώσαντες, καὶ δέει τῶν ὑμετέρων (2) ὑμῖν ὀδενὸς ἔτι· μικρὸν δ' ὅσον πρὸς μητρὸς λήψεσθε, τοῦτ' ἴσθι καὶ ἐμοὶ δεδομένον καὶ κατὰ γνώμην γεγενημένον.

Σὺ δέ μοι τῶν υἱέων ὁ πρῶτος (3), τὸ ἐμὸν ἐντρύφημα καὶ καλλώπισμα, ὁ τῆς ἐμῆς καυχήσεως λαμπρὸς στέφανος (4), ἡ γλυκεῖα καὶ κατάκρως (5)

(1) Si non totus esset Chumnus in Bibliorum imitatione, quam et hic inesse ob adjectivum ἀκροτόμου suspicor, ob alterum ἀκάρπου suspicarer meminisse Æschylei versiculi in Septemthebana de Amphiarao: Βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος. Cujus sedem quæsiturus quum Æschyli volumen in manus sumerem, forte oculos advertit Choephorarum locus v. 419: Λύκος γὰρ ὥς τ' ὠμόφρων ἄσαρκος ἐκ μητρὸς ἔστι θυμός· ibi quod est ad ὠμόφρων adpositum scholium, ἀκολάκευτος, ad ἄσαρκος adponatur. Atque obiter de eo loco monebo passivam significationem ἀκολάκευτος nomini ἄσαρκος tributam mihi quidem activa placere minus, qua est usus Hesychius (ἄσαρκος, οὐ σαίνων); ita ut sit ἄσαρκος θυμὸς « ira non blandiens », epitheto apprime comparationi a lupo petitæ idoneo; quum sit lupus ex animalium genere quæ σαίνουσι et cauda leniter attrita adulantur. Præcedentia τὰ δ' οὔπω θέλγεται leviter immutaverim, sic: τάδ' οὔπω θέλγεται· fitque sensus valde bonus ac tragicus: « hæcce » (ego videlicet, hicce videlicet animus; quibus cum verbis gestu se tangebat ipsam Electra, pectus manu feriens) « non mulcentur nec » deliniri queunt; a matre enim » acceptus intra me fervet animus, qui, lupus ceu rabidus, » blandiri nescit. »

(2) Prius fuit ἡμετέρων.

(3) Joannes, puto, Chumnus, qui fuit cubicularius: vide t. I, p. 290. Huic parentavisse videtur Niceph. Gregoras oratione, cujus lemma protulit Fabricius Bibl. Gr. t. VII, p. 645.

(4) Videtur meminisse verborum Salomonis Prov. XVII, 6: στέφανος γερόντων τέκνα τέκνων, καύχημα δὲ τέκνων πατέρες αὐτῶν.

(5) Id adverbium est e rarissi-

θέλγουσα ἐρατεινὴ ὄψις, καὶ τῆς ἐμῆς ὅλης ψυχῆς, καρδίας ὅλης, στοργαῖς ἀῤῥήτοις ἐς βάθος ἐφικνουμένη, σκόπει μοι καὶ μακρόθεν καὶ ἐκ τῶν νῦν τίς ἂν καὶ μετ' ἐμὲ γένοιο καὶ ὅσος, εὐγνώμων ἅμα καὶ πρόθυμος πάντα καθυπείκειν μητρὶ, καὶ φίλα πράττειν αὐτῇ καὶ κεχαρισμένα, Θεοῦ ταῦτα νόμοις κεκελευσμένος. Ἔχεις γὰρ οὐδὲν ἱκανὸν οὐμενοῦν, οὐδ' ἄξιον, οὔτε τῶν ἐπὶ σοὶ ὠδίνων, οὔτε τῶν τροφείων, οὔτε τῶν ἄλλων ὧν ἔτυχες καλῶν, ἐκπλῆσαι, κἂν σεαυτὸν ὅλον πρόῃ, ζωῆς ὀλιγωρήσας. Τί γάρ; εἰ, ὅπερ εἴληφας, ἀποδῷς, σύμπηξιν σώματος ἐν σπλάγχνοις μητρικοῖς, ἅμα δὲ καὶ ψυχῆς πρὸς τοῦτο δεσμὸν, καὶ σὺν μόχθῳ γέννησιν, Ἰὼβ λέγει (1), καὶ τἆλλα ὅσα καθεξῆς ἀπήντησεν τρεφομένῳ καὶ αὐξανομένῳ καὶ

mis. Poetaster de Eumathii Hysmenia in Catalogo bibliothecæ Taurinensis : Προθεὶς ἔρωτι ὄξεσι ψυχοφόροις Τόξοις κατάκρως Ὑσμινίας καρδίαν Ἄτακτον ὁρμὴν τῶν παθῶν πείθει νέους Φεύγειν κρατεῶς, ὡς κακῶν παραιτίαν. Ἔρως ὅσαπερ προξενεῖ βλέπων πάθη, Φεύγειν τὰ τοῦδε κέντρα βουλήθη τίμοι. Tam male lectis aut tam male descriptis versiculis juncta est versio pessima. Legendum : Τρωθεὶς ἔρωτος ὀξέσι ψυχοφθόροις Τόξ.....κραταιῶς....βουλήθητί μοι. Ibidem sunt de eodem argumento alii versiculi in multis corrupti, quos emendabo : Ὁ μὲν Σολομὼν ἀσματοψαλμογράφος Ἔφθη προειπὼν γραφικαῖς Παροιμίαις (v, 2.....) · Μήπω νικησάτω σε γυναικὸς, τέκνον, Ἐπιθυμία πλὴν ἰδίας ἀλόγου (f. ἀλόγως · melius συζύγου) · Καὶ γὰρ γλυκύ τι ἐκρέει τῶν χειλέων Αὐτῆς τὰ πρῶτα, κἂν δοκεῖ (imo δοκῇ) σοι, τεκνίον, Μέλι γλυκαῖνον οὖσα καθάπερ ἄλλο (?) · Ἀλλ' ὕστερον φεῦ! προξενεῖ σοι πικρίαν, Πικνοῖς (imo πυκνοῖς) οἰστοῖς σὸν δαμάζουσα κέαρ. Καὶ ταῦτα γλώττῃ (imo γλῶττα) Σολομώντειος ἔφη. Ἄθρει, θεατὰ, τοιγαροῦν τὴν τῆς βίβλου Ἐρωτικὴν πλακεῖσαν ὑφὴν καὶ φράσιν Καὶ νοῦν ἔχουσαν ἀφροδισίων τρόπων, Ἥτις καθαρῶς ἐστι πρώτη (an πρῶτον?) γλυκύτης, Ἐσύστερον δ' αὖ πικροπερφόρον (imo πικροπυρφόρον) βέλος. Ἀρχῇ (leg. ἀρχῆς) τὸ λοιπὸν ἁπάσης σκόπει τέλος. Ibidem rursus : Ἔρωτι βληθεὶς Ὑσμινίας καρδίαν Ἔρωτα φεύγειν προτρέπει πᾶσι νέοις · Ἔρως γὰρ ὀξύτερον τιτρώσκει βέλος · imo βέλους.

(1) An Job. XIV, 1?

πρὸς τοῦθ' ἡλικίας καλῶς ἐληλακότι (ἀπαντήσοι δὲ καὶ γῆρας βαθὺ καὶ πῖον (1), ὡς καὶ νοῦς, κατὰ τὰς εὐχὰς ἡμῶν, ἀπάντησε βαθὺς καὶ πολιὸς, πάντος περανακύψας τὸ τῷ χρόνῳ προσήκοντος, καὶ πρεσβυτικὴν σύνεσιν ἐν νεαζούσῃ (2) θεὶς καρδίᾳ καὶ γηραιοὺς λογισμούς)· εἰ τοίνυν καὶ τὰ πρῶτά σοι τοῦ εἶναι παρὰ μητρὸς, καὶ τὰ καθεξῆς δὲ καὶ τοῦ εὖ εἶναι τὰ μὲν ἐπιμελείαις συνῆλθε, τὰ δ' εὐχαῖς μητρικαῖς, τί ἂν χρὴ ὅσον ὑπὲρ πάντων τούτων ἀποδοὺς, πᾶν ὅσον προσῆκον φανείης ἂν ἀποδεδωκώς; Ἐπεὶ δὲ μὴ ἔχεις, δὸς ὅσον ἔχεις, τιμὴν τὴν μὴ κατὰ μέτρον, ἀλλ' ὑπερβολαῖς τισι προσεννενοημένην· ὅσον γὰρ ἂν δώσεις (3) πλέον, τοσοῦτον καὶ κερδανεῖς πλέον. Ἐνταῦθά μοι κένωσον καὶ τὸ ἐμοὶ ἐπιβάλλον, καὶ πᾶν τὸ πρὸς ἀμφοτέρους, τοῦ πατρὸς ὑπεκστάντος, τῇ μητρὶ πρᾶξον, εὐγνωμοσύνην ἀνόθευτον ἐπὶ τούτοις, ὑπακοὴν σεμνὸν, ἐκπλήρωσιν ἐντολμάτων, τὸ πάντ' ἕτοιμον εἶναι τοσαύτῃ καὶ τοιαύτῃ θεοφιλεῖ μητρὶ πειθαρχεῖν καὶ φιλόπαιδι, σοὶ πρῶτον τὴν ὄνησιν ἔχοντα πλείστην καὶ μεγίστην. Καλόν σοι καὶ μάλα τι συνοῖσον εὐσέβειαν μητρικὴν εὐλαβεῖσθαι, καὶ τὴν πολλὴν αὐτῆς ἐν πᾶσι θεραπεύειν εὐλάβειαν. Ταῦτα δὴ πράττε· καὶ τοῖς ἀδελφοῖς ἀντὶ πατρὸς ἔσο, φιλόπαις ὁμοῦ καὶ φιλάδελφος, εἰρήνην τὴν μετ' αὐτῶν καὶ πάντων μεταδιώκων, ἀγάπην ἐν εὐθύτητι ψυχῆς ἣν Θεὸς ἐγκελεύεται. Ὑπερηφανείας ὑπερφρονητὴς ἴσθι, κατ' οὐδενὸς μὲν τῶν ἄλλων, καθ' αὐτῆς δὲ καὶ μόνης ὅλας

(1) Conf. t. 1, p. 455, 18.

(2) Ad hanc antithesim conf. p. 162, n. 8.

(3) Puto scripsisse δώσῃς: nihil mutavi, quum esset inter duas malas lectiones eligendum.

τὰς ὀφρῦς ἐπῃρμένος, καὶ γενναῖός τις περὶ αὐτὴν ἀεὶ παρατεταγμένος, ὥστε μή τι φανῆναι ταύτῃ δεδουλωμένος. Ἀδικίαν ἐξ ὅλης ψυχῆς βδελυξάμενος μίσησον. Καί γ', ὧν τούτοις ἔχων καὶ κατευθύνων, πᾶσιν ὦν ἀγαθοῖς ζῆθι, καὶ τῶν τοῦ πονηροῦ πασῶν μηχανῶν ἀνώτερος καὶ ὑψηλότερος περισώζου, μηδὲν τοῖς αὐτῶ κέντροις μήτε σαλησσόμενος, μήτε βλαπτόμενος. Βλάψοι σε δὲ κὴ μηδεὶς ἕτερος, ταῖς ἐκείνου μεθοδείαις (1) κὴ τέχναις κεχρημένος, καί γε φανερῶς ἐπιβουλεύων ἢ ἀφανῶς βλάπτων. Καὶ ἔντεινε καὶ κατόρθου, ἐπιβαίνων καὶ καταπατῶν καὶ δράκοντα μὲν σκολιὸν σκολιά σοι σοφιζόμενον καὶ ἐπινοοῦντα, ἀλλὰ καὶ λέοντα (2) ὠρυόμενον κὴ ἅρπαγμα κὴ βρῶσιν τὴν σὴν ψυχὴν ἐκζητοῦντα (3). Στέργε καὶ ὅσον ἔλαχες εἰς κλῆρον, ἡμῶν προικά σοι καὶ μερισάντων κὴ τελέως ἀποτισάντων. Καὶ νῦν δὲ τελευταῖον μέρος χάριν ἑτέραν ἀπειληφὼς ἔχε, νομίσματα χρυσοῦ , ἢ εἴ τι ἕτερον τῶν ἡμετέρων τοσοῦτον ἂν ἀποτιμηθείη, ἀγαπῶν ὦν τούτω.

Οὐ μὴν ἀλλ' ἐπισπερχέον ἤδη καὶ πρὸς σέ μοι τὸν δεύτερον μὲν τῷ χρόνῳ, μηδὲν δ' ἧττον ἀποφερόμενον σπουδῆς ἡμῶν καὶ φίλτρου, ἅτε δὴ καὶ μηδὲν ἧττον τῆς πατρικῆς μετέχοντα σχέσεως κὴ τῶν ταύτῃ προσηκόντων. Ὡς γὰρ πρὸς ὁμοπάτριον ὄντος μοι τοῦ λόγου, τὴν ἴσην κὴ πρὸς ἀμφοτέρους νοθεσίαν, ἴσας δὲ κὴ τὰς εὐχὰς ποιοῦμαι. Καὶ βούλομαί σοι κὴ ἐπεύχομαι ὅσα

(1) Τὰς μεθοδείας diaboli dixit Paulus ad Eph. VI, 11.

(2) Psalm. XC, 13 : καταπατήσεις λέοντα κὴ δράκοντα.

(3) Petr. I Epist. V, 8 : ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος, περιπατεῖ, ζητῶν τίνα καταπίῃ.

δὴ καὶ εἴρηται καὶ τῷ περὶ σοῦ γεννηθέντι συνταξάμενος ἐπηυξάμην. Καὶ εἴης ὢν μὲν τοῖς καλοῖς καὶ ἀμεινόσι μηδενὸς ἥττω μοῖραν ἀποκεκομισμένος, τοῦ δὲ χείρονος παντὸς εἴης κρείττων, μηδενὸς μετέχων, καί σε κακία μηδεμία μηδαμῶς ὢν οὐδενὶ κρατήσοι χειρωσαμένη, ὢν δ' ἀρεταῖς ἁπάσαις τὸν εὑρετὴν ταύτης καὶ σοφιστὴν νικᾷης, καὶ νικᾷης ταῖς μητρικαῖς εὐχαῖς ἐγκαθωπλισμένος, καὶ πρὸς τὰς ἐπιβουλὰς, ἢ δι' ἑαυτοῦ τοῦ πολεμίου πειρωμένου ἢ δι' ἑτέρων μηχανωμένου, ἀπερίτρεπτός τις καὶ κραταιὸς παρεμβάλλων. Ἐπαρήξει, εὖ οἶδα, μητρὸς θερμὴ πίστις, Θεὸν ἰσχυρὸν καὶ ἐξουσιαστὴν κατὰ πάσης ἀντικειμένης δυνάμεως ἀρωγὸν ἐπικαλουμένη καί γε παρεχομένη, ᾧ δὴ καὶ οὐδὲν οὕτως ἥδιον ὡς υἱὸς εὐφραίνων μητέρα, καὶ κατὰ τὰς ἐκείνου ἐντολὰς καὶ τοῦτο δὴ τὸ μέρος ἐπὶ πλεῖστον ὅσον πεπολιτευμένος. Καὶ γοῦν τὸ εἰκὸς πᾶν θεοφιλεῖ μηλεὶ περισώζων, ὥστε καὶ Θεοῦ χάριν καὶ ταῖς ἐμαῖς δὲ παραινέσεσιν εἴκων, πάντ' ἔσο μητρὶ πρὸς ἃ δὴ καὶ βούλοιτο ὑποτασσόμενος καὶ ἐφεπόμενος προθύμως· καὶ κείσεταί μέν σοι δόξα παρὰ Θεῷ πρὸς ἀμοιβὴν γινομένη, ἀλλὰ καὶ παρὰ πᾶσιν ἀνθρώποις, καὶ μάλιστά γε τοῖς εὐσεβοῦσι, λαμπρὸς οὗτος δόξης καὶ κάλλιστος ἁρμοσθήσεται στέφανος, ἡδεῖς μὲν καὶ γλυκεῖς κἀνταῦθα τῶδε τῷ σπουδάσματος τοὺς καρποὺς τρυγῶντι· ἀλλὰ καὶ ἐν τοῖς ἀεὶ μένουσι καὶ ἀπεράντοις, ὡς ὅτε ὀφθαλμὸς εἶδεν (1) οὔτε οὖς ἤκουσεν, οὔτε ἀνέβη ἐπὶ καρδίαν ἀνθρώπου, οὕτω τὴν τρυφὴν ἀκήρατον τρυγήσεις. Παρ' ἡμῶν δὲ,

(1) Pro ὡς forsan οἷς. — Paulus 1 ad Cor. II, 9 : ἃ ὀφθαλμὸς οὐκ εἶδεν. . . . .

ὧν καὶ προλαβὼν πραγμάτων ἀπειλήφεις, καὶ νῦν δὲ τῶν εὐχῶν, τί πλέον ἔσται σοι εὐγνωμονοῦντι; ἢν δέ τι καὶ πλεῖον δέῃ (1) προστεθῆναι, ὑστάτην δηλονότι δωρεὰν καὶ χάριν προστίθεμεν ἤδη, μηδὲν μὲν ἔλαττον, τῷ δὲ πρωτοτόκῳ κατ' ἴσον.

Καὶ ταῦτα μὲν ὑμῖν· λοιπὸς δ' ὁ τέταρτος τῶν υἱέων.

Τὸν γὰρ ἐν μέσῳ καὶ τρίτον ἑκὼν παρῆκα, ἐπεὶ μηδ' ἔχω τίς περὶ αὐτὸν γένωμαι τὴν γνώμην, καὶ οἷ τάξω, σύγχυσιν ἀλλόκοτον βίου καὶ ἀταξίαν ἑλόμενον, ἀντὶ τοῦ πρώην κοσμίου καὶ σώφρονος καὶ ἡμῖν ἐπεράστου, πότερον μετὰ τῶν ἐπὶ τοῦ αὐτοῦ σχήματος τελούντων, ᾧ δὴ καὶ οὗτος ἐκ παιδὸς ἑκὼν εἶναι φέρων ἑαυτὸν ἐνῆκε (2), καὶ νῦν ἐστιν ὁρώμενος ἐν τούτῳ, ἥκιστα μὲν τοῖς τρόποις, τῇ δ' ἀμπεχόνῃ καὶ ταῖς περιβολαῖς μόναις καὶ ταύταις δήπουθεν ἀέκων, παρ' ἡμῶν ὡσανεὶ τοῦ καλοῦ χάριν τετυραννημένος, ἢ ὅποι πονηρὰ παντελῶς καὶ μοχθηρὰ ἐξάγει προαίρεσις, πόῤῥω δηλονότι Θεοῦ καὶ παντὸς τοῦ καθήκοντος. Προσῆλθε μὲν γὰρ καὶ προθύμως προσέδραμε τῷ καλοῦντι Χριστῷ, καὶ τὸν σταυρὸν ᾖρε καὶ ὀπίσω κατακολουθεῖν αὐτοῦ (3) ἐπηγγείλατο· εἶθ' ὅλαις ταῖς

(1) Codex, δέοι. Duxit permutationis lex ad veram scripturam. Pletho in Cleopam § 40 : κοινωνεῖν γὰρ ἂν δέῃ τὸ γινώσκειν τῷ γινωσκομένῳ· τὰ δὲ κοινωνοῦντα καὶ οἰκεῖά πη ἀλλήλοις δέοι ἂν εἶναι· abeat δέῃ in δέοι, ut est in cod. 963. Ibid. § 34 : οὐχ ἡμέτερος μόνον ὁ λόγος. . . . σχεδὸν δὲ πᾶσιν ἀνθρώποις οὕτω ποι δοκῶν· et melius codex 963 : . . . σχ. δὲ καὶ π. ἀ. ο. πη δοκῶν. Artemidorus I, c. 79, p. 117 : ὅπου ἂν ἡ μήτηρ διάγοι, ἐκεῖ σημαίνει πορευθῆναι τὸν ἰδόντα· malim διάγῃ et ἐκεῖσε.

(2) De monastica vita id est intelligendum, quam a puero fuerat amplexus natu tertius ille Chumni filius.

(3) Matth. XVI, 24 : εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ,

εὐθείαις ἐχώλανε τρίβοις, καὶ βαλὼν καλῶς ἐπ' ἄροτρον χεῖρα οὐρανίου γεωργίας καὶ πολλὰ τἀγαθὰ ἐν ἀποθήκαις αἰωνίοις θησαυριζοῦσης, ἐστράφη ὀπίσω οἴμοι! τῶν κακῶν ἐπιθυμιῶν (1) καὶ θελημάτων τῆς καρδίας αὐτοῦ, καὶ τῆς Χριστοῦ μάνδρας ἐντὸς ἀγαπήσας πρῶτον ἐνδιαιτᾶσθαι, θήραμα νῦν ἐλεεινὸν (2) ὁρᾶται, ὁμοῦ τῆς σωτηρίας καὶ τῆς ἱερᾶς ἐξωσθεὶς ποίμνης, στιγματίας ὅλος ταῖς τοῦ λῃστοῦ καὶ κλέπτου (3) μάστιξι καὶ πληγαῖς, μὴ διὰ τῆς αὐλῆς, ἀλλ' ἀλλαχόθεν ποθὲν διὰ κρημνῶν τινων ἀναβάντος (4), οἷς ἐκεῖνος εἴωθεν ἐπιπηδᾷν, ὁ δημιουργὸς τῆς κακίας, καὶ τὴν ἀπὸ τοῦ καλοῦ φυγὴν καὶ ἡμῖν τοῖς τὰ πάντα μοχθηροῖς τὴν προαίρεσιν προξενεῖν τεχναζόμενος. Οὐ γὰρ τὸ πᾶν αὐτῷ δώσομεν τῆς ἰσχύος, ἑαυτοὺς ἐξαιρούμενοι παντελῶς τῆς αἰτίας· ἀλλ', εἴ γε μόνον καὶ ἡμεῖς βουληθείημεν ἐπὶ τοῦ καλοῦ ἑδραίως ἑστάναι, φεύξεται ὁ Σατανᾶς, οἶδ' ὅτι, καὶ ὑποχωρήσει, καὶ ἡμῶν ὀπίσω καθυπαχθήσεται μετὰ Χριστοῦ καὶ τεταγμένων καὶ συνισταμένων, τοῦ τὸν κόσμον ὅλον, καὶ αὐτοῦ δὴ τὸν ἄρχοντα, τὸν πειραστὴν τοῦτον, νενικηκότος. Ὑφ' ᾧ δὴ σωτῆρι καὶ κεφαλῇ καὶ σὲ διὰ παντὸς τοῦ βίου πεπολιτεῦσθαι ἐγὼ καὶ νομίσας καὶ θαῤῥήσας, καί γε τὴν πρὸς αὐτὸν πορείαν ἀμεταστρεπτὶ κατευθύνειν, καταπατοῦντα τὴν τοῦ καὶ τὴν ἀρχὴν

καὶ ἀκολουθείτω μοι. Conf. Luc. XIV, 27.

(1) Sap. Sirach. XVIII, 30: ὀπίσω τῶν ἐπιθυμιῶν σοῦ μὴ πορεύου. Cf. t. II, p. 124, n. 1.

(2) Excidit forsan nomen τοῦ πονηροῦ, vel alius belluæ, cujus præda fuerit Chumni filius.

(3) Juncta sunt ea nomina et apud Joannem X, 8.

(4) Gregorius Nazianz. Orat. XXVIII, p. 474: δέδοικα δὲ τοὺς λῃστὰς καὶ κλέπτας, μὴ, διὰ τῆς αὐλῆς ὑπερβάντες, ἢ ἀναιδείᾳ συλήσωσιν, ἢ δι' ἀπάτης κλέψωσιν, ὥστε θῦσαι.

ἀπατήσαντος ὄφεως κεφαλὴν καὶ τῇ τοῦ ξύλου ἀποπλανήσαντος καὶ θανατώσαντος βρώσει, καὶ ἀεὶ δ' ἀπατᾶν ἐν τοιούτοις πειρωμένου τρυφαῖς καὶ ἡδοναῖς καὶ ἥτταις σαρκός, ὁρῶ σε νῦν (ὦ πόσον καὶ οἷον κακὸν ἐν τοῖς ἐμοῖς ὀφθαλμοῖς!) τοῖς ἐκείνῳ μᾶλλον συμπατούμενον καὶ συντριβόμενον θανατηφόροις ποσί. Κἂν καὶ αὐτὸς εἰς σκληρὸν ὡσανεὶ λίθον τὴν καρδίαν μεταβαλὼν ἀναισθήτως ἔχῃς τῷ πάθει καὶ τῆς συντριβῆς, ὅλην ἀποσυληθεὶς καὶ κλαυσεὶς κακῶς τὴν διάνοιαν, ἀλλὰ πότ' ἀνανήψεις, καὶ συνέσεως καὶ λογισμῶν καὶ σεαυτοῦ γενήσῃ, ὁ ἐν νηπίοις ἔτ' ὢν (1) καὶ τῇ πρώτῃ γε καὶ μετ' αὐτὴν ἡλικίᾳ συνιεὶς ἐμφρόνως, νῦν δ' ὑποσυρεὶς ταῖς ἀφροσύναις, καὶ, ὅτε μᾶλλον ἔδει σε τῶν ἀγνοημάτων παντελῶς ἀπηλλάχθαι, νουνεχεστέρας ἐπιβάντα τῆς ἡλικίας, τότε πρὸς τὰ χείρω μεταστραφεὶς εἰς ἐλεεινὴν τὴν ταλαιπωρίαν (2) ἐν τῷ ἀκάνθας ἐμπαγῆναί σοι τὰ πικρὰ κέντρα τοῦ πονηροῦ; Καὶ γὰρ τοιοῦτον τὸ σκκλίνειν ἀπὸ τῶν ὀντεταλμένων τρίβων Χριστοῦ· τοιοῦτον καὶ τὸ τὸν ζυγὸν αὐτοῦ ἀποσείσασθαι τὸν ἐλαφρὸν καὶ χρηστὸν (3), καὶ πρὸς ἀνοδίας καὶ βάραθρα, καὶ τοιαύτας ἀνωμάλους καὶ προσκόμμασι συνθλιβούσας, ἀποδραμεῖν,

(1) Legendum forsan ἐτῶν. Hic syllabas jungo; disjungam apud Plethonem in Cleopam § 36: τῆς οἰχομένοις τῶν ἀνθρώπων θεραπείας ἅπαντες προσφέροντες δῆλοί εἰσι ὡς πλειόντων τι αὐτῶν καὶ συντεμόντων δοξάζοντες· scribam divisim ὡς πλεί ὄντων, duce codice 963. Et Demetrio Cydonio, De cont. morte p. 44, nocuit syllabarum mala divisio: αὖται γὰρ τῆς ἀνθρώπου, οὐχ ὡς ἴδιον αὐτῶν ἀγαθὸν. . . τοῦτο ἐγκατωπίσασθαι, ἵνα δὴ τούτων ὥσπερ πέλους ὢν ἑαυτῆς ἀπολαύσειε. Est ἵνα δὴ conjecturalis lectio pro vetere scriptura ἵνα εἰ: sed dividendum fuit ἵν' αὖ εἰ, quod præbet codex 963.

(2) Videtur nonnihil deesse.

(3) Matth. xi, 30: ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

ἀφέντα βαδίζειν μὲν καὶ ἐπιπορεύεσθαι τὴν ὐν εὐλογίαις ἐπηγγελμένην γῆν καὶ τὴν δι' αὐτῆς πρὸς παράδεισον ὅθεν ἐξεπέσομεν φέρουσαν, σατεῖν δὲ τὴν ἀκάνθας καὶ τριβόλους ἐν καταράσις φύειν καλαδικασθεῖσαν (1) κ᾽ γεωργεῖν. Ἔτι ἐλπὶς ἐμοὶ μή τί σε πρὸς τέλος τὰς ἐπὶ σοὶ τῆς μητρὸς καλὰς ἐκείνας ἐλπίδας καταισχύναι, κ᾽ μαλαίας ἀπελπλεσμένας δεῖξαι. « Ἐπιστράφητε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς » ὑμᾶς », λέγει Κύριος (2)· ἐπίστρεφον καὶ σύ, καὶ ἐπιστραφήσεταί σου, καί γε τὰ συντρίμματα, καὶ τοὺς ἐξ ἀφροσύνης ὀδωδότας κ᾽ μάλα τι κατειργασμένους καὶ σεσηπότας μόλωπας, ἐξιάσεται· πῶς κ᾽ τίνα τρόπον; ἔλαιον ἐπιχέας καὶ ἐπιθεὶς καταδέσμους (3), μηκέτι τοῦ καλοῦ μήτ' ἀποσαλευθῆναι, μήτ' αὖθις ἀποῤῥαγῆναι, μηδαμῶς ἀνιέντας· καὶ τότε τὰ ἰάματά σου τάχυ ἀνατελεῖ, καὶ πρωΐμου ῥαγήσεταί σοι τὸ φῶς (4) τὴν νῦν κατέχουσαν σκοτόμαιναν (5) καὶ ἀχλὺν ὅλην διωσάμενον καὶ ἀπολιπάξαι, καὶ ἴασις τῇ σῇ σαρκὶ κ᾽ ἐπιμέλεια γενήσεται τοῖς ὀστέοις (6), κ᾽ τῇ ψυχῇ σὸ πρόσειμι, « σωτηρία σὸ εἰμὶ ἐγὼ (7) »,

(1) Genes. III, 17 : ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου... ἀκάνθας κ᾽ τριβόλους ἀνατελεῖ σοί. Conf. t. III, p. 181, n. 4.

(2) Zachar. I, 3.

(3) Luc. X, 34 : κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον κ᾽ οἶνον.

(4) Isai. LVIII, 8.

(5) Psellus De operat. dæmon. p. 93 : καθάπερ πυρὸς ὑπὸ θαλαττίας αὐτομάτης ἀναφανείς· codices mihi obtulerunt, quod et Dorvillius ad Char. divinaverat, σκοτομήτης. Est σκοτομήτη apud Theodorum Hyrtac. supra t. I, pp. 276, 1; 289, 24; Joannem in Barlaamo, t. IV, p. 8, 14; σκοτόμαινα, quod idem est, apud Joannem Hieros. Vita Joannis Damasc. p. 231 : βαθεῖα ἦν ἡ σκοτόμαινα· apud Veccum Orat. I de unione p. 62 : τὴν ἐνοῦθεν καταλαβοῦσαν τὴν καθ' ἡμᾶς οἰκουμένην σκοτόμαιναν.

(6) Proverb. III, 8.

(7) Psalm. XXXIII, 3.

καὶ σεσωκὼς αὐτὴν ἔσῃ. Καὶ τοίνυν ἡμεῖς, πατὴρ ὁμοῦ καὶ μήτηρ, ἡ μετ' ἐμὲ αὖθις μήτηρ, μειλίχιοι, πρεσηνεῖς, ἀντὶ τῆς νῦν ἐπιπλήξεως καὶ δικαίας ὀργῆς, φιλόπαιδες ἐσόμεθα καὶ τὸ ἐπὶ σοὶ, καλῶς μετεγνωκότι καὶ πρὸς τὴν πρώην πολίτειαν τὴν καὶ Θεῷ φίλην ἐπανιόντι, οὐ μὴν ἀλλὰ καὶ προμηθεῖς, ἵνα μὴ τῇ σκληρότητι τῶν συντεινόντων πρὸς τὸν δρόμον ἐγκοπὴ σοι γένοιτο καὶ ῥᾳθυμία, καί γε τοῦ σπουδάσματος ὀλιγωρία, ἡ χορηγήσομεν δὴ τὸ ἀποχρῶν καθάπαξ, χρυσοῦ δηλαδὴ τάλαντα τέτταρα καὶ δέκα, χιλίων ἀπαρίθμησιν νομισμάτων δηλοῦντα. Τοσοῦτον γὰρ φαμὲν εἶναι καὶ τὸ ἐπιβάλλον σοι μέρος (1), ὃν ἐπισφρᾷ δηλονότι τοῦ καλοῦ γεγενότι.

Σὲ δὲ τὸν ὕστατόν μοι καὶ λοιπὸν, ὅπερ ἔφην, τῶν παίδων, τὸν ἐμὸν Νικόλαον, οὐκ οἶδα τίς ἂν καὶ ποία ὑποδέξηται τύχη, τῆς ζωῆς ἐμοὶ τμηθείσης, ὃν ὅτως ἀτελεῖ σοι καθεσπικότι τῇ ἡλικίᾳ, καὶ μήπω τὴν μειραχικὴν παραμείψαντι. Δίδωσι μὲν γὰρ θαῤῥεῖν καὶ πολλὰ δίδωσι θαῤῥεῖν ὁ τόπος, παραγυμνούμενος ἤδη καὶ τὰς χρησιμωτέρας ἡμῖν μνησικευόμενος τῶν ἐλπίδων· φοβεῖ δέ με τὸ τοῦ θανάτου ἀπροόπτως τὰ πολλὰ ἐπιὸν, καὶ μηδὲ περὶ τῆς αὔριον μηδεμιᾶς οὔσης ἐγγύης. Ἀλλὰ τοῦτο μὲν, ἐμοῦ χάριν· πολλὰ δὲ καὶ τὸ σὸν ἀπαλὸν ὂν χρόνῳ δεδίττεται, καὶ τὸ πρὸς ἀντιλήψεις τῶν πραγμάτων οὐχ οἷόν τε ἔτι αὐτῶν ἐφικνεῖσθαι· καὶ δεδίττεται, μή ποτέ σοι νεωτέρῳ ὄντι, καὶ θανάτῳ τὸν πατέρα ἀποβαλομένῳ, ὄκ ἐπαμύνοι τις, ὐδέ γε χεῖρα ὀρέξοι, ἐπὶ τὰ βελτίω διαδεικνὺς καὶ προσεμβιβάζων· εἶτα τῆς ἀγαθῆς

(1) Luc. xv, 12 : πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας.

φύσεως οὐδέν σοι πλέον ἔσται, δυσμενῶς τύχης ἀναποχρυβείσης χευθμῶσι χαὶ πειραθείσης δαίμονος χαχοδαίμονος.

Ἀλλὰ τί τούτων ἐμοί; ἵλεώς μοι χαὶ εὐμενὴς εἴης ὁ πολὺς μὲν ἐν Χεισῷ δύναμιν χὴ παῤῥησίαν, πολὺς δὲ χαὶ τὰ μύρα, πολὺς χὴ τὰ θαύματα (1), ὁ θερμὸς τῶν ἐπιδεομένων περσάτης, ὁ ἱερὸς χαὶ μέγας Νιχόλαος, πρὸς ὃν ἐγὼ φέρων αὐτόν μοι τὸν φίλτατον, ἄρτι τῶν μητρικῶν ὠδίνων ἀπαγέντα, θερμῶς πιστεύσας ἀνέθηκα, χαὶ μάλα τι τῷ δόγματι χαὶ πλεῖστα χαὶ μεγάλα τεθάῤῥηκα, τεκμήρια παμμεγέθη πρότερον χαὶ καθεξῆς ἀεὶ τῆς σῆς περὶ ἐμὲ φιλανθρωπίας χαὶ προστασίας ἀπενεγκάμενος, εἰ χαὶ ἀγνώμων αὐτὸς ἐφάνην τοῖς θαύμασιν, ὥστε περὶ τούτου δέος μᾶλλον, μὴ τῆς ἐμῆς φαύλης χαὶ πονηρᾶς μενούσης ζωῆς ὁ παῖς οὐκ εἰς χαλὸν ἀπόναιτο· ὅθεν χὴ χωλὶς οὗτος γενόμενος, χαὶ ὑπὸ τῇ σῇ σκέπῃ μόνῃ χαὶ θαῤῥῶν χαὶ ζῶν χὴ στρεφόμενος, οἶδ' ὅτι ἀμεινόνων ἐπὶ πολλῷ χαὶ βελτιόνων τῶν χατ' εὐχὴν χαὶ βούλησιν ἡμῶν πειραθήσεται. Καὶ χῆν, ὡς χαὶ τὴν ἀρχὴν βρέφος αὐτὸν οἰχέτην παρειληφὼς, χαὶ νῦν ὠνητὸν, εἰπεῖν, τῆς σῆς χάριτος παρ' ἡμῶν ἀποδιδόμενον, εἰσποίησαι, χαὶ ῥύου μὲν ἀεὶ πάσης ἐχ παγίδος θηρεύοντος (2), ὑπὸ δὲ τὰς σὰς πτέρυγας σχιάσας ἀνάπαυε

(1) Nicolai filii patronus, quem invocat pie Chumnus, S. Nicolaus, Myrorum in Lycia episcopus, cognominatus fuit Myroblytes ac Thaumaturgus. De eo exstat Lequienii Dissertatio in Continuatione Memor. Desmol. t. VI; quam propter nomen auctoris ac raritatem indicare visum est. Exstant et in cod. 400 inediti in S. Nicolaum græci versus.

(2) Psalm. CXXIII, 7 : ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων.

μήθ' ἡμέρας τῷ ἡλίῳ συγκαιόμενον ἢ φλεγόμενον ἢ τοῖς ἐν αὐτῇ πετομένοις τιτρωσκόμενον βέλεσι, μήτε τῇ σελήνῃ τὴν νύκτα, μηδ' ὑπὸ φόβου νυκτερινοῦ καὶ φαντάσματος μηδενὸς ἐν σκότει διαπορευομένου μήτε ταρασσόμενον μήθ' ἁλισκόμενον. Καὶ τοῦτον δὴ τὸν τρόπον ἀθιγῆ κακοῦ παντὸς περισώζων, ἐν ἀγαθοῖς ἴθυνον τὴν ζωὴν, ἐκτείνας εἰς ὅσον δυνατὸν ἐς πλεῖστον. Εἶθ' οὕτω διὰ πάσης ἀρετῆς ἡγμένον ὑπὸ σοὶ καὶ ὁδηγῷ καὶ χειραγωγῷ καὶ προστάτῃ, Χριστῷ παραστήσαις ἐν τοῖς ἀϊδίοις συναγαλλόμενον, καί γε κληρονόμον δείξαις τῆς ἐκεῖθεν μακαριότητος.

Παρ' ἡμῶν δέ σοι, παιδίον φίλτατον, ἐκ τῶν καθ' ἡμᾶς φθαρτῶν καὶ γηΐνων ἥξει πρὸς κληρονομίαν ὅσα τῇ μητρὶ ἐπεσκήψαμεν, ἴσα καὶ ὁμότιμα λέγω τοῖς πρὸς τοὺς ἀδελφοὺς καὶ πρώην, καὶ νῦν δ' ἐν τοῖς ἐσχάτοις, δεδωρημένοις. Καὶ γοῦν, ὡς ἐν βραχεῖ τὸ ὅλον καθαρῶς φάναι, πᾶν ὅσον παρ' αὐτῆς λάβοις, τοῦτο νόμιζε καὶ ἡμῖν εἶναι τὸ δεδογμένον. Οὐ μὴν ἀλλ', ἐπειδὴ καὶ πρὸς σὲ ταῦτα καὶ λέλεκται διαλεχθῆναι πρὸς ἄλλον οὐδένα, ὅτι μηδ' ἔστι πρὸς ὃν πᾶσα ἀνάγκη, αὖθις πρὸς ὑμᾶς ἐπιστρέφω καὶ δή φημι· ἔχετε, φίλτατοι παῖδες, τὴν τελευταίαν ἐξ ἐμοῦ ἤδη παραίνεσιν καὶ νουθεσίαν, καὶ φυλάσσετέ μοι καλῶς τὴν καλὴν ταύτην παρακαταθήκην· ἔχετε καὶ τοὺς κλήρους οὐ παντάπασιν ἀγεννεῖς, ὅδε γε τὰς ὑπάλλας ταύτας τῶν δωρεῶν, καὶ ἀρκεῖσθε οἷς ἕκαστος ὑμῶν ἔλαχε, μηδενὸς ἀντεχόμενοι, μηδὲ μεταποιούμενοι πλείονος· ἔχετε καὶ τὰς εὐχάς, καὶ βιῶντε κατ' αὐτάς· καὶ τύχοιτε πάντων τῶν ἐν αὐταῖς, καὶ ἀποπέσοιτε τούτων ἀπ' οὐδενός· καὶ χαίροιτε ἀεὶ ἐν

Χεισθῷ τὴν χαρὰν ταύτην, ἔν τε τοῖς παροῦσιν ἔν τε τοῖς ἀπεροῦσι, διαρκῆ καὶ ἀκήρατον πρυτανεύοντι, μεσιτείαις τῆς παναμώμου καὶ ἀσπίλου μητρὸς αὐτοῦ, τῶν θείων Ἀγγέλων, τῶν σεπτῶν ἀποστόλων, τῶν μαρτύρων, τῶν ἱεραρχῶν, τοῦ Νικολάου, καὶ πάντων δὴ τῶν ἁγίων.

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΠΑΧΥΜΕΡΟΥΣ

ΜΕΛΕΤΗ.*

Σκηπτοῦ καπνιχθέντος εὕρηται χίλιαι φαντασίαι ἐν τῇ τοῦ Περικλέους οἰκίᾳ, καὶ κρίνεται τυραννίδος ἐπιθέσεως (1).

Μελετῶμεν τὸν φεύγοντα (2), ὃς καὶ ὡς στρατηγὸς λέγει, καὶ ὡς ῥήτωρ διϊσχυρίζεται.

Οὐδὲν, ὡς ἔοικεν, ἔστιν ἀνδρὸς συκοφάντου βαρύτερον· ὁ γὰρ στρατιώτῃ, καὶ ταῦτα καθ' ἑκάστην πολέμοις ἐξεταζομένῳ καὶ μάχαις, τὰ ὅπλα τιθεὶς ἔγκλημα, τί ἂν ἄλλο κατηγορῆσαι τούτου ἀπόσχοιτο; Ἐγὼ δὲ χάριν ἔχω τοῖς φολισσούχοις (3) θεοῖς, ὅτι ἐφ' ὑμῶν ὁ τἀμὰ κακίζων ποιεῖται τοὺς λόγους, οὓς μάρτυρας ἂν τῆς πρὸς τὴν πόλιν ἐμῆς εὐνοίας ἡδέως παρεσπησάμην, εἰ παρ' ἑτέρῳ τῆς ἐμῆς πολιτείας εὐθύνας ἠναγκαζόμην διδόναι, οἷα φιλεῖ τοῖς

* E codice 2982, p. 18, qui codex numeris olim 963 et 3119 notatus fuit. Georgius Pachymeres, cujus Progymnasmata edidit nuper Walzius, scripsit et declamationes, quarum primam edo speciminis causa. Codex παχυμέρους, superscripto η, ut sit παχυμέρη. Prior forma est linguæ antiquioris.

(1) Ut oratio, sic et historiola ficta est. Saltem de Pericle nil tale nunc in monumentis literarum memoriæ proditum esse memini.

(2) Hac formula passim Georgius est in lemmatis usus. Propria fuit declamatorum: vide t. II, p. 274, n. 2. Libanius, t. IV, p. 583, sic claudit declamationis argumentum: καὶ τὸ τῆς πόλεως εὔφημον ἐν πλείονι τοῦ πατρὸς τίνᾳ θέμενος. Codex 3017: ... τίνᾳ πεθέμενος· σλάσις αἰτίγκλημα. Μελετῶμεν τὸν πατέρα.

(3) Codex, πολισσούχοις. Quod mendum est et in vetustioribus Æschyli editionibus Theb. 257, 822. Illustravit id nomen Blomf. Gloss. ad Theb. 69.

δημοκρατουμένοις γίνεσθαι, εἰς ἀκριβεστάτην γνώμης ἐξέτασιν. Ἄτοπον γὰρ εἰ ξένους παρῆγον τοὺς μαρτυρήσοντας, καὶ μὴ τοὺς ὑπὲρ ὧν, καὶ γλῶσσαν κινῶν ἐν βουλαῖς καὶ δόρυ στρέφων ἐν μάχαις, ὁσημέραι διετέλουν ἀγωνιζόμενος. Ἀμέλει τοι καὶ θάῤῥος ἔχω τὸ μέγιστον ὡς οὐ διαφευξεῖται τὸ ἀληθὲς, ἀλλὰ καὶ ῥητορικῆς ἁπάσης ὑπερέξει δεινότητος καὶ δείξει μόνον νικῶν παρ' ὑμῖν κρίνουσι πᾶσαν συκοφάντου ἐπίνοιαν.

Ηὐχόμην μὲν οὖν (πῶς ἂν εἴποιμι εὐπρεπῶς;) μὴ Περικλῆν ὄντα, καὶ οἷον οἴδατε πάντες, ἐμὲ κρίνεσθαι, ἀλλ' ἐμὲ μὲν εἶναι τὸν ἐπὶ τοιούτοις καὶ μόνον φεύγοντα, πλὴν γυμνὸν ἁπάσης δεινότητος, μόνῃ δὲ γνώμῃ πιστὸν φιλοπόλιδι καὶ τῇ πρὸς τὸν δῆμον εὐμενείᾳ θαῤῥοῦντα· οὕτω γὰρ ἂν ἀνύποπτον εἶχον (σὺν θεῷ (1) δ' εἰρήσθω) τὴν νίκην, καὶ λόγος οὐδεὶς τοῖς συκοφάνταις ἐλείπετο, ὡς γλώσσης, ἀλλ' οὐ γνώμης καὶ ἀληθείας, ἀγώνισμα τὸ κατόρθωμα. Ἐπεὶ δ' οὕτω τὰ κατ' ἐμὲ συνέπεσον, ὡς ἀμφοτέρωθεν ἔχειν κίνδυνον, καὶ λόγοις μὲν ἰσχυριζόμενον, κἂν πυ καὶ περιγενοίμην, λόγων δυνάμει καὶ μὴ ταῖς ἀληθείαις νικᾷν ὑποπτεύεσθαι, καθυφεικότα δὲ τῆς σπουδῆς, διὰ ταῦτα ἔγκλημα ἐμαυτῷ περιάπτειν κακῶν ἁπάντων δεινότερον, εἶχον μὲν γνώμης οὕτως, ὥστε τοῖς λόγοις, ὡς δύναμαι, χρήσασθαι, καὶ περιγενέσθαι, ὡς ἂν οἷός τε ὦ, κἂν ὑποπτεύοι τις, ἢ, τὴν ὑποψίαν φεύγοντα, καθυφεῖναι, καὶ δοῦναι τοῖς συκοφάν-

(1) Exempla formulæ vide t. II, p. 90, n. 3. Theodorus Hyrtac. Epist. 54 : εἰρήσθω δὲ σὺν θεῷ. Oculos advertit proximus locus qui mendosus est, quemque emendabo obiter : ἀπειλῶν δούλην τὴν Περσίδα παραστήσειν τοῖς βασιλεῦσι, τὴν δ' αὖ μεγάλην Ἀσίαν τῆς μικρᾶς Εὐρώπης θεράπαινειν· imo θεράπαιναν, ut est in codice 1209.

ταις ἐντεῦθεν λαβάς. Ἀλλ' ὅμως, τὴν μέσην χωρῶν, ἀπολογήσομαι, περὶ τῶν κατ' ἐμαυτὸν ἁπλῶς τοὺς λόγους ποιούμενος· τὴν δὲ τῶν λόγων ἰσχὺν παρ' ὑμῶν ζητήσω, ὡς ἐκ τῶν πραγμάτων, καὶ οὐκ ἐκ τῶν λόγων, τὸ ἀληθὲς εὑρισκόντων ἐφ' οἷς τις κἂν κρίνεται.

Μέλλων δὲ τῆς ἐμῆς εὐνοίας, ὡς ἔοικε, δείγματα παρέξειν τὴν σήμερον, παραιτοῦμαι τοὺς παρόντας μὴ περιαυτισμόν τινα προσλείβειν ἐμοὶ, εἴπερ εἰς τοιούτους πολλάκις ἐμπέσω λόγους, ἀλλ', εἰδότας ὡς ἀνάγκης ταῦτα, καὶ ὡς οὐδ' ἂν καὶ ἄλλου λέγοντος ἠνεσχόμην ποτὲ, λειπόντων τῶν ἐγκλημάτων, συγγνώσεσθαι, καὶ, ὅπερ ἂν ἕκαστος ὑμῶν εἰς τοιοῦτον κατασταὶς ἀγῶνα ἔπραττεν ἄν, τοῦτο διδόναι κἀμοί. Οὐ γὰρ ξένα τὰ ῥηθησόμενα καὶ τοὺς πολλοὺς λανθάνοντα, ἀλλ', οἶμαι, γνώριμα πᾶσι, καὶ ὧν ὑμεῖς πλέον τῶν ἄλλων μάρτυρες.

Ἐγὼ, ἵνα τἄλλα παρῶ, οὐ χθὲς καὶ πρὸ τείτης ἠρξάμην τὸν δῆμον φιλεῖν καὶ τὴν δημοκρατίαν ἀσπάζεσθαι· ἀλλ' ἅμα τῷ παλέρων (1) ἐξουσίας ἀπολυθῆναι καὶ μαθημάτων ἀνεθῆναι καὶ τῶν ἐπὶ τούτοις ἀσχολιῶν, μίαν ἐθέμην γνώμην παρ' ἐμαυτῷ καὶ σπουδὴν, τὸ κατὰ τὴν ἡμετέραν πολιτείαν διάγειν καὶ μηδὲν ἡγεῖσθαι κρεῖττον αὐτῆς. Καὶ τοῦτο οὐχ ὑμᾶς

(1) Παπίρων, « patris ac matris; » parentum. » Quem sensum illustravi ad Marinum. Epigramma apud Jacobs. ad Anthol. Palat. pag. 969 : Μουσοχιτὼς πρὶν ἐὼν καὶ παπίρεσσι φίλος. Parthenius c. 10: παρὰ τῶν παπίρων αἰτησάμενος αὐτὴν, ἠγάγετο γυναῖκα. Sic Latini nomine *patres* usi sunt. Virgilius Æn. II, 579, de Helena : « Conjugium- » que domumque, *patres* natos- » que videbit »; Tyndarum nempe ac Ledam, quos Æneas adhuc in vivis esse credebat.

ὑποτρέχων λέγω, ἀλλὰ τὸ ἀληθές· καὶ ἃ σύνοιδα ἐμαυτῷ τότε διανοούμενος, ταῦτα καὶ νῦν, ὡς οἷόν τε, παριστῶ.

Εὕρισκον γὰρ σκοπούμενος τὰς μὲν ἑτέρας πολιτείας, ἀριστοκρατίαν μὲν ἐκ μέρους ἔχουσαν τὸ ὠφέλιμον, καὶ οἷς μὲν μὴ μιᾶς γνώμης ἐξαρτᾷ τὰ κοινὰ δικαίως ἐπαινουμένην, οἷς δ' αὖθις οὐ πάντας ἔχει τοὺς συνειδότας ἐφ' οἷς οἱ ἄριστοι πράττουσιν, ὡς ἂν τὸ κοινὸν καὶ κοινὸν εἴη ταῖς ἀληθείαις, ψεγομένην ὡς τὸ εἰκός· μοναρχίαν δὲ μηδένα τοῖς ἐπαίνοις τόπον παρέχουσαν, ἀλλ' ἅπαν τοὐναντίον πρὸς τὸ δίκαιον ἔχουσαν. Πῶς γὰρ ἂν τὸ κοινὸν διατηρηθείη δίκαιον πόλει, ἧς μία γνώμη καὶ ψῆφος ἄρχει, καὶ ἑνός τινος θέλημα πᾶσαν ἄγει ὡς ἐκεῖνος βούλεται, κἄν τις τολμήσῃ καὶ λαθὼν γρύξῃ (1), τὸ ἐπιτίμιον θάνατος (2); τί δὲ καὶ χρήσιμον τούτῳ ἐπίοι πρὸς τὴν τοῦ κοινοῦ λυσιτέλειαν, ἑνί γε ὄντι, καὶ μηδὲ τοῦτο εἰδότι (3) ὅτι καὶ φύσις αὐτὴ ζώῳ παντὶ συνεδύασε τὰς αἰσθήσεις, ὡς

(1) Forsan γρύξαι. — Aristophanes Plut. 454 : Γρύζειν δὲ καὶ τολμᾶτον; Isæus de Ciron. p. 96 : οὐκ ἐτόλμησε γρύξαι τοπαράπαν οὐδέν. Vid. Rhoer. ad Porphyr. p. 42.

(2) Similem formulam et magis usitatam, θάνατος ἡ ζημία, illustravi ad Aristæn. pag. 615. Xenophon Memor. 1, 2, 62 : κατὰ γὰρ τοὺς νόμους, ἐάν τις φανερὸς γένηται κλέπτων ἢ λωποδυτῶν, ἢ βαλαντιοτομῶν, ἢ τοιχωρυχῶν, ἢ ἀνδραποδιζόμενος, ἢ ἱεροσυλῶν, τούτοις θάνατός ἐστιν ἡ ζημία. Ibi Ernestius retulit τούτοις ad facinora, non ad homines; quum sit τούτοις scilicet pro τοῖς κλέπταις, λωποδύταις, ἱεροσύλοις, ac reliquis.

(3) Participium εἰδότι reddam anonymo cuidam Georgii Trapezuntii calumniatori, cujus epistolam edidit Allatius Diatriba de Georgiis p. 377 : τί γάρ σοι μαθημάτων καὶ σοφίας μέτεστιν, ... ὥστε σε εἰκότως θαῤῥεῖν, δεῖν ἅπτεσθαι τῶν τοιούτων, τέρας τῷ ὄντι ἡγοῦμαι, ὅτι σοι μηδὲ εἰ διό τι τὸ συνειδὸς ὑποβάλλει πάντα ἐπίστασθαι. Legam, sequutus codicem 817 : ... εἰκότως θαῤῥεῖν δεῖν ἅ. τ. τοιούτων; τέρας τῷ ὄντι. Ἐγὼ ἡγοῦμαι ὅτι σοι μηδέ (forsan μηδέν) εἰδότι τὸ συν. ...

παντα χοῦ χαχιζομένου τοῦ μόνου; χἂν χαλόν τι (1) δόξῃ, ὁ ἐπιχρίνων οὐδείς· χἂν ἔμπαλιν, οὐχ ἕσται ὁ διορθούμενος· εἰ δὲ χαὶ πάθος μεσολαβήσῃ ψυχῆς χὴ ὄρεξις ἄλογος, ποῖος σύμβουλος χωλύσει τὸ βλαβερὸν, ἁπάντων τῆς ἐχείνου γνώμης ἐξαρτωμένων, ὡς μόνως μὲν οἰχειωθησομένου ἑχάστῳ τῷ ἄρχοντι ἐχ τοῦ τὸ δόξαν ἐχείνῳ ὡς χαλῶς ἔχον χὴ δόξαν ἀρίστως ἐπαινεῖν, μόνως δὲ πάλιν ἀλλοτριωθησομένου ἐχ τοῦ ποσῶς ἀντειπεῖν; Τὰ δὲ χαθ' ἑχάστην ἐν μοναρχίαις πραττόμενα χαιρὸν ἴδιον ἐχζητεῖ ἐξαγγέλλειν, χὴ πλείω ἢ τὸν ἐν τῷ ἐμῷ ὕδατι. Δημοχρατίας δὲ τί ἂν χὴ βέλτιόν τις οἰήσαιτο, χαθ' ἣν χὴ τὸ τῆς τύχης ἄνισον ἐξισοῦται, χὴ πάντες δουλείας ἐχτὸς χὴ πάντες ἐλεύθεροι, χὴ οὐχ ἔστιν ὅστις οὐ, ὥσπερ τῆς φύσεως, οὕτω δὴ χὴ τῆς ἐλευθερίας ἐπ' ἴσων τοῖς λοιποῖς χοινωνοῦντες ἕχαστος. Καὶ βουλεύει μὲν περὶ τοῦ πολέμου ὁ ἐπὶ τῆς τάξεως, βουλεύει δὲ χὴ ὁ αὐτουργὸς τέχνης, χὴ ῥήτωρ, χὴ ναύτης, χὴ στρατιώτης, χὴ πᾶς ἕτερος· χὴ τὸ σχῆψαι πολλάχις τὸν στραπῆναι ἀπόλεμός τις ἔγνω χὴ διεσάφησε· χὴ ὅπερ ῥήτωρ ἐβούλευσε στρατηγὸς ἐπιχρίνει. Καὶ δίχας λαμβάνει μιχρός τις, χὴ μείζων δίδωσι· χὴ ὅτε ὁ λαμβάνων ἑαυτῷ λαμβάνει, ἀλλ' ἁπάσῃ πόλει χὴ νόμοις χὴ εὐταξίᾳ· οὔτε μὴν ὁ διδοὺς τινὶ δίδωσιν, ἀλλὰ τῷ δήμῳ παντὶ χὴ τῇ πολιτείᾳ, ἐξ ἧς χὴ ἡ τάξις πρέπει.

Ταύτης ἐγὼ τῆς πολιτείας ἐγενόμην, χὴ γεγέννημαι χὴ θρέμμα χὴ παίδευμα, χὴ ἐρασπὴς χὴ συσπάτης, εἴπερ τις ἄλλος, ὡς ἐμαυτὸν πείθω, τῶν ἐν τῇ πόλει,

(1) Codex, χαλόν τινι.

καὶ σπουδασθῆς· καὶ οὐκ ἦν καιρὸς οὐδ' ὥρα, ὁπότε μὴ ὠρώμην τὰ τῆς τυραννίδος καχίζων καὶ τὴν δημοκρατίαν περὶ πλείστου ποιούμενος. Μάρτυς ὁ παρὼν τοῦ δικαστηρίου τόπος· μάρτυς τὸ βουλευτήριον, ᾧ καὶ μᾶλλον περισέσχηκα· μάρτυρες ἀξιόχρεῳ, καὶ οἷς τὰ πάντα κρίνεται καὶ εὐθύνεται, κωμικοὶ, λέγω, καὶ τὰ κατὰ τὸν βίον σκηνοποιούμενοι, οὓς οὐδ' αὐτὸ τοῦτο τὸ ἐπιτήδευμα ἄλλως εἰπεῖν ἐμὲ ἢ ὡς ἔδει, ἵνα μηδὲν φορτικὸν εἴπω, παρέπεισεν (1).

Ἐπεὶ δ' εἰς τὴν τοῦ πολιτεύεσθαι τάξιν μετὰ τῶν ἄλλων παρῆλθον ἐγὼ, ὑμῶν τοῦτο δοκιμασάντων καὶ οὐκ ἐμοῦ δυναστεύσαντος, τοσοῦτον ὑστερεῖδον τοῦ πολίτου ἐμαυτῷ, ὥστε καὶ ὑμῖν ἀεὶ συνεβούλευον μήτε ἀρχὴν ἐπικτᾶσθαι, μήτε ἔξω τῶν ἀναγκαίων μηδὲν πραγματεύεσθαι, ἀλλ' ἡσυχάζοντας τὸν πρὸς Πελοποννησίους διαφέρειν πόλεμον (2)· ὅσον τε γὰρ χρόνον ἐν τῇ εἰρήνῃ πρυτάνιν ὑμῶν (3), ὅπως τῶν πραγμάτων ἐξηγούμην μετρίως ὑμεῖς οἴδατε. Ἐπειδὴ δὲ ὁ πόλεμος συνέστη — Ἀλλὰ τί δεῖ τῶν ἡμετέρων λόγων; μαρτυρήσατε οἱ παρόντες, εἰ βούλεσθε, τὴν ἐμὴν τότε σπουδὴν καὶ ὑπὲρ τῆς πατρίδος διάθεσιν, ὅτι μόνος ἐγὼ ἢ κομιδῇ σὺν ὀλίγοις ἤδειν τί πράττουσιν ἦν σωθῆναι ὑμῖν· καὶ, εἰ μέμνησθε — ἀλλ' ὃν ὑμᾶς

(1) Videtur non meminisse Pachymeres Plutarchi. Pericli enim sæpius comici vires ac potentiam majores quam pro democratia objecerunt, ita ut ejus amicos Pisistratidas vocarent. Vide Plutarch. Per. 16.

(2) Pericles apud Thucyd. I, 144 : πολλὰ δὲ καὶ ἄλλα ἔχω εἰς ἐλπίδα τοῦ περιέσεσθαι, ἢν ἐθέλητε ἀρχήν τε μὴ ἐπικτᾶσθαι, καὶ κινδύνους αὐθαιρέτους μὴ προσλίθεσθαι. Rursus Historicus II, 65 : ὁ μὲν γὰρ (Pericles) ἡσυχάζοντάς τε καὶ τὸ ναυτικὸν θεραπεύοντας, καὶ ἀρχὴν μὴ ἐπικτωμένους ἐν τῷ πολέμῳ . . . . . ἔφη περιέσεσθαι.

(3) Sequitur Thucydidem II,

ὑπομνήσω καὶ παροιμίων ἐμῶν πρὸς ὑμᾶς· « τῆς » μὲν (1) γνώμης » ἔλεγον, « τῆς αὐτῆς, ὦ Ἀθηναῖοι, » ἔχομαι, μὴ εἴκειν Πελοποννησίοις. » Ἀλλ' ὅμως, ὁ ταῦτα λέγων καὶ παροιμιαζόμενος, ὑμᾶς ἐπεῖχον τῆς μάχης ἐπὶ καιρῷ, καὶ θέλοντας ἐξιέναι, μονονοὺ ἐν χερσὶ τὰ ὅπλα λαβόντας, οὐ συνεχώρουν (2) καὶ ἀκμαίους ἄνδρας οὐκ εἴων (3), μὴ θέλων ἐμπιπλᾶν πολέμῳ τὴν Ἀττικήν. Ὅτε δὲ τὴν πολιορκίαν τῇ Πελοποννήσῳ (4) ἀντιμετέσησα ᾗ ἔδει εἰς τὴν πολεμίαν ἀποβαίνοντας μάχεσθαι, τότε καὶ πονήρως ἐκ τοῦ λοιμοῦ ἔχοντας ἐξῆγον, καὶ εἰς τὸν περὶ τῆς ἐλευθερίας ἀγῶνα καὶ τοῦ μὴ λιπεῖν τὸ φρονήματος τάξιν ἠξίουν καὶ παρὰ τὴν ὑπάρχουσαν τύχην ἐρρῶσθαι, καὶ ἔδειξα ὑμᾶς, σὺν θεῷ, πολέμῳ κρατοῦντας Πελοποννησίων ἀνδρῶν, ᾗ ἔχοντας μὲν Μέγαρα, ἔχοντας δὲ Νίσαιαν, καὶ Τροιζῆνα καὶ Πηγὰς καὶ Ἀχαΐαν (5), καὶ πάνθ' ἁπλῶς τὰ ἐκεῖ. Πάντων δ', ὡς εἰκὸς, τοῖς λαφύροις ἐπιτρεχόντων καὶ μηδὲν ὅ τι μὴ ποιουμένων ἴδιον, μόνος ἐγὼ τοῖς ἐμοῖς καὶ ἰδίᾳ παρῄνουν ᾗ ἐπὶ τῶν ἔργων τότε συνήρχον, εἰ μὲν δυνατὸν, τοῦ κέρδους γίνεσθαι κρείττους (6) καὶ πρὸς μόνον τοῦ πολέμου τὸ τέλος ἔχειν τὸν νοῦν· « εἰ δ' οὖν, ἀλλὰ κέρδος ἔστω

65 : ὅσον τι γὰρ χρόνον προῦστη τῆς πόλεως ἐν τῇ εἰρήνῃ, μετρίως ἐξηγεῖτο καὶ ἀσφαλῶς διεφύλαξεν αὐτὴν, καὶ ἐγένετο ἐπ' ἐκείνου μεγίστη· ἐπειδή τε ὁ πόλεμος κατέστη, ὁ δὲ φαίνεται καὶ ἐν τούτῳ προγνοὺς τὴν δύναμιν.

(1) Ex Thucyd. I, 140.

(2) Vid. Thucyd. II, 21; coll. Plut. Per. 33.

(3) Respectu, forsan, ad narrationem Plutarchi Pericl. 18.

(4) Codex, πλοποσήσω, et sic passim cum uno ny.

(5) Thucyd. I, 115; II, 31.

(6) Ipse de se Pericles ibid. II, 60 : οὐδενὸς ἧσσων οἶομαι εἶναι γνῶναί τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι ταῦτα, φιλόπολίς τε καὶ χρημάτων κρείσσων. Cf. II, 65; Plut. Per. 15.

» ἐκ τοῦ πολέμου τὰ τῶν πιπτόντων ὅπλα καὶ » μόνα » , ἐβόων· ἵν' οὕτω τις, κἂν δόξῃ φιλοκερδὴς, δικαίως ἂν ἀπολογησόμενος, ἄλλο τι σκυλεύων, ἀλλ' ὅπλα συλλέγων ὅμως, μὴ ἔχῃ τὸν διαβάλλοντα.

Ἦν οὕτως, καὶ ἄλλων μὲν αἱ οἰκίαι δι' ἐμοῦ κατὰ τῶν ἐμῶν πόνων ἐπληροῦντο χρημάτων· ἡ δ' ἐμὴ οἰκία πανοπλιῶν· καὶ κατὰ πόλιν μὲν ἦσαν ἐμοὶ εἰς δόξαν τὰ ἐκ τοῦ δήμου γέρα, οἴκοι δὲ τούτοις ἐκυδρούμην μᾶλλον, ὥσπερ στήλαις καὶ ἱστορίαις τῶν ἐμῶν ἀνδραγαθιῶν, ἤπερ (1) ἄλλῳ τινί. Πολλάκις δὲ καὶ λογισμὸς εἰσῄει φιλόπολις, ὡς πάλιν, ἐπιστάντος καιροῦ, χρησιμεύσει τὰ ὅπλα, καὶ πολλοὺς ὁπλίτας αὐτίκα ποιήσει οὓς φύσις μὲν ἴσως ὁπλίζει ἐμφύτῳ τόλμῃ καὶ γενναιότητι, ὁ δέ γε βίος αὐτοῖς ἐμποδὼν ἵσταται μηδὲν εἰς ὅπλισιν (2) χορηγῶν, καὶ μία μόνη ἡ Περικλέους οἰκία πολλοὺς ἐρεθίσει πρὸς μάχην καὶ ἱκανοὺς ὑπὲρ τῆς πατρίδος ὁπλίτας ἀποφανεῖ.

Τὴν γοῦν ἐμὴν περὶ τὴν πόλιν προμήθειαν καὶ τὸ ὑπὲρ τῆς πατρίδος κηδεμονικὸν, πάντες μὲν, ὡς εἰκὸς,

(1) Codex, εἴπερ. Jungo μᾶλλον ἤπερ ἄλλῳ τινί. Maximus Tyr. Diss. XXIV, 5 : ἀποκρινάσθω ἡμῖν ὑπὲρ τοῦ Σωκράτους Πλάτων, ἢ Ξενοφῶν, ἢ Αἰσχίνης, ἤ τις ἄλλος τῶν ὁμοφώνων αὐτῷ. Similis pronunciatio vocalium η et ει nocuisse videtur Alexidi Athenæi, VI, 45 : Ἐμοὶ παρασιτεῖν κρεῖττον ἦν τῷ Πηγάσῳ, Ἢ τοῖς Βορεάδαις, ἤ τι κρεῖττον ἔτι τρέχει, Ἢ Δημέᾳ. Quum sit in codice ἢ εἴ τι κρείττον, nil est amplius quærendum, monente optime Jacobsio; quæ lectio si bona fortuna non fuisset servata, potuisset etiam legi, Ἢ τοῖς Βορεάδαις, ἤ.... τί κρεῖττον ἔτι τρέχει; scilicet, nominatis Boreadis, quærit parasitus quis eis sit velocior. Aliud est loci vitium, sed jam non librarii, imo auctoris; significationis varietas in tertio ἤ. Quam orationis negligentiam accuratæ pronunciationis artificium et gestus reparabant.

(2) Codex, ὅπλησιν. Idem mendum fuit notatum t. I, p. 458, ad p. 377, 24.

καὶ μᾶλλον οἷς εὐδνώμων ἡ περαίρεσις καὶ φιλόπολις, οἶδα, θαυμάσονται. Καὶ αὐτὸς δὲ ὁ φίλιος Ζεὺς, ᾧ συνωνομάσθην ἐγὼ (1) ψήφῳ τῆς ὑμετέρας βουλῆς, τὸν σκοπὸν, ὡς οἶμαι, ἀποδεξάμενος, κατένευκε τὸν σκηπτὸν, οὐχ ἵν' ἐλέγξῃ τὴν καχίαν, ἀλλ' ἵνα φανερώσῃ τὴν ἐμὴν ἀρετὴν, ἐπειδὴ καιρὸς οὐκ ἦν φανερῶν ἐμὲ τὴν περαίρεσιν.

Μόνος δ' οὗτος ὁ βάσκανος καὶ φίλερις ἄνθρωπος περιτρέπει μοι τὸ καλὸν, καὶ τυραννίδος ἐπίθεσιν ἐγκαλεῖ τῷ ὑπὲρ τοῦ πῶς ἂν συσταίη δῆμος προμηθουμένῳ. Καὶ ὅτι μέν ἐστι τυραννὶς λέγει, κἀμοὶ προσάπτει τὸ ἔγκλημα· τί δὲ τὸ παρεισίων με τὰ τῶν τυράννων φρονεῖν ὐκ ἔχει παράγειν, κἂν διαρρᾳγείη λέγων ἐπὶ τοῦ βήματος. Εἰπὲ γάρ μοι· ἔχεις προβαλέσθαι τινὰ εἴτ' ἐλεύθερον, εἴτε καὶ δοῦλον, εἴτε τινὰ τῶν οἰκείων, εἴτε τῶν ξένων, ἔστω δέ γε καὶ τῶν ἐχθρῶν, ᾧ δή ποτε περὶ τυραννίδος ὁμολογούμην ἐγώ; Παρελθὼν οὗτος ἐλεγχέτω, λεγέτω ὡν τῷ ἐμῷ τούτῳ ὕδατι· κἀγὼ σιωπήσομαι. Καί τοι γε οὗτος ὁ τρόπος τῆς κατηγορίας, οὕτως ὑμεῖς κρίνειν ὁμωμόκατε, οὕτως εἰσάγονται τὰ ἐγκλήματα· ἔτυπέ μέ τις; καὶ ὁ μαρτυρήσων παρέστηκεν· οὗτος πρόδοτης τῆς πόλεως; καὶ ὁ συνίστωρ ἰδού· οὗτος δύσνους; καὶ σύνοιδεν ὁ παρών. Σὺ δ' ὅμοιον ποιεῖς ὥσπερ ἂν εἰ καὶ προδοσίας ἐγράφου τὸν νυκτὸς τὴν πόλιν ἐμπρήσαντα

(1) Pericli inditum fuit cognomen Olympio. Vide Plut. Per. 8; Diodor. XIII, 98, ubi Wessel.; Maxim. Tyr. IX, 8, ubi Davis.; Bayl. Dict. in *Périclès*, n. D. In loco Valerii Max. V, 10, ext. 1, « non sine causa igitur tanti » roboris animus ad Olympii » Jovis cognomen ascendit », Colerus ac Grævius (hic ad Lucian. Imagg. 17), qui « Jovis » deleri volunt, omnino errant.

ἐξ εὐνοίας πολλῆς, μή πως λαθὼν ὁ ἐχθρὸς ὢν τὸς γένηται, τῶν φυλάκων ἀμελησάντων. Ἀλλ' ὅτ', οἶμαι, δύσνους ἐκεῖνος ταῦτα ποιῶν· οὐτ' ἐγὼ τυραννικοῦ φρονήματος ἐγκληθείην, ὅτι πανοπλίας ἐκτώμην ὑπὲρ τῆς πόλεως.

Τί δὲ καὶ βουλόμενος ἐπεχείρουν τῷ τυραννεῖν· ἵνα δόξαν καὶ τιμὴν περισλάβω τινά; ἀλλ' ἵνα πλοῦτον περισκήσωμαι; ἀλλ' ἵν' ἐπιδόξῳ ὀνόμαλος ἐπιβῶ (1); καὶ ποίαν ὑπερβολὴν ἐπὶ τούτοις ἄλλῳ παρῆκα (2) τῶν πολιτῶν; οὐχ ὑμεῖς ἐς τοσοῦτόν με τιμῆς κατεστήσατε, ὥστε καὶ πατρὸς τάξιν ἐπέχειν παντὶ τῷ δήμῳ, καὶ ἄγειν ὑμᾶς δύνασθαι ὅπου δεῖ, καὶ μένειν παρασκευάζειν ὅπου μὴ δεῖ (3); τίς ἄλλος ὑπὲρ ἐμὲ κολακείας ἠνέγκατο πρόσρημα καὶ τοῦ δημηγορεῖν πρὸς χάριν, οὐ πρὸς τὸ βέλτιστον, ἐκ τοῦ πολὺ παρ' ὑμῶν ἔχειν τὸ συγκεχωρηκος, καὶ μὴ νοσοῦντας ἐπέχειν καὶ νοσοῦντας πάλιν ἐξάγειν, καὶ πείθειν καθ' ὅ τι ἦν βουλομένῳ ἐμοί; τίς ὁ ἐπάρας ὑμᾶς πρεσβείαν ἀτιμάσαι Λακωνικὴν καὶ παρὰ τὴν παροῦσαν τύχην ἐξενηνοχέναι πρὸς Πελοπόννησον πόλεμον; πόσους ἄλλους στρατηγοὺς παιδόντες καὶ ῥήτορας τὰ πρὸς

(1) Il. Θ, 285 : Τὸν εὐκλείης ἐπίδησον· ubi Heyn., quem vid. et ad Pind. N. XI, 57, coll. H. Stephano De Sophoclea imitat. p. 88. Dixit Leo Diac. V, 3 : εὐφραγίαις ἐπιβάντες.

(2) Plut. De malign. 6 : φθόνου καὶ κακοηθείας ὑπερβολὴν οὐ λείπει. Photius contra Manich. I, p. 98 : ἀπεδέχετο τὴν μηδεμιᾷ ἀθετόητι ὑπερβολὴν λιποῦσαν ἀσέβειαν. Conf. supra p. 269, 25; t. IV, p. 385, n. 3; t. II, p. 6. Hic quam feci in Plethone correctionem firmant codices 963, 2540.

(3) Thucyd. I, 127 : ὢν γὰρ δυνατώτατος τῶν καθ' ἑαυτὸν καὶ ἀξιῶν τὴν πολιτείαν. Rursus, II, 65 : οὐκ ἦγετο μᾶλλον ὑπ' αὐτοῦ (τοῦ πλήθους) ἢ αὐτὸς ἦγε. Valerius Max. VIII, 9, ext. 2 : « egit enim ille » (Pericles) urbem et versavit » arbitrio suo. » Vide et Bayl. Diction. l. l.

ῥασιώνην παραινῶνίας (1) ὑμῖν (2), μίαν ἁπασῶν βυλὴν ἐδέξασθε τὴν ἐμὴν, καὶ ὥσπερ ἀπὸ Πυθῶνος ἢ καὶ Δωδώνης μαντεῖα τοὺς λόγους εἴχετε τοὺς ἐμοὺς (3), παῤῥμῶντας καὶ ταῦτα πρὸς κίνδυνον; ποία μείζων ἄλλη ἐμοὶ τιμὴ, ἢ ἡ παρ' ἁπάσης ἐκύσης τῆς πόλεως, καὶ ἡ παρὰ παντὸς τοῦ δήμου δόξα, χαίροντος τῷ δοξάζειν ἐμὲ καὶ δόξαν οἰκείαν τὴν ἐμὴν δόξαν ἔχοντος; ἔστι τινὰ παρ' ἑκόντων τιμὴν ἔχοντα ζητεῖν παρ' ἀκόντων ἔχειν τινῶν; ἔστι παρὰ πάντων μεγαλυνόμενον παρὰ πάντων καταῤῥεῖσθαι δέχεσθαι; ἔστιν, ἐξὸν ἀγαπᾶσθαι, τὸ μισεῖσθαι προκρίνειν, καὶ εὐφήμου δόξης ἀνταλλάττειν δύσφημον ὄνομα; Ζητήσατε τὸν παρήκοντα χρόνον, παρακαλῶ, εἰ τυραννικὸς ἐγὼ καὶ ὠμὸς ἐκεῖνον καὶ βίαιος, εἰ μὴ δημοτικὸς καὶ φιλόπολις, εἰ μεῖζον ἔσχον κατά τινος φρόνημα, εἰ λαμπρὰν καὶ ὑπὲρ τὰς τῶν ἄλλων τὴν οἰκίαν ᾠκοδομούμην, καὶ πολλοῖς ἐθρυπτόμην τοῖς ἀκολούθοις, καὶ ἀνεσόβουν ἐν ταῖς ὁδοῖς διερχόμενος. Ταῦτα σημεῖα γνώμης τυραννικῆς, ταῦτα μοναρχίας δείγματα, καὶ τοῦ τὴν ὠδῖνα τῆς κακίας ἐπὶ καιροῦ ἐκρῆξαι βούλεσθαι

(1) Thucyd. I, 139.

(2) Codex, ἡμῶν. Illa pronomina ac similia ubique pronunciatio recentior permutavit. Libanius t. IV, p. 43, 7 : ὁρᾶτε, ὦ Τρῶες, μὴ καὶ πρὸς ἀλλήλους τοῦτο πάθητε, καὶ τὸ τόσημα πάσας ἐπίλθοι τὰς πόλεις, καὶ πονηρὸν ἦθος παρ' ἡμῶν ὁρμηθῇ · imo ὑμῶν, quod habet codex 3017; imo ἐπίλθῃ, quod et habet. At, quæ est calami inconstantia, ibidem male legitur πάθοιτε. Julianus Epist. 26 : τὸ τῶν ὑφ' ἡμῶν τοῖς Γαλιλαίοις. . . καθοδὸν εἰς τὰς ἐκκλησίας αὐτοῖς, ἀλλ' εἰς τὰς πατρίδας, συνεχωρήσαμεν. Non intelligo quid velit ὑφ ἡμῶν. Quod reperi in cod. 2964, si rescribatur ὑφ' ὑμῶν, intelligam : « a vobis rogati ac » sollicitati. »

(3) De hac hyperbole vide not. ad Eunap. p. 285. Athenæus II, 6 : ὃν τρίποδος λέγειν φαμὲν τὸς ἀληθεύοντας. Adde Gronov. Lectt. Plaut. p. 257.

τεκμήριον ἱκανώτατον. Ἀλλὰ τί γε ἄλλο τὸ ἐπηρκὸς ἂν (1) πρὸς τυραννίδος ἐπίθεσιν; τὸ πλουτεῖν βούλεσθαι; καὶ μήν, εἴπερ πλουτεῖν ὠρεγόμην, οὐκ ὀλίγαι μοι πρὸς τοῦτο προφάσεις τῇ τύχῃ ἐσχεδιάσθησαν· εἶχον γὰρ ἐκ τῶν προσπιπτόντων πολέμων προίεσθαι χρήματα· εἶχον λαμβάνειν καὶ παρ' ὑμῶν αὐτῶν, ὡς ἀεισιτείων ἔπαθλα· ἀλλ' εἷς μοι πλοῦτος ἔδοξεν ἱκανὸς καὶ τοῖς ἐμοῖς αὐτάρκης, ἥ τ' ἐμὴ πρὸς τὸν δῆμον εὔνοια καὶ ἡ ἀπ' ἐκείνου πάλιν ἀγάπησις πρὸς ἐμέ. Καὶ ταύτῃ συζῶην· εἴθε καὶ ταύτῃ γε συναπέλθοιμι.

Ἐγὼ δὲ δέδια μὴ οἷς ἀναγκάζομαι λέγειν καὶ περὶ τῆς δυνάμεως τῆς ἐμῆς, ἣν ὡς ὀχυρόν τι μηχάνημα κατὰ τῆς ἐμῆς προαιρέσεως ὁ καλήγορος ἴσῃσι, τούτοις καί τι τῶν ἀπορρητοτέρων φθέγξομαι, ὃ ἥδειν μὲν πάντως γιγνόμενον ἐπ' ἐμοί, ἐπήνουν δ' ἐς ἀεὶ τὴν ἐπίνοιαν ὡς οἷόν τε σώζειν τὴν τῆς ἡμετέρας κατάστασιν πόλεως, καὶ οὐχ, ὅτι δόξῃ τιμῆς παρὰ πολλῶν ἐτηρούμην, ἐκάκισα πώποτε, ἀλλ', ὅτι παρὰ πολλῶν εἶχον ἂν ὡς τὸ εἰκὸς μαρτυρεῖσθαι, μᾶλλον ἠγάπησα, καὶ φρονίμους ἐλογιζόμην τοὺς τὸ καλὸν παντὶ σθένει πολυωρεῦντας παρὸν, ἢ (2), καταφρονήσαντας τὴν ἀρχήν, ἀπὸν ἐκζητοῦντας. Ὡσαύτως, ἵν' εἴπω καὶ περὶ ἐμαυτοῦ, ἐκεῖνός μοι καλλίων ἐδόκει καὶ δοκιμώτερος, ὃς ἂν, ἀρθεὶς ἐκ κατορθωμάτων μέγας, ἑαυτῷ χώραν κακῆς ὑποψίας παρέσχῃ καὶ τοῦ νεωτερίσαι βούλεσθαι, ἢ ὁ μηδὲν ἄξιον πράξας ἐπαινῶ μηδ' ἐπαρθεὶς, εἶτα μηδὲν εἰς φρονηματισμὸν μηδόλως ὑποπλευόμενος.

(1) Num ἂν εἴη? (2) Ellipsi nota adverbii μᾶλλον.

Πῶς τοίνυν ἔμελλον τυραννεῖν, ὦ καινῶν ἐπινοιῶν πλάσται καὶ συκοφάνται, ᾧ μηδ' ἐπὶ τῆς οἰκίας μόνῳ μηδ' ὥραν ἐξῆν ἑαθῆναι τῆς τῶν πολλῶν ἐνοχλήσεως; Δεῖξον ὑπασπιστὰς τοὺς ἐμούς, παράστησον τοὺς δορυφόρους, φέρε τοὺς κοινωνοὺς τῶν ἀπορρήτων ἐμοί· καὶ δείξεις τότε, οὐ λόγους λέγων κενοὺς οὐδὲ σκιὰς ἐγκλημάτων, ἀλλ' ἀντίκρυς δεικνὺς πράγματα. Εἰ δὲ στρατιώτας εὐνους εὑρήσεις τῆς πόλεως καὶ οἷς ὁ δῆμος (1) ἐπὶ πᾶσι τεθαρρηκὼς ὡς πιστοῖς, αὐτόθεν κατάβαλλε (2), μή πού τι κατηγορῆς μὲν ἐμοῦ, κρίνῃς δὲ τούτους πάντας, καὶ δόξῃς κοινὸς συκοφάντης, οὐκ ἴδιος.

Εἶδές ποτε — ἀλλὰ τί δεῖ μοι πρὸς τὸν χρηστὸν τοῦτον, καὶ μὴ πρὸς ὑμᾶς, τοὺς λόγους ποιεῖσθαι; εἴδετέ ποτε, βέλτιστοι, δίχα βουλῆς (3) καὶ δορυφόρων ἢ τοῦ πλουτεῖν, τύραννον; εἴδετε δημοτικὸν εἰς πάντα ἢ ἥμερον τοιαύτην αἰτίαν σχόντα πολέ;

Ἀλλ' ὅμως, ἅπαξ μιᾶς γενόμενος προαιρέσεως, τὸ τἀμὰ κακίζειν, ὁ συκοφάντης οὐδέν, ἀλλ' ἄνω καὶ κάτω « ὁ σκηπτὸς » λέγει « καὶ αἱ φανερωθεῖσαι » χίλιαι πανοπλίαι », καὶ ταύταις τὴν τυραννίδα συνιστᾷν βούλεται, ἢ ὅτι μὲν πανοπλίαι ἢ ἐπὶ τῆς οἰκίας εὕρηνται τῆς ἐμῆς τραπέζῃ διέξεισι σῶμα τι. Τί δ' ἔστι τὸ κωλύον ἔχειν πανοπλίας τὸν στρατηγὸν, καὶ τίς νόμος ἀπαγορεύει μὴ ὅπλα κεκτῆσθαι τὸν στρατιώτην, καὶ χρείας πέρα πολλάκις, ὅτι ἔχει

(1) An ἐστὶν inserendum?

(2) An καταβαῖνε? « descende e suggestu. »

(3) Tyrannus sine senatu! quid mirum! An δίχα ὅπλων? Sæpe omitti compositorum præpositiones animadverti. Photius Epist. 234, p. 352 : τῷ ἔρωτι συμπροιοῦσα ἡ ἐξουσία τῆς ἀπολαύσεως ἄφατόν τινα καὶ ἀνεκδιήγητον ὡς ἀλη-

δεικνύειν οὐδ' ὁπωσοῦν. Ἐγὼ δ' ἐρήσομαι τοῦτον· ῥήτωρ εἶ πάντως καὶ βίβλοις σχολάζεις, καὶ οὐκ ἔχεις οὐδαμῶς ἀντειπεῖν· τί γοῦν; κέκτησαι καὶ πέρα τῆς χρείας πολλάκις βίβλους ἐκ περισσοῦ; ἢ συμμετρεῖς τῇ χρείᾳ τὴν κτῆσιν; κἂν διδῷ τις ἕτερος, οὐ λαμβάνεις; κἂν εὐώνῳ περιτύχῃς, οὐκ ἐξωνῇ; κἂν εἴ τις εἰς χεῖρας γένηται ποθὲν προσπεσοῦσα, ἅμα πυρὶ παραδίδως ταύτην, ὡς ἂν μὴ περισσὴ φαινομένη ἐμπιπλᾷν ἔχῃ πολλῆς ἀηδίας τὸν ῥήτορα; εἰ δέ τίς σου καὶ ἄλλος περὶ τῆς μιᾶς ἐκείνης βίβλου δεήσεται, τί ποιήσεις τότε; ἀπόκριναι· σκληρὸς φανήσῃ, καὶ οὐ παραδέξῃ τὴν αἴτησιν; καὶ τοῦτο οὐ φιλαλλήλου τρόπου καὶ φιλοπόλιδος· ἀλλ' ἀνὰ μέρος χρήσεις, καὶ πάλιν ἐπὶ καιροῦ σοι ἔσται τὸ δάνειον.

Ἀλλὰ σὺ μὲν οὕτω λέξεις ἴσως, καὶ πιθανὸς δόξεις, χωροῦντος τοῦ πράγματος τὴν ἀπολογίαν. Τί δέ; ἔχω κἀγὼ ποιῆσαι τοῦτό ποτε, καὶ, καιροῦ πρὸς τὴν μάχην καλέσαντος, διδόναι τὴν πανοπλίαν ἑτέρῳ, καὶ ἐπ' οἰκίας καθέζεσθαι, ἕως οὗ, τοῦ δανείου μοι ἐπανασωθέντος, πολέμου καὶ μάχης ἀναμνησθῶ; ταχύ γ' ἂν ἀπέλιπέ μοι σὺν τῷ δανείῳ καὶ πᾶσα πόλις καὶ δῆμος καὶ πάντα πόλεως πράγματα.

Τέως δ' ὅμως, εἰ σὺ τοιοῦτος περὶ τὰς βίβλους, προαιρέσεως, εἰπέ μοι, πάθος, ἢ βούλημα νόμου, τὸ πρᾶγμα θήσομεν; καὶ, εἰ μὲν προαιρέσεως, οὐ πρὸς ἄλλους οὗτος ὁ λόγος, ἀλλὰ προσήκων σοὶ καὶ

θῶς τὴν χαρὰν ἐκείνην καὶ ἀγαλλίασιν ἐργάζεται· non pejus ἐνεργάζεται est in codice 2671. Theophrastus Char. 1 : εἰρωνεία δόξειεν ἂν εἶναι, ὡς τύπῳ λαβεῖν, προσποίησις. . . Codex Mazar. A 86, διαλαβεῖν : bene quidem ac facili sententia ; sed sunt alia Theophrasti loca quæ criticum emendaturientem retineant.

μόνῳ παρὰ πάντας σοὶ καὶ δικαίως σοί· εἰ δὲ βάλημα νόμου, δεῖξον τὸν νόμον αὐτίκ' ἐνεγκών, καὶ σὺ μὲν ἔσῃ κατὰ νόμους πράττων καὶ παρὰ πᾶσιν ἐπαινετὸς, ἄλλους δὲ μὴ οὕτω ποιοῦντας δικαίως αἰτιάσῃ, ὡς νόμον πόλεως παραβαίνοντας. Οὕτω καὶ περὶ τῶν ἐμῶν εἴσοιμι· εἰ νόμος ἐστὶν ὁ κωλύων πανοπλίας ἔχειν τὸν στρατηγὸν καὶ πέρα τοῦ δέοντος, δὸς ἀναγνῶναι θαρρύντως τῷ γραμματεῖ (1)· κἀντεῦθεν ἄλλοι μὲν ἴσως, οἷς οὐκ ἦν ἔχειν ταύτας οὐ περισσοῦ, ὡς φύλακες νόμου ἐπαινεθήσονται, ἐγὼ δ' ὑφέξω τὰς δίκας ἀξίας (2). Πλὴν δ' οὐδὲ τότε, θαρρῶ, εἰς νεωτερισμὸν καθαδικασθήσομαι· ἀλλ' ἔσται τὸ ἔγκλημα νόμου παράβασις, καὶ χαίρων ὑποίσω τὸ ἀπὸ νόμου πρόσιμον.

Ἔσχον πανοπλίας ἐγὼ, ἔσχον χιλίας καὶ πλείους, στρατηγὸς ὤν, καὶ ταῦτα, ὦ Ζεῦ, εἰ δὲ βούλει (3), καὶ Περικλῆς, ὃν δὴ καὶ Ὀλύμπιον εἰς Πύκνα κηρύττουσι. Τί τῷ Ὀλυμπίῳ τὸ ἴδιον; εἰπὲ, παρακαλῶ· ὃ τὸ κοινωνικὸν πρὸς τοὺς ἄλλους θεοὺς, καὶ, ὧν αὐτῷ τὸ πρεσβεῖον τῆς θειότητος κατεκλήρωσε, τούτων τὸ μετέχειν τοῖς ἄλλοις, ὅσι καὶ τούτοις, εἰ καταδεεστέρως, θεοῖς; Τοῦτον ἐμιμησάμην, τολμήσας εἰπεῖν, κἀγὼ, καὶ τὴν ὑμῶν ψῆφον διὰ τῆς ἐμῆς ἐκύρωσα προαιρέσεως, κἀπὶ τοῖς ὅπλοις τὸ κοινωνικὸν πρὸς τοὺς λοιποὺς

(1) Frequentes sunt in orationibus veterum τοῦ γεμματέως partes. Atque obiter animadvertam posse illo nomine librum ellipsium græcarum augeri. Lycurgus p. 125 Hauptm.: ἀναγνῶσαι ὑμῖν τὰς μαρτυρίας. Demosthenes Leptin. § 23: τὸν νόμον ὑμῖν αὐτὸν ἀναγνῶσαι· ubi Wolf. Isæus de Men. § 5: καί μοι τὰς μαρτυρίας ἀνάγνωθι ταύτας. Plene Lycurgus p. 148: καί μοι λάβε τὸ ψήφισμα, γεμματεῦ.

(2) Forsan ἀξίως.

(3) Videtur aliquid ad integritatem sententiæ deesse.

ἐπενόησα. Ἐλογισάμην κατ' ἐμαυτὸν ὅτι πολλοῖς καὶ θέλουσιν ἀμύνειν ὑπὲρ τῆς πόλεως ἐμποδὼν ἡ πενία ἵσταται, καὶ γυμνοῖς σώμασι πρὸς ἐχθρὸν διακινδυνεύειν τούτοις ἥκιστα ἀσφαλές. Κείσθων ὡς θησαυρὸς ἐπὶ τῆς ἐμῆς οἰκίας τὰ ὅπλα· κοινὸν ταμιεῖον ἔστω τοὐμὸν ταμιεῖον. Σχῆμα φέρω τῆς πόλεως, στρατηγῶν, ῥητορεύων, βουλεύων, πολιτευόμενος· ὅλος αὐτὸς ἀφιέρωμαι τῇ πατρίδι· τί ξένον, εἴπερ καὶ τὸ ἐμὸν οἴκημα κοινὸν τῆς πόλεως εἴη, καὶ τὰ ἐν αὐτῷ πάντα ἐπὶ καιροῦ τῇ πατρίδι φυλάττοιντο; εἰ δὲ καὶ χρημάτων περισσῶς εἶχον, οὐχ ἡγούμην ἂν καὶ ταῦτα τῷ δήμῳ κοινὰ, ἐπὶ χρείας συνοίσοντα; καὶ πῶς ἂν, ἄλλως ἔχων, δικαίως φιλόπολις ἤκουον;

Ἐγὼ δὲ καὶ ὑμᾶς αὐτοὺς οὕτως ἔχειν λογίζομαι, ὡς μέχρι τούτου τῷ κεκτημένῳ λογίζεσθαι ἴδια ἅ τις ἔχοι, ἢ πατρόθεν πεσόντα ἢ πόνοις κτηθέντα ἢ καὶ τύχης διδούσης, πράγματα, ἕως οὗ μὴ τούτων ἡ χρεία ἀναγκαία γένηται τῇ πατρίδι· ζητούσης δὲ τῆς κοινῆς ἀνάγκης ταῦτα, παραυτίκα τούτων ἁπάντων τοὺς ἕως τότε κυρίους τῇ θρεψαμένῃ πόλει ἐξίστασθαι.

Οὗτος ὁ λογισμὸς δίκαιος νομιζόμενος ἐποίει κἀμὲ τὸ μέρος τῶν πανοπλιῶν φιλοκτήμονα· τοῦτον τὸν σκοπὸν ἔχων ἐπὶ νοὸς, καὶ οὐ κακίας τυραννικῆς ἐφιέμενος, ὅπλων πεπλήρωκα τὴν οἰκίαν, ὡς μάχης, ἂν εἴποιμι, τὴν ψυχήν. Δι' ἣν αἰτίαν, καὶ βλέπων αὐτὰ καθ' ἑκάστην, ὁρμῆς ἐπληρούμην ἀρεϊκῆς· εἰ δέ που καὶ ἁπτοίμην τούτων, ἀνακλητικὸν οἷον ηὔλουν πρὸς πόλεμον, λαμπρότερον σάλπιγγος. Τίς δ' ἄλλος ἀνδρὶ στρατηγῷ κόσμος ἀμείνων τῶν ὅπλων τοῖς

ἔξωθεν παραβάλλουσιν; ὅθεν ἐκυδρούμην τοῖς ὅπλοις, ὁμολογῶ· καὶ, μονονοὺ πόλεμον βλέπων καὶ παρατάξεις στρατιωτῶν, παρεθηγόμην εἰς ἀνδρίαν καί τι καὶ ἐνύαλιον ἔμελπον. Καὶ ἄλλοις μὲν αἱ κατ' οἶκον ἱστορίαι καὶ αἱ πολυτελεῖς τράπεζαι, καὶ ἄμπελοι καὶ κῆποι φιλοκαλούμενοι, παρὰ ταῖς οἰκίαις τέρψιν ὁσημέραι (1) παρεῖχον τὴν γιγνομένην· Περικλεῖ δὲ μόνῳ τὸ πανοπλίας βλέπειν, καὶ πολέμους ἐνθυμεῖσθαι καὶ μάχας, τρυφή.

Σὺ δ', ὡς ἔοικε, καὶ μελετῶν ὁρῶν ἐπὶ τῆς οἰκίας σχεδάρια, ἐπειδή σοι ἅπαξ παρεχώρησεν ὁ σκηπτὸς ψηλαφᾷν τὰ ἐμὰ, ἕως νῦν ἀνεκδότων οὐσῶν; καὶ ἑτοίμων λεχθῆναι εἰ καλέσει καιρὸς, ἄλλην εἰσάξεις δίκην, ὡς ἐκεῖνα μελετῶντος ἃ δὴ μήπω συνέβησαν. Ἐγὼ δὲ, ἀλλὰ μηδὲ συμβαῖεν ποτὲ εὐξαίμην τῇ πόλει ὅσα φέρουσι κίνδυνον· πλὴν πρὸς συμβούλου σοφοῦ, καὶ παρηκολουθηκότος πράγμασι πόλεως, προφυλακτικοῖς χρῆσθαι λόγοις πρὸς τὰ πολλάκις ἂν ἐκ τύχης παρεμπεσούμενα, τρόπον τὸν αὐτὸν ἰατροῖς, οἳ δὴ πολλάκις καὶ πρὸς ἐλπιζόμενα νοσήματα (2) ἵστανται, καὶ οὐχ, ὅτι προμελετῶσι τὴν φυλακὴν, ἤδη καὶ προκαλοῦνται τὴν νόσον, ἀλλ', ὅτι προφυλάττονται ταύτην καὶ ἐλπιζομένην, κωλύουσιν. Οὕτως ἐγὼ περὶ τὴν πατρίδα.

Καὶ οὐδὲν ἕξεις λέγειν κατὰ τῆς ἐμῆς, κἂν πολλὰ

(1) Maximus Tyr. Diss. XIV, 1: τούτους ἅπαντας οὐ θαυμάζεις τῷ δαιμονίῳ ὁσημέραι συγγινομένους. Est ὅσαι ἡμέραι in cod. 2962, quod minus atticum esse dicunt magistri.

(2) Hippocrates Aphor. IV, 74: οἷς ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι. De ἐλπίζω, in sensu exspectandi vel cum metu, quem sæpius habet et latinum sperare, vide quæ monui ad Aristæn. p. 496; ac Bæhr. ad Herod. I, 77; Victor. ad

συκοφαντῆς, πεφαιρέσεως, ὅτι μὴ τὰς φανοπλίας καὶ μόνας, αἷς ὡς σημείοις χρήσῃ τυραννίδος· καὶ πλέον οὐδέν. Ἐγὼ δ' ὅτι μὲν δεῖ καὶ ὅπλων τῷ τυραννήσοντι ἐξ ἀνάγκης, ὁμολογῶ· καὶ βλέπεις ὡς ἁπλῶς καὶ ἀληθῶς ποιοῦμαι τοὺς λόγους πρὸς σέ· ὅτι δὲ τυραννήσει πάντως καὶ ὁ κεκτημένος ὅπλα, οὐ συντίθεμαι πώποτε. Ἔστι γὰρ καὶ ἄλλου χάριν ὅπλα παρασκευάζειν τὸν πεφαιρεθέντα. Καὶ, εἰ βούλει, σκόπει, καὶ παράλληλα τούτοις τὰ λοιπὰ θοῦ· καὶ τὸν λόγον εὑρήσεις ἀληθινόν.

Ὁ ἀλλοτρίαις ἐπιχειρῶν γυναιξὶ, καὶ τοῦτ' αὐτὸ διὰ σπουδῆς ἔχων, πῶς ἂν τὰ παιδικὰ πρὸς ἑαυτὸν ἐπισπάσηται, εἰκότως εἰδὼς τὸ ἀπὸ φύσεως δέλεαρ ὅτι τὸ κάλλος ἐστὶ, μὴ τυχὼν αὐτόθεν, ἐπιπλάσῃ χρᾶται καὶ καλλωπίζεται· οὐ μὴν διὰ ταῦτα κἂ πᾶς καλλωπιζόμενος ἔνοχος ἐσεῖται (1) τῷ τῆς μοιχείας ἐγκλήματι· ἔστι γὰρ κἄλλου χάριν αὐτὸν καλλωπίζεσθαι. Πολλοὶ γὰρ φιλόκαλοι ὄντες καὶ τῷ αἴσχει ἀπεχθανόμενοι, ἐπειδὴ οὐκ ἔτυχον ἀπὸ φύσεως, φιλητικῶς (2) ἐπισκευάζουσιν ἑαυτοὺς, καὶ, καλοὶ μὴ ὄντες, δοκοῦσι καλοὶ, καὶ τὸ δοκοῦν, κἂν ἀληθείας ἀπῇ, κρεῖττον ἔδοξεν. Οὕτω κἂ πᾶς νυκτιλόχος πλανᾶται νύκτωρ, ὡς μὴ τῆς ἡμέρας τῷ κλέπτῃ διδούσης ἄδειαν (3)· οὐ μὴν δὲ καὶ πᾶς πλανώμενος νύκτωρ κλέπτης ἐστίν· ἔστι γὰρ, ὡς ξένον, πλανᾶσθαί τινα,

Aristot. Rhet. II, 8, 7; Barker. Class. Recreat. p. 340; Putean. ad Sophocl. t. I, p. 270, &c.

(1) De ea futuri forma, quæ Periclææ orationi non convenit, vide exempla supra, pag. 331.

(2) Codex φυλητικῶς, et e correctione φιλητικῶς.

(3) Epist. II ad Thess. V, 2: ὡς κλέπτης ἐν νυκτί. Alia de sententia vide in Duporti Gnomologia ad Il. Γ, 1.

καὶ αὖθις τῆς ὁδοῦ ἁμαρτόντα, κατά τινα τύχης δυσχέρειαν.

Σὺ δ' ὅμοιον ποιεῖς, ὥσπερ ἂν εἰ τὸ μέλι ξανθὸν ἔγνως καὶ τὸ ξανθὸν ἅπαν μέλι εἶναι διϊσχυρίζου, κακῶς εἰδὼς καὶ περὶ τὴν τῶν πραγμάτων ἁμαρτάνων διαίρεσιν. Τί τοίνυν ἀντιστρέφεις (1) κακῶς ὅπερ οὐκ οἶδεν ἀντιστρέφειν, καὶ, ὅτι τύραννος ἔχεται τοῖς ὅπλοις, ἐμέ, τὸν ὅπλοις χρώμενον, τυραννεῖν βούλεσθαι ἀξιοῖς, καὶ τὴν ἐμὴν φιλοτιμίαν φαυλίζεις ἀδίκως, καὶ ψέγεις τὸ ἐπαίνων πολλῶν παρὰ τοῖς ἐχέφρασιν ἄξιον;

Ἀλλὰ πρὸς μὲν τοῦτον ἄλις τῶν λόγων, ἅπαξ ἐχόμενον (2) τῶν αὐτῶν, καὶ οὐδ', ἂν πλείω φήσειέ τις, μεταπεισόμενον. Τί γὰρ ψυχῆς συκοφάντου δεινότερον (3); ἔχις ἄντικρυς δάκνων ἡ γλῶττα· κἂν ἀπείπῃ μόλις, ἀρκεῖται τῷ δήγματι καὶ τὸν ἰὸν ἀφίησι νέμεσθαι. Πρὸς δ' ὑμᾶς ἐρῶ τὸ δοκοῦν μοι καὶ λίαν παῤῥησιάσομαι, ἄνδρες δημόται καὶ συνεργασίαι τοῦ καλοῦ.

Ὑμεῖς μὲν οὖν, τινὲς ἐξ ἔτι με νηπίου ἐθρέψατε, ἄλλοι δὲ κἀπὶ πολεμικῆς παρατάξεως τὰ δυνατά μοι συνήρασθε, καὶ ἕτεροι μετέχετέ μοι βουλῶν τῶν ὑπὲρ τῆς πόλεως. Ἂν περὶ τοῦ παλαιὸς εἴπω Ξανθίππου ὡς δημοτικὸς ἀεὶ καὶ φιλόπολις (4), οὐ τῆς ἐξω-

(1) Ἀντιστρέφειν est in logicis propositionem convertere, ita ut subjectum fiat attributum, rursusque attributum abeat in subjectum; veluti in hac propositione, « tyrannus quilibet est utens » armis », quæ conversa, quæ δὶ' ἀντιστροφῆς, sic mutabitur: « quilibet utens armis est tyran- » nus. » Quam ἀντιστρέφειν fieri posse negat Pericles, idque merito.

(2) Forsan ἅπαξ ἐχόμενον.

(3) Cf. orationis initium supra pag. 351.

(4) Plutarch. Per. 3: Ξάνθιππος

θεν μαρτυρίας δεήσομαι· ἂν περὶ τῶν ἐμῶν συγγενῶν, ὑμεῖς οἴδατε· ἂν περὶ τῆς ἐμῆς ἀρχῆθεν ἀναστροφῆς, οὐ τόνδε ἢ τόνδε, ἀλλὰ πάντας ὁμοῦ παρασήσομαι μάρτυρας· Ἀναξαγόρας (1) μοι μαρτυρήσει μᾶλλον καὶ ἡ ἐκείνου σχολή. Ἐκεῖνος τῆς ἐμῆς ἐς τὸ ἀκριβὲς ἐφίκετο παραιρέσεως, καὶ, μέτριον μαθὼν καὶ κοινωνικὸν, τοῖς μετεωρολογικοῖς ἐνεγύμναζεν (2). Εἰ τὰς παράξεις λέγοιμι τὰς ἐμὰς, καὶ τοὺς πόνους ὧς ἔτλην τῆς πόλεως προϊστάμενος, καὶ ὡς χρημάτων διαφανῶς ἀδωρότατος γενόμενος, ἐλευθέρως κατεῖχον τὸ πλῆθος (3), τὸ πλῆθος ἅπαν μοι μαρτυρήσει. Εἰ δὲ καὶ πρὸς ὀργὴν ἀντεῖπον πολλάκις τισὶν, ὃ δυσμεναίνων, ἀλλ' εὐνοῶν, ὕβρει θαρσοῦντας ἐπὶ τὸ φοβεῖσθαι κατέπλησσον, καὶ δῆλον ὅτι καὶ δεδιότας ἀλόγως πάλιν ὑμᾶς ἀντικαθίστων ἐπὶ τῷ θαρσεῖν (4).

Καὶ ὑμεῖς μὲν ταῦτα συνοίδατέ μοι, καὶ ἐπὶ καιρῷ μαρτυρήσαιτε· ἐγὼ δὲ, τὸν συνήθη μοι τρόπον, μᾶλλον ὑπὲρ (5) τοὺς λόγους περβαλοῦμαι τὰ ἔργα, ἄγε ἐπὶ τοῦ βίου τοῦ καθ' ἡμέραν ἐπιδεικνύμην, τῆς ἐμῆς παῤῥησίας, ὡς αὐτὸς διϊσχυρίζομαι, ἄξια. Καὶ ἐμαυτὸν δείξω τῆς παρούσης κατηγορίας ἀνώτερον· οὐ ταπεινὸς φανοῦμαι· οὐκ ὑποπλήξω δοκιμαζόμενος·

γὰρ, ὁ νικήσας ἐν Μυκάλῃ τοὺς βασιλέως στρατηγοὺς, ἔγημεν Ἀγαρίστην, Κλεισθένους ἔγγονον ὃς ἐξήλασε τοὺς Πεισιστρατίδας καὶ....

(1) Qui fuit Periclis magister.

(2) Plut. Per. 5: τοῦτον (Anaxagoram) ὑπερφυῶς τὸν ἄνδρα θαυμάσας ὁ Περικλῆς, καὶ τῆς λεγομένης μετεωρολογίας καὶ μεταρσιολεσχίας ὑποπιμπλάμενος....

(3) Verba χρημάτων... πλῆθος sumpta sunt ex Thucyd. II, 65.

(4) Cod. καπεπλήττον. Thucyd. II, 65: ἔχων ἐπ' ἀξιώσει καὶ πρὸς ὀργήν τι ἀντιπίπτειν· ὁπότε γοῦν αἴσθοιτό τι αὐτοὺς παρὰ καιρὸν ὕβρει θαρσοῦντας, λέγων κατέπλησσεν ὥστε φοβεῖσθαι, καὶ δεδιότας αὖ ἀλόγως ἀνακαθίστη πάλιν ὥστε θαρσεῖν.

(5) Αν ὑπερ?

ὅλον παρέχω τὸν Περικλῆν εἰς ἐξέτασιν. Χρᾶσθε τῇ φίλῃ φρονήσει, ἐξ ἧς καὶ τοὺς ξένους κρίνοντες οὐχ ἁμαρτάνετε τοῦ προσήκοντος. Ἐρευνᾶτε τὴν ἐμὴν κατὰ λεπτὸν πολιτείαν, εἴτε τυραννικὸς ἐγὼ τοῖς ἄλλοις καὶ βίαιος, εἴτε καὶ μέτριος. Ἐρωτᾶτε τοὺς ἐγγὺς, τοὺς πόῤῥω, τοὺς ἐντὸς, τοὺς ἐκτός· οὐχ ὑβριοπαθήσω τούτοις, οὐ περιαλγήσω, ὅτι, δέον ἑαυτοὺς ἐρωτᾶν, ἑτέρους ζητεῖτε μαθεῖν.

Εἰ μὲν οὖν ἐξ ἄλλων κατακρινεῖτέ με, ὡς δικαίαν τὴν ψῆφον δέξομαι, οὐ ζυγομαχήσω (1) πρὸς τοὺς κριτὰς, οὐ λόγον γρύξω, οὐ φίλοις χρήσομαι, οὐ παῖδας ἀναβιβάσομαι (2), οὐ πόνοις τοῖς ἐμοῖς ἐμαυτὸν ἐξαιτήσομαι· εἰ δ' ὅτι κατ' οἶκον αἱ πανοπλίαι μοι θησαυρὸς, οὐκ ἔγκλημα λογιοῦμαι τοῦτο, ἀλλὰ μᾶλλον ὡς καλὸν ἀγαπήσω· κἂν εἴ τι πάθω, στέρξω πλειστάκις ἐκεῖνο ἢ τῶν ὅπλων μιᾶς ἡμέρας ἀποστερήσομαι. Δεῦτε, συστρατιῶται, δεῦτε, πολέμαρχοι· εἰ ζῆν ὑμᾶς ὅπλων χωρὶς ἀσφαλὲς, κατ' ἐμοῦ συνεπιψηφίσασθε· εἰ δὲ βαρὺ λογίζεσθε τοῦτο, ὡς ὄντων ἀναγκαίων τῶν ὅπλων, καὶ οὐχ ἧττον ἢ ἀναπνεῖν, στρα-

(1) De hoc verbo vide Strodtmann. in Miscell. Lips. Nov. t. VII, p. 650; Vater. ad Aristot. Rhet. III, 11, 13; et mea ad Aristæn. I, 2, ubi παύσασθε ζυγομαχίας. Quæ Aristæneti verba importunissime contulit Wagnerus cum Alciphronis loco dissimili II, 2, 39. Adde G. Lapitham 1346.

(2) Qui fuit reorum mos. Plato Apol. 23: ἱκέτευσέ τε τοὺς δικαστὰς μετὰ πολλῶν δακρύων, παιδία τε αὐτοῦ ἀναβιβασάμενος, ἵνα ὅτι μάλιστα ἐλεηθείη, καὶ ἄλλους τῶν οἰκείων καὶ φίλους πολλούς. Quem locum cum aliis plurimis adtulit ad Apul. III, p. 176, Elmenhorstius, cui Priceum addesis ibid. p. 151. Aristophanes Pluto 382: Ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθεδούμενον, Ἱκετηρίαν ἔχοντα, μετὰ τῶν παιδίων Καὶ τῆς γυναικός. Demetrius Cyd. De cont. morte c. 5, p. 41: μηδ' ἡμεῖς, ὥσπερ ἐν ταῖς δίκαις, τοῖς τῶν φιλη-

τιώταις οὖσι καὶ πολέμοις ἐξειλαζομένοις (1) συχνάκις ὑπὲρ τῆς πόλεως, δότε μοι θάῤῥος τοῖς λόγοις. Χρήσατέ μοι τὴν κοινὴν φωνήν· διδάξαι τὴν φύσιν τῶν ὅπλων· εἴσατε τίσι στρατιώτης τεθάῤῥηκα. Κἂν πείσητε· εἰ δ' οὖν (2), δέξομαι τότε τὴν δίκην ἡδέως, ὅτι στρατιωτικῆς ἐμπειρίας ὑπέχω δίκας· κἂν ἀπαλλάξω κακῶς, οὔ τί μοι μέλει. Μόνον ὑμῖν παραινῶ ἕνα πλοῦτον νομίζειν τὰ ὅπλα, κἂν κατηγορῇ τις φθονῶν, χρεῖττον ἡγεῖσθαι στρατεῖσθαι καὶ τῆς ζωῆς ἢ στρατιώτας ὑμᾶς ἀόπλους καὶ εἶναι καὶ λέγεσθαι.

δόνων παρσίχωμεν ὀδυρμεῖς, ὥσπερ γυναῖκας ἢ παιδία, τὰς ἑαυτῶν ὀρέξεις ἀναβιβαζομένων, καὶ ταύτῃ διάφορον τὴν δίκην ἐξαιτουμένων παρὰ αὐτῶν ἐνεχθῆναι. Vide ibi Kuinœl., cujus conjecturalis scriptura, τὰς ἑαυτ. pro τὰ ἑαυτ., firmatur codice 963. Libanius t. III, p. 2 : οἷς οὐκ ὀλίγοι τῶν φαύλως ἀδικούντων, τῷ τι παρ' ὑμῶν ἐλέῳ καὶ δάκρυσι τοῖς αὐτῶν καὶ παίδων ἱκετείαις, εὕρον σωτηρίαν, τοσοῦτον ἀφέστηκε (Socrates) διὰ πάντων αὐτὸν ἐξαιτήσασθαι, ὥς'.... Ibi εὕρηντο est in codice 1310, idque melius; nam sic loquuntur : vide Coray. ad Isocrat. p. 317; Valcken. ad Herod. IX, 6. Aristides t. II, p. 293, 2 : ἔπροι μὲν οὖν, παρὰ βασιλεῦσιν ἰσχύσαντες, δωρεὰν εὕροντο ἑαυτῶν παρεῖσιν εὖ ποιοῦσας. Codex 963, εὕροντο παρ' αὐτῶν πατρ. Quam apta sit lectio εὑρέσθαι παρά τινος evincunt multa quæ collegi exempla ad Philostr. p. 608. Forsan, ut pereat nihil, εὕροντο παρ' αὐτῶν ἑαυτῶν πατρ.

(1) Conf. orationis initium.

(2) Id est, κἂν πίσητε, καλῶς ἂν ἔχοι, τοῦτο ἄριστον· εἰ δ' οὔ... Nota ellipsis. Xenophon Anab. VII, 7, 15 : εἰ μέν τι σὺ ἔχεις, ὦ Μηδόσαδες, πρὸς ἡμᾶς λέγειν· εἰ δὲ μή, ἡμεῖς πρός σε ἔχομεν. Vide Valcken. in N. T. tom. I, pag. 217; Heind. ad Protag. 7; V. Cleric. ad Gnomol. Platon. p. 443; &c.

ΣΤΙΧΟΙ

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΑΘΗΝΩΝ

ΚΥΡΟΥ ΜΙΧΑΗΛ ΤΟΥ ΧΩΝΙΑΤΟΥ

Ἐπὶ τῇ ἀρχετύπῳ ἀνισορήσει αὐτῶν, τυπίσῃ τῆς πόλεως τῶν Ἀθηνῶν. *

Ἔρως Ἀθηνῶν τῶν πάλαι θρυλλουμένων
Ἔγραψε ταῦτα ταῖς (1) σκιαῖς περισθύρων,
Καὶ τοῦ πόθου τὸ θάλπος ὑπανασύχων
Ἐπεὶ δὲ οὐκ ἦν (2) οὐδαμοῦ φεῦ! περιβλέπειν
Αὐτὴν ἐκείνην τὴν ἀοίδιμον πόλιν,
Τὴν, δυσαρίθμου κἀμαχαίωνος χρόνου
Λίθοις, βυθοῖς κρύπτοντος, ἠφανισμένην
Ἐρωτολήπτων ἀτεχνῶς πάσχω πάθος,
Οἳ, τὰς ἀληθεῖς τῶν ποθουμένων θέας (3)
Ἀμηχανοῦντες τῶν παρόντων περιβλέπειν,

* E codice 963, p. 116, 2; non 1063, quod legitur in Biblioth. Gr. t. XI, p. 188, videnda ibid. de Michaele hoc Choniata, historici Nicetæ Choniatæ fratre.

(1) Codex, πῦ. Sæpe articuli permutantur. Georgius Trapezuntius, in Allatiana de Georgiis diatriba: οὐχ οἷός τ' ἂν τῶν ὑπὲρ τῶν συγγεγραφότων ἡμῖν ἀδόμενα φέρειν· imo τὰ ὑπὲρ...., ut est in codice 817.

(2) Codex, ἐπὶ δ' οὐκ ἦν. Forsan, ἐστὶ δ' ἔτ' οὐκ ἦν. Sed hiatus in politicis iambicis facile ferendus Quem non tam patienter feram in Teleclidæ anapæstico apud Plutarch. Pericl. 16: Λαΐνα τείχη, τὰ μὲν οἰκοδομεῖν, τὰ δὲ αὖτὰ πάλιν καταβάλλειν. Monet editor doctissimus scribendum esse τὰ δ' αὖτά, ut Valckenaerius correxit. Correctio illa, quæ metro plusquam hiatus ipse nocet, est corrigenda. Legerim, τὰ δέ γ' αὖτά.

(3) Non capio θέας in Homeri H. in Cer. 63: αἴδεσαί μ' θέας ὕπερ. Conjeci, αἴδ. μ' ὁσίας ὕπερ. Conjecturæ favent Iunati literarum ductus. Sensus erit: « per quodcumque pium est fasque jubet. »

Τὰς εἰκόνας ὁρῶντες αὐτῶν ὡς λόγῳ
Παρεμυθοῦνται τῶν ἐρώτων τὴν φλόγα (1).
Ὡς δυσλυχὴς ἔγωγε, καινὸς Ἰξίων (2),
Ἐρῶν Ἀθηνῶν, ὡς ἐκεῖνος τῆς Ἥρας,
Εἶτα λαθὼν εἴδωλον ἠγλαϊσμένος (3),
Φεῦ! οἷα πάσχω καὶ λέγω τε καὶ γράφω (4)!
Οἰκῶν Ἀθήνας, οὐκ Ἀθήνας που βλέπω,
Κόνιν δὲ λυπρὰν καὶ κενὴν μακαρίαν (5).
Ποῦ τὰ σεμνά, τλημονεστάτη πόλις;
Ὡς φροῦδα πάντα καὶ κατάλληλα μύθοις,

(1) Lucianus Nig. 7 : *οἱ ἐρασταί, τῶν παιδικῶν οὐ παρόντων, ἔργ' ἄττα καὶ λόγους εἰρημένους αὐτοῖς διαμνημονεύουσι καὶ τύποις ἐνδιατρίβοντες, ἐξαπατῶσι τὴν νόσον.* Procopius Epist. 13 : *νῦν τοὺς σφοδρὰς μιμεῖσθαι τῶν ἐραστῶν καὶ διὰ τῆς εἰκόνος παραμυθεῖσθαι τὸν ἔρωτα.* Conf. Eunap. p. 5, cum nota.

(2) Codex, *ἐξίων*.

(3) Sic codex. Forsan legendum : *Εἶτα λαβὼν εἴδωλον ἠγλαϊσμένον.*

(4) Hac clausula ducor ad Alciphronem II, 3 : *ἐγὼ, μὰ τὰς Ἐλευσινίας θεὰς, μὰ τὰ μυστήρια αὐτῶν ἃ σοι καὶ ἑταιρίον ἐκείνων ὤμοσα πολλάκις, Γλυκέρα, μόνος μόνῃ, ὡς οὐδὲν ἐπαίρω τὰ ἐμά· εἰ δὲ βουλόμενός σου χωρίζεσθαι ταῦτα λέγω καὶ γράφω.* Conjecit apte Meinekius, *ἐπαίρων τὰ ἐμὰ, οὐδὲ β.*, quæ est lectio codicum 2832, 3054.

(5) Codex, *λιπαράν*. Sic *κλύδωνι*, pro *κλείδωνι*, correxit vir d., quem Rudium esse puto, in inscriptione, quam e Whelcri ac Sponii Itinere, sed a se emendatam, inseruit Miscellaneis Observ. t. III, p. 204 : *Ὃν τῆς θαλάσσης θρασυμὸς ἐν μακρῷ χρόνῳ Κλύδωνι πολλῷ καὶ σφοδρῷ ῥηγνύμενον Πετρῖν κατηνάγκασι πύργον ὁκ βάθρων Βασίλειος ἐξήγειρεν εὐσεβὴς ἄναξ.* Apud ipsum Sponium t. I, p. 305, fuit jam *κλύδωνι*. Mala scriptura ΡΕΙΝΥΜΕΝΗ ΕΠΕΣΕΙΝ melius mutabitur in *ῥηγνυμένης Πετρῖν* : *θαλάσσης* scilicet *ῥηγνυμένης*, et sic versus politicus accentu suo penultimo non carebit. Ultimo versu vetus scriptura ΗΓΕΙΡΕ, vel servanda, vel in *ἤγειρεν* tantum mutanda fuit; quum *ἐξήγειρεν* tredecim syllabas versui largiatur, qui duodecim poscit, non amplius. Qui recentiorum iambicos critice tractant viri docti, eos sæpius ad antiquius metrum reformant faciuntque longiores. Rudius eadem pagina affert ex eisdem aliam inscriptionem : *Τὸ θεῖον ἔργον ὠθεῖ φθαρὲν χρόνῳ* ΚΑΙΝΣ *Μανουὴλ εὐσεβὴς αὐτοκράτωρ·* et cor-

Δίκαι, δικασταὶ, βήματα, ψῆφοι, νόμοι,
Δημηγορίαι, πειθανάγκη ῥητόρων (1),
Βουλαὶ, παννυχίδες τε, καὶ στρατηγίαι
Τῶν πεζομάχων ἅμα καὶ τῶν ναυμάχων,
Ἡ παντοδαπὴς μοῦσα, τῶν λόγων κράτος!
Ὄλωλε σύμπαν τῶν Ἀθηνῶν τὸ κλέος·
Γνώρισμα δ' αὐτῶν οὐδ' ἀμυδρόν τις ἴδῃ (2).
Συγγνωστὸς οὖκοῦν, εἴπερ, ὃν ἔχων (3) βλέπειν
Τὴν Ἀθηναίων τὴν ἀοίδιμον πόλιν,
Ἰνδάλμα ταύτης γραφικὸν ἐσπασάμην.

rigit ὠθάδι... καίνισι. Est ἰνθάδι jam apud Sponium t. I, p. 306; sed, si sit vetus scriptura ἰνθαδΕΙ, scribendum ἰνθαδί. Id quidem leve; at non leve, quod alterius versus tredecim cum καίνισι sint syllabæ. Puto corrigendum, καινοῖ. Nec id metrum cognovisse videtur Belinus, qui in Manassis poematio de Oppiano hunc versum edidit: Τὰ παράγματα δ' ὑπόψια δίκτυσι παγχαλών. Codices vidi quos vidit Belinus; et acutam exhibent legitimamque penultimam παγχάλλων. — Codex, καινὴν μαχ. Rescripsi καινὴν μ., sequutus nota Luciani exempla, Hermot. § 71 et Navig. § 13.

(1) Codex, δημ. π πειθ. In poeta non politico correxissem δημηγόρων π πειθ. Eustathius Opusc. pag. 204, 11: λόγου δὲ πειθαναγκαίς ἐφίλκισθαι. Conf. tom. III, pag. 386, 17; tom. IV, pag. 418, n. 3.

(2) Codex, ἴδοι.

(3) Codex, ἔχω. Sæpe peccatum est eodem modo. In Athenæi loco parum concinno XV, 33, forsan scribendum τῷ π παιδὶ προσλάπῳ, pro τῷ π. π. προσλάπτων. Bessario Epistola ad Apostolium in Hist. Ac. Inscr. t. III, p. 283: μόλις ἀκούων, μᾶλλον δ' οὐκ ἀκούειν ἀνέχομαι αὐτῷ Πλήθωνος, ἀνδρὸς πιστὰ πιαῦπα εἰς Ἀριστοτέλην ἀπορρίπτοντος· melius ἀκούω in codice 3053. Potest etiam, ut vocum fines propter compendiorum ænigmata sæpe permutantur, ω alii syllabæ, alienissimæ quoque, substitui. Exempli causa, inveni dittographiam ψαύσω, ψαύσω, in hoc epigrammate, quod describam ex pagina ultima codicis Euripidis 2817: Ἑλλαδικῆς χερὸς ἀσκηθὲς πέπλον ἥκέ μ' Ἀθήνη Εὐσεβίων βασιλεῖ, κεσλὸν ἐπ' εὐκλείην. Ὀλβιος εἰ ψαύσω χροπῆς σθένι· ἢ κλέος ἐσθλὸν, Αἰγὶς ἀπ' ἐξ ἀέθλων τῶν Διὸς, οἰσόμεθα. Rarum nomen χροπὴ inde confirmabitur, ni tamen, quod suspicor, recentes sint versiculi. Hinc patet non fore culpandum me, quod in Æschyli

Choephoris versu 814, προπράσσοις scripserim pro προπράσσων, ut institui syntaxis posset : σὺ δὲ θαρσῶν, ὅταν ἥκῃ μέρος ἔργων, ἐπαύσας πατρὸς ἔργῳ θροούσᾳ πρὸς σέ « τέκνον », πατρὸς αὐδὰν, καὶ περαίνων ἐπίμομφον ἄταν. . . . τοῖς θ' ὑπὸ χθονὸς φίλοισι τοῖς τ' ἄνωθεν προπράσσοις χάριτος ὀργὰς λυπρᾶς. Sed nunc puto facilius ἐπαῦσαι scribi posse, servato προπράσσοις, et aliis servatis vocibus quas critici resecant. Initii difficilis hanc esse sententiam opinor : « tu vero, audacior, » quum aderit agendi tempus, » *inclama* matri, quæ tibi « o » nate » ! inclamabit, paternæ » vocis cum sonitu ac paterno » cum actu. . . . » ; ita ut, quæ patrem tuum suumque conjugem audire ac coram cernere se putaverit, de salute sibi esse sentiat desperandum.

ΕΠΙΣΤΟΛΗ

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΣΕΚΟΥΝΔΙΝΟΥ

ΠΡΟΣ

ΚΥΡΟΝ ΑΝΔΡΟΝΙΚΟΝ ΤΟΝ ΚΑΛΛΙΣΤΟΥ.*

Ἀνδρονίκῳ τῷ Καλλίστου Νικόλαος ὁ Σεκουνδῖνος (1) εὖ πράττειν.

Πρεσβεύοντι παρὰ τῷ μεγίστῳ ἀρχιερεῖ (2), καὶ διὰ τοῦτο νῦν μὲν ἐν Ῥώμῃ, νῦν δ' ἐν Οὐιτερβίῳ, διατρίβοντι, σύγγραμμά τι σου ἰδεῖν καὶ διεξελθεῖν ἐξεγένετό μοι, ἐν ᾧ Θεοδώρῳ τῷ Γαζῇ συνδικῶν,

* Quum scripta pro Gemisto Plethone ac Platone Apologia Michael Apostolius in Theodorum Gazam et Aristotelem calidius atque, ut videtur, ineptius esset invectus, fuit ab Andronico Callisti egregie confutatus; cujus librum Nicolaus Secundinus hac laudavit epistola, quam e codice regio 3053 (ol. 3363, 3, ac prius Colberteo 5063) descriptam edo. Boivinus quidem Junior, qui philosophorum Italorum circa sæculum quintumdecimum medium de Platone et Aristotele rixas ac decertationes in Memoriarum Academiæ inscriptionum secundo volumine brevius enarravit, Secundini epistolam non neglexit, argumentumque memoravit, et initium etiam gallice vertit. Sed qui historiæ literariæ student homines eruditos integram epistolam, vel post excerpta illa Boiviniana, legendam a me sibi proponi non tædebit.

(1) Codex, *σεκουνδινὸς*, et supra *σεκουνδίνου*. Qui de Nicolai Secundini rebus egit Hodius De Græcis illustrib. scripsit quidem pag. 182 Σεκουνδίνῳ, sed pag. 183 exhibet meliorem accentum Σεκουνδῖνος. Est etiam Σεκουνδίνῳ in Jac. Morelli hominis accuratissimi Bibliotheca man. p. 212. De Secundino adde Hodii libro Bibliothecam Gr. t. XI, pag. 705. Uterque liber et de Andr. Callisti videndus; hic t. III, pp. 264, 465, t. XI, p. 561, ille p. 227.

(2) Papa Callixto III.

πρὸς Μιχαῆλον (1) οὐκ οἶδα τίνα φαίνῃ διαμαχόμενος κατὰ Θεοδώρου (2) λόγων οὐκ οἶδ' ὅπως λοιδοριῶν καὶ συκοφαντίας μεστὸν ἐξενηνοχότα, Πλήθωνι (3) δὲ συνηγοροῦντα, καὶ ὑπὲρ αὐτοῦ ὑπέρ τε Πλάτωνος τὸν ἀγῶνα δῆθεν ἑλόμενον. Τοῦτον ἔγωγε τὸν λόγων οὐ πολλῷ πρότερον φίλων τινὸς διαλεγομένου ἀνὰ χεῖρας ἐσχήκειν τε καὶ ἀνεγνώκειν (4) οὐ πάνυ ἡδέως. Ἔστι γὰρ, εἰ δεῖ τὰ δοκοῦντα παῤῥησιάζεσθαι, μεγάλα μὲν ἐπαγγελλομένου, ἀνύοντος δ', ὡς ἐγὼ νομίζω, οὐδὲ μικρά. Ἠχθέσθην μὲν οὖν Θεοδώρῳ πεπλακιζομένῳ καὶ κακῶς οὐ ξὺν δίκῃ ἀκούοντι· ταῖς δέ γε σαῖς ὑπὲρ αὐτοῦ κατὰ πόδας ἐντετυχηκὼς ἀντιλήψεσιν ἥσθην, καὶ ἥσθην διαφερόντως, πολλῶν γε ἕνεκα. Θεόδωρον γὰρ ἔγωγε πάνυ φιλῶ καὶ περὶ πολείστου τὸν ἄνδρα ποιοῦμαι· ἄγαμαί τε μὴ μόνον αὐτοῦ τοὺς λόγους καὶ τὴν περὶ πᾶσαν ἐπιστήμην σπουδὴν καὶ ἀκρίβειαν, ἀλλὰ πολλῷ μᾶλλον τὸ ἦθος, τὴν ἀρετὴν, τὸ σεμνὸν, τὸ σῶφρον ἐν βίῳ καὶ κόσμιον, τό γε (5) περὶ πάνθ' ὁμοῦ τὰ καλὰ εὐφυὲς (6) καὶ λίαν ἐπή-

(1) Michaelem Apostolium, de quo Bibl. Gr. t. XI, p. 189.

(2) Theodori Gazæ, de quo Bibl. Gr. t. VI, pag. 333; t. X, pag. 388.

(3) G. Gemistus Pletho, insignis ea ætate platonicus, de quo Boivinus l. l., et Saxius, diligens nomenclator, Onomastico t. II, p. 423, cum Voorstio ad Joannis Chrys. Selecta p. 181.

(4) Codex, ἀνεγνώκατεν.

(5) Forsan τό π. Particula γε inutilis esse videtur. Quam obiter dabo Bessarioni Epistola ad Apostolium p. 284: ἐμὲ δὲ, ἵνα μὴ καὶ αὖθις πλανηθεὶς δόξῃς μοι πιαῦτα εἰς πιούπους λέγων ἄνδρας χαρίζεσθαι, φιλοῦντα μὲν ἴσθι Πλάτωνα, φιλοῦντα δ' Ἀριστοτέλη καὶ ὡς σοφωτάτω στεφόμενον ἑκατέρω. Codex 3053, εἰς πιούτους γε.

(6) Iterum nomine εὐφυὲς ad Bessarionis Epistolam duci me sinam. Sic pergit cardinalis:... ἑκατέρῳ· Πλήθωνά τε τῆς μεγαλοποιίας καὶ οὐσίας ἀγάμενον, τῆς τοσαύτης τοὺς Ἀριστοτέλη μάχης τε καὶ δυσποιίας μὴ ἐπαινεῖν· pro οὐσίας reponam εὐφυΐας e codice 3053.

βολον (1)· ὡς, εἴ τις παιδείας ἕνεκα παντοδαπῆς καὶ τῆς περὶ τὸ ἦθος χρησιότητος τῶν καθ' ἡμᾶς Ἑλλήνων τὰ πρῶτα τὸν ἄνδρα (2) λέγοι, μὴ ἂν ἁμαρτήσαι τῆς ἀληθείας.

Ἔπειτα δέ μοι (3) μεταξὺ διϊόντι, καὶ τὸν νοῦν τοῖς λεγομένοις προσέχοντι, οὐ μικρὰν ἐνεποίει τὴν ἡδονήν, ὅτι λόγοις ἀληθέσι τε καὶ ποτίμοις τὸ ἁλμυρὸν τοῦ ψεύδους ἀποκλυζόμενον (4) ἐνεώρων, καὶ καθαπερεί τινας προσιεμένους τῇ ἀληθείᾳ οὐ σὺν τῷ καλῷ οὐδὲ κατὰ μοῖραν κηλῖδας τῷ νιτρώδει καὶ ἀνυσίμῳ τῷ τῶν (5) λόγων διαμπερὲς ἀπαλειφομένας, κἀντεῦθεν τὸ μὲν ἀληθὲς διαλάμπον τῷ ἑαυτοῦ κάλλει ἐμφαιδρυνόμενον, τὸ δ' αὖ ἀμαθὲς καὶ φορτικὸν καὶ ἀπαίδευτον ἐς κόρακας ἀπελαυνόμενον, ἤγουν (6), ἅτε δὴ νόθον τὸ ὅλον καὶ κίβδηλον, ἀπορριπτούμενον ἐς Κυνόσαργες (7).

Χαίρειν πρὸς τούτοις ἐπῄει μοι, ὅτι σοὶ φίλος ὢν (8) τῶν τοιούτων λόγων ἦσθα πατὴρ καὶ τοιᾶσδε

(1) Codex, ἐπίβολον. Infra per η rectius ἐπιβόλως scriptum est. Vide quæ notavi ad Aristæn. pag. 470.

(2) Bessario, Epistola ad ipsum Apostolium de eodem argumento, quam edidit Boivinius Hist. Acad. Inscr. t. III, p. 282: Θεόδωρός τι τῶν νῦν Ἑλλήνων ἐν πᾶσι σοφώτατος ὤν, ἥκιστα κακῶς ἀκούειν παρὰ σοῦ ἄξιος.

(3) Codex, δι' μς. Notatur quidem μς punctis delentibus; sed malui id corrigere, quam delere.

(4) Bessario eadem metaphora ibid. p. 287: πᾶς ἀδίκους λοιδορίας ἐκείνας ἐπαίνοις τισὶ καὶ εὐφημίαις ἀπόκλυσον.

(5) Codex, τῶν λ., et e correctione τῷ λ. Utrumque articulum scripsi.

(6) Sunt in codice supra γ puncta delentia. Voluit, puto, corrector ἤ tantum relinqui.

(7) Si hanc epistolam legit Apostolius, in proverbio de Cynosarge intelligendo non hæsit, quod ipse in Adagiorum libro bis est interpretatus.

(8) Oratio est impedita. Forsan ὅτι ἐμοὶ φίλος ὤν, vel ὅτι σοὶ φίλῳ ὄντι, ὅτι τῶν τ.

ἱστουργὸς ἀναπέφηνας ταλασίας, ὃν ἔγωγε πάλαι εἰδὼς καὶ ἀπὸ μικρᾶς (1) συνηθείας τῆς αὐτοῦ καταστοχασάμενος ὅσον οἷόν τε ἦν φύσεως, τήν τε περὶ σοφίαν σπουδὴν καὶ τὸ περὶ λόγους φιλόπονον ξυνεωρακὼς, ᾤμην μὲν ἱκανῶς ἤδη σε προκεκοφέναι καὶ παιδείας οὐκ ἐξ ἐπιπολῆς ἧφθαι, οὐ μὴν δὲ τοσοῦτον (2) δυνάμεως καὶ κάλλους ἀφῖχθαι, οὐδ' οὕτω τὰ περὶ πᾶσαν ἐπιστήμην ἠκριβωκέναι, ὡς καὶ τοιαῦτα τίκτειν οἷόν τέ σοι εἶναι. Εἴρηται γὰρ τἀληθές· καί μοι τὸν λόγον ἀπλάστως παῤῥησιαζομένῳ ἀνεπαχθῶς καὶ μὴ πρὸς ὀργὴν δέξαιο. Σὺ δ' ἀλλ', ἀγαθῇ δηλονότι καὶ γενναίᾳ χρησάμενος φύσει, σπουδήν τε καὶ ἔμφρονα καὶ ἐντρεχῆ καταβεβληκὼς, τὰς περὶ σοῦ τῶν φίλων ὑπολήψεις, καίπερ μεγάλας, τοσοῦτον καὶ ταῦτ' ἐν βραχεῖ χρόνῳ ὑπερηκόντισας, ὥστ' ἐξηπατημένους ὅμως (3) θαυμάζειν καὶ ὑπερφιλεῖν ἅμα θαυμάζοντας. Ὄναιο τοίνυν τῆς περὶ παντοδαπῆ σοφίαν εὐτυχίας, τῆς τε περὶ λόγους ἰσχύος τε καὶ φορᾶς· « καί σοι » πλῆρες μέλιτος τὸ καλὸν στόμα γένοιτο, ἐπεὶ τὺ » τεττίγων φέρτερον ᾄδεις (4). »

Ἐγὼ δ' εὐξαίμην ἂν τηλικαύτην ἐνυπάρξαι μοι δύναμιν, ᾗ (5) πάνθ', ὧν ὁ σὸς λόγος πλήρης, ἀκριβῶς ξυνιεὶς καὶ κατὰ τὸν τρόπον ἕκαστ' ἐξητακὼς, ἀξίαν ἔπειθ' οἷός τε γενοίμην τὴν ψῆφον ἐπενεγκεῖν, τὸν γινόμενον ἑκάστοις ἀπονειμάμενος ἔπαινον· τὸ δ' ἄρα

(1) An μακρᾶς?
(2) An εἰς τοσοῦτον?
(3) An ἅμα?
(4) Ex Theocr. Id. I, 146.
(5) Codex, ἤ. Eadem in vocula Bessarionis Epistolam ad Apostolium tangam. Ἡμεῖς δὲ, ait pag. 285, ἀνθρωπίσκοι ἢ πίθηκοί τινες πρὸς ἐκείνους ἥρωας ὄντες. Codex 3053, καὶ πίθ., superscripto ἤ: puto fere recipiendum utramque conjunctionem ἢ καὶ πίθ.

μεῖζον ἢ κατ' ἐμὲ, ἢ ὅτι μεγάλα πάνθ' οἷς ὁ λόγος ξυνήρμοσταί σοι καὶ ξυνεσκεύασται καὶ οὐ τοῦ παντὸς συνιδεῖν τε καὶ ξυνιέναι, ἢ ὅτι τῆς ὀρθῆς περὶ τούτων ἔγωγε κρίσεως ἀσθενὴς καὶ οὐχ ἱκανὸς ἐφικέσθαι· ἢ ὅτι γε ἄμφω ταυτὶ ξυνελήλυθεν· ᾧ καὶ μᾶλλον τίθεσθαι (1) δίκαιον.

Οὐ μὴν σιωπᾷν διὰ ταῦτα νομίζω δεῖν, οὐδ', ὅτι τὸ πᾶν ἀνύσαι οὐ ῥᾴδιον, καὶ τῶν δυνατῶν καταμελητέον. Ῥητέον μὲν οὖν τὰ δοκοῦντα καὶ ἐς δύναμιν ἀποπειρατέον μηδὲν ὑποσταλαμένοις ὅλως ἢ καθυφεῖσι, κἂν ἥξειν ἐς τέρμα ποτὲ καὶ τοῦ ἄκρου ὀρθῶς ἐπιτεύξεσθαι οὐδεμία ἐλπὶς ὑποφαίνηται.

Τίς οὖν οὐκ ἂν ἀγάσαιτο, ἵν' ἀπὸ τῶν εὐχερεστέρων ἄρξωμαι, τό τε τῶν ὀνομάτων ἑλληνικὸν, ἑλλόγιμόν τε καὶ κύριον, τήν τε περὶ τὸ γράφειν ὀρθότητα (2), τῆς τε λέξεως ὅλως τὸ ἀνθηρὸν, τῆς ἑρμηνείας τὸ γλαφυρόν τε καὶ εὐαγές, καὶ τῆς συνθήκης τὸ εὔρυθμον; τί δ' ἄν τις λέγοι τὴν τῶν λόγων ἰδέαν, πᾶσι πάντοθεν καινοῖσι καὶ μεθόδοις συνειλεγμένην καὶ διαπρέπουσαν, πάντα πᾶσιν ἀμηχάνῳ κεκορθῶσαν κάλλει καὶ συναρμόζουσαν, μηδὲν ὑποφαίνουσαν κεχηνὸς καὶ ἀτηρτημένον, ἀλλ', ὥσπερ ἐκ μερῶν καὶ μελῶν (3) ἀναλόγως σφίσι καὶ συμφώνως λίαν ἐχόντων, ἓν σῶμα

(1) De πίθεσθαι in sensu assentiendi, τῷ συγκατατίθεσθαι vide t. III, p. 377, et Carpzov. ad Hieron. p. 173. Theodorus Prodr. Dissert. de provid. init.: πιστὰ, φησὶν ἡ παροιμία, ψεύδονται ἀοιδοί· καὶ ἐγὼ πίθεμαι. Stellulam Morellus inseruit, scilicet de lectione dubius. Sed proba est scriptura, quam et reperi in codice 3059.

(2) Bessario, Epist. ad Apostolium extrema, Andronici laudat studium περί τε γραμματικὴν καὶ ὀρθογραφίαν καὶ κακοσυντιξίαν τῶν λέξεων, περί τε ῥητορικὴν καὶ τὸ εἰδέναι ὀρθῶς τε καὶ μετὰ κάλλους συντιθέναι.

(3) Vid. pag. 233, n. 1.

ὁλόκληρον ἰδίοις ὑπερείσμασι καταλλήλως συνιστάμενον ἐκπληροῦσαν, οὕτω τε κατὰ τρόπον καὶ τάξιν προβαίνουσαν καὶ τοιᾷδε σχημάτων ἐναλλαγῇ χαίρουσαν καὶ τορείᾳ, ὡς μήτε τῷ μεγέθει τῶν νοημάτων μὴ ἀναλόγως ἔχειν τὴν ἑρμηνείαν, μήτε τῷ τρόπῳ καὶ ποικίλῳ τῆς λέξεως κάλλος ὁπουοῦν (1) καὶ χάριν ἐλλείπειν, Ἑρμῆν δὲ πανταχῆ τοῦ ἔργου προεστάναι δοκεῖν σὺν Ἀφροδίτῃ καὶ Χάρισι τοὺς λόγους ὑφαίνοντα, Μούσας τε πάσας τῷ ἔργῳ παρεῖναι, ἑκάστην τὸ μέρος συναιρομένην καὶ ἀγλαΐζουσαν, πάσας θ' ὁμοῦ ῥόδοις καὶ ἴοις καὶ κρίνοις τοὺς λόγους εὐθαλῶς καθωραΐζουσας καὶ παντοίοις ὥσπερ ἐκ λειμῶνος κοσμούσας ἄνθεσι. Καὶ μὴν τό γε πλῆθος τῶν ὀνομάτων, νιφάσι χειμερίοις ἄντικρυς ἐοικὸς, τίς οὐκ ἂν ἀσπάσαιτο; οὔτε γὰρ ἀσάφειαν ἐμποιοῦν τῇ πυκνότητι καὶ εἰς ἀπορίαν ἐμβάλλον φωρᾶται. Τό τε σαφές τε καὶ καθαρὸν οὐχ οὕτως εὕροιτ' ἂν ὕπτιον, οὐδὲ χαλαρόν τε καὶ ἀνειμένον, ὡς τοῖς τυχοῦσιν εὔληπτον καὶ εὐξύνετον γίνεσθαι τὸν ἐγκείμενον νοῦν καὶ ταύτῃ δοκεῖν εὐπόριστον, μήτε πόνου μήθ' ὅλως τημελείας ὥστε καταληφθῆναι δεόμενον. Τουναντίον μὲν οὖν τῷ μὲν λείῳ (2) τῆς ἑρμηνείας καὶ εὐκρινεῖ ὁ λόγος ἐς τὸ ταπεινὸν καὶ εὐχερὲς ἀποκλίνων καὶ οἱονεὶ κατασπώμενος, οὐδ'

(1) Supra ὁπουοῦν sunt puncta. Voluitne corrector deleri hanc vocem?

(2) Est τὸ λεῖον, orationis levitas ac lenitas, inter scribendi virtutes. Manasses de Oppiano eum laudatum fuisse ait, Καὶ τελευταῖον ὡς πολὺ τὸ λεῖον ἐν τοῖς λόγοις, Ὁ τοῦ σαφῶς συνευναστικὸν οἷάπερ ἄνθος ἔχει. Belinus pro ὁ τοῦ legi jubet ὅτι. Sed quid poterit ὅτι, quum ὡς præcedat? Et de συνευναστικὸν tacet, quod metro nocet caretque sensu. Codices quibus utebatur ferunt recte σκευαστικόν. Jam, si scripseris ὁ τοῦ σαφοῦς σκευαστικὸν, nil sententiæ officere videtur.

ὁπωστιοῦν τὸν ἐντυγχάνοντα ἀποκναίει, τῷ δ' αὖ μεγέθει τῶν ἐννοιῶν καὶ τῇ περιβολῇ κατὰ τρόπον δεινούμενος (1), αἴρεται μὲν οὖν ἀμωσγέπως καὶ μονονοὺ τὰς ὀφρῦς ἀνασπᾷ, τὸν ἀναγινώσκοντα πρὸς σύννοιαν συνελαύνων. Ταῖς μέντοι μεθόδοις, καὶ τῷ τῆς λέξεως ἀνθηρῷ καὶ ποικίλῳ καὶ ὅσαι ὧραι νεάζοντι, τῷ τ' εὐπαρακολουθήτῳ καὶ ἀθορυβήτῳ τῆς ὑφηγήσεως, τὸ πρόσαντες καὶ οἷον ἀπότομον τῶν πραγμάτων παραμυθούμενος, τὸ κεκμηκὸς ὑπερείδει, κἀντεῦθεν ὁμαλῆς (2) ἀνακύπτων ἐπιεικῶς τοῖς ὁμιλοῦσιν ἐνιλαρύνεται. Καὶ ἅπασι τούτοις μίξις γίνεταί τις λόγων ἀρίστη καὶ κρᾶσις ἀνείκαστος ἠπίως καὶ μαλακῶς ἐς ψυχὴν αὐτὴν δυομένη, καὶ δίκην ἐλαίου ἀψοφητὶ (3) ἐπιστάζουσα, πῇ μὲν τῷ μεγέθει καὶ ὀγκηρῷ ἐμβαθύνουσα καὶ οἷον κυμαινομένη, πῇ δὲ τῷ ἱλαρῷ καὶ γαληνιώδει εὐμαρῶς ἁπλουμένη, καὶ τοῖς ἐντυγχάνουσιν ὑπομειδιῶσα.

Ποῦ δ' ἄν τις θείη τὴν (4) ἐκ τῶν σῶν λόγων ἀνάγκην καὶ τῆς πλεκτάνης τὸ ἄφυκτον, μηδεμίαν

(1) Codex, δεινούμενος, cum dittographia δι. Permutatio earum vocalium est solennis. Anastasius Hodego p. 66: κοιλία, διὰ τὸ κύειν ταλία. Qui hæsit in corrupta voce ταλία, emendationes proposuit pessimas interpres. Codex 1084 recte, τὰ λεῖα. Ibidem: Αἴγυπτος, ἐγγύπτος, ὡς ἐγγύζουσα τῷ πότῳ ἢ τῷ ποταμῷ. Idem codex bene, ἐγγίζουσα. Velim et ποτῷ scribere.

(2) An ὁμαλῶς? ni perierit nomen.

(3) Præivit Plato Theæt. § 6: οἷον ἐλαίου ῥεῦμα ἀψοφητὶ ῥέοντος. Epigramma de Gregorio Nyss. in ejus opp. t. I, pag. 44: Τοῦ καὶ ἀπὸ στόματος καταλείβεται ὑγρὸν ἔλαιον Ἦκα μάλα προχέον, ἄφθονον, ἡδύπλεον. An προρέον, ἄ., ἡδὺ ῥέον? Joannes Chrysost. Ecl. p. 388: ἐννόησον τὰ διειδῆ τῶν πηγῶν ῥεῖθρα, τοὺς ποταμοὺς τοὺς ἐλαίου δίκην ἀψοφητὶ ῥέοντας. Potest admoveri versiculus ex Analectis Epigr. inc. 194: Χῶρος ἐλαιηρῇ τερπόμενος λιβάδι. Aliquid fere simile est in Psalmo LIV, 21.

(4) Vid. pag. 131, n. 1.

διαφυγὴν ἢ δίοδον τοῖς ἅπαξ ἐντὸς ἐναπειλημμένοις ἀρχώων παραχωρούσης, τὰ μὲν σαυτοῦ ὀχυρῶς (1) ἐμπεδούσης καὶ τὸ ὅλον ἥλοις ἀδαμαντίνοις ἀραρότως καταγομφούσης, τὰ δ' ἀλλότρια καὶ οὐ κατὰ τρόπον (2) οὐδὲ σὺν (3) τῷ καιρῷ εἰρημένα εὐφυῶς ἄγαν ἀνατρεπούσης καὶ περίρριζον κατασπώσης. Τὸ μέντοι σαθρὸν τῶν λόγων, καὶ δίκην ἀνερματίστου τε καὶ ἀκυβερνήτου νηὸς (4) κατὰ πελάγους τινάλλως πεπλανώμενον, λίαν ἐπιβόλως αὐτὸς φωρῶν (5) καὶ νῦν μὲν εὐσθόχως ὀρίζόμενος, νῦν δὲ τεχνῶς καὶ ἀσυγχύτως τῇ διαιρέσει χρώμενος, καὶ ταῖς ἀποδείξεσι καὶ

(1) In codice prius fuit ἐγχυρῶς, dein e correctione ὀχ., cum varietate marginali ἐχ. Perpetua inter ἐχυρὸς et ὀχυρὸς fluctuatio librariorum est: vide Jacobs. ad Phil. Icon. p. 283, Blomf. ad Pers. 79. Chio Epist. 17: τὰ τῶν συνομοτῶν δέ ἐστιν ἡμῖν ἐχυρά, πίστει δὲ ἡ πλήθει ἐχυρώτερα. Codex regius 3054 et Mazar. A 87, ὀχ...ὀχ.... quod fere malim. De mutanda longa syllaba ρώ potest ambigi. Regula quidem de adjectivis in υρὸς penultimam producit (vide not. ad Herod. Epim. p. 202), ita ut in Plutarchi Demetrio c. 47, ὀχυροπάποις secundum artem scriptum sit. Sed, quum Hesiodus Opp. 427, ὀχυρώπας habeat; quum in Persis 79, 91, in Agamemnone 43, in Medea 124, ὀχυρῶσι, ὀχυρὸν, ὀχυρῶς, anapæstico metro inserantur, ὀχυροῖσι iambico in Iphigenia Aul. 738; lis non facile moveatur lectionibus ὀχυρωπάπου, ὀχυρώπαπος, in Plutarchi Pyrrho c. 22, et Philostrati Sophistis p. 560.

(2) Cf. pp. 382, 2; 383, 2. Bessario Epist. ad Apostolium l. c. p. 282: μήπω λογικῶν ἀποδείξεων καὶ ἐπιλημμῶν κατὰ τρόπον ἡμμένου. Est et κατὰ τρόπον in Isocrate et aliis. Unde articulum τὸν deleverim p. 380, 23.

(3) Est dittographia ξύν. Sed passim in præcedentibus σὺν legitur.

(4) Plato Theæt. § 5: πρὸς τὰς ὁρμὰς ὀξύῤῥοποί εἰσι καὶ ἄτλοντες φέρονται ὥσπερ ἀπερμάτιστα πλοῖα. Basilius Homil. ad juven. § 14 Frem.: οὕτως ἂν τὴμεν ἀπόνως κατὰ τῶν πλοίων τὰ ἀπερμάτιστα, οὐδενὸς ἡμῖν τοῦ ὅπη τῶν τῆς ψυχῆς οἰάκων καθεζομένου, τύπῳ κατὰ τὸν βίον ἄνω καὶ κάτω περιφερόμενοι. Manuel Palæol. Præc. c. 86: πῶς μὲν γὰρ ὡς ἔτυχε φερομένοις κατὰ τὰ ἀπέρματα πλοῖα· ibi ἀπαρμ. vitium est typorum.

(5) Dittographia est χωρῶν

μεθόδοις δ' φοεικῶς (1), ἀλλ' ἐπικαίρως τε καὶ ἀσελείως, ὅπη ἂν δέοι (2), τοὺς λόγους κρατύνων, οὐ πάνυ τοι καλεπῶς διελέγχεις· ῥᾷον δ' ἡ ἀράχνης ἰστὸν διαλύων τὸ ψεῦδος, καὶ τῆς ἀμαθίας πομπεύεις, ἀναιμωτὶ τὴν νίκην ἀποφερόμενος.

Ἀφ' ὧν ἁπάντων ἑξῆς περχωρούντων τὸ ἐμβριθές σου τῶν λόγων, ἥ τε θρυλλουμένη καὶ περισπούδαστος πᾶσι δεινότης μάλ' ἐναργῶς ἀναφαίνεται· τό τε γενναῖον τῆς φύσεως καὶ τὸ τῆς παιδείας πολυχοῦν (3) πολλῇ τῇ σπουδῇ καὶ φιλοπόνως ἄγαν ἐπικτηθέν σοι οὐκ ἤκιστα ἀναδείκνυται· καὶ περέστηκέ σοι τὸ τοῦ ἤθους καθεστηκὸς, τό τε πρὸς ἀρετὴν εὖ ἔχον, μὴ δόξαν κενὴν πᾶσι τερπτοῖς καὶ πάσαις μηχαναῖς θηρωμένῳ (τοῦτο δὴ τὸ τῶν πολλῶν καὶ τὸ δοκεῖν περτι-

(1) An φορτικῶς?

(2) Eodem in sono melior foret scriptura δέῃ. Toties η et οι fuerunt confusæ, ut in alio scriptore vix esset dubitandi locus. Photius Epist. 226 : οὐκ ἂν λάθοις, οὐδ' ἂν λάθοις, τὸν ἀλάθητον ὀφθαλμὸν τῆ Θεῦ· imo οὐδ' ἂν λάθῃς. Idem Epist. 234, p. 353 : ἀλλὰ μή σύ γε, μήτε σαυτοῦ ἀνάξιον πάθοις· melius codex 2671, πάθῃς. Cydonius De cont. morte p. 73 : οὗτοι μάλιστα αὐτοί τε εὐδαίμονες, καὶ τοῖς ἀρχομένοις εὐδαιμονίας εἰσὶν αὗτοι, οἱ ἂν μάλιστα, ὥσπερ ὄχλου, τῆς ἐν ἀνθρώποις ἀλογίας ἄρχειν ἐπίστανται. Codex 963, τῆς ἀρχομένοις : forsan cum duplici articulo τῆς τοῖς ἀρχ. Idem τῆς ἐν αὐτοῖς ἀλογίας, bene, puto; scilicet τῆς ἐν αὐτοῖς ἀλ., quod Wolfius conjecerat. Sophocles Antig. 723 : Οἱ τηλικοίδε καὶ διδαξόμεσθα δὴ Φρονεῖν παρὰ ἀνδρὸς τηλικοῦδε τὴν φύσιν; codd. 2884, 2886, ἢ τηλικοίδε, quod non spernendum. Exhibet et 2884 παρ' ἀνδρὸς : 2886, ὑπ' ἀνδρός. Illa permutatio præpositionum ὑπὸ et πρὸς poterit alii loco ejusdem fabulæ inservire v. 644 : Μή νύν ποτ', ὦ παῖ, τὰς φρένας γ' ὑφ' ἡδονῆς Γυναικὸς οὔσας ἐκβάλῃς. Proposuit Hermannus πρὸς ἡδονῆς, quod valde placet. Posset-ne etiam transpositio fieri? Ὑφ' ἡδονῆς μή νύν ποτ', ὦ παῖ, τὰς φρένας. Tollendum est quoquo modo importunum illud γ', quod ut fulcrum metri ruinæ Triclinius subjecisse videtur; abest ab tribus codd. 2712, 2884, 2886.

(3) Corrector puncta nomini πολυχῶν imposuit; num delendo?

μώνων τὸ εἶναι), τοῦ καλοῦ μὲν οὖν καὶ τῆς ἀληθείας περιφανῶς ἀντιποιουμένῳ καὶ ταύτην παντὶ σθένει μεταδιώκοντι.

Σὲ μὲν ὧν ἔγωγε διὰ ταῦτα καὶ θαυμάζω καὶ μακαρίζω καί σοι πάντ' ἀγαθὰ καὶ βίον εὐμαρῆ καὶ ἀπόσκοπον εὔχομαι· ἐμαυτὸν δ' ἀμηγέπη παραμυθοῦμαι, διηνεκῶς νύκτας τε καὶ ἤματα πάντα (1) τὴν τοῦ γένους ἀπώλειαν καὶ τῆς ἡδίστης τῷ ὄντι καὶ καλλίστης φωνῆς τὸ ναυάγιον ὀδυρόμενον. Ἔστι γὰρ ὁρᾷν ἔνεκά γε σοῦ ἔτι λείψανα τῆς καλῆς περιόντα Ἑλλάδος καὶ παῖδας Ἑλλήνων τοὺς πατέρας ἀπομιμουμένους, τό γε θεῖον ἐκεῖνο τῆς ἐρασμιωτάτης ἐμοὶ καὶ πάντων τιμιωτάτης φωνῆς διασώζοντας κάλλος. Τῷ τοι (2) τὸ ὁμηρικὸν ἐκεῖνο παρῳδῆσαι μικρὸν ἔπεισί μοι καὶ ἴσως κατὰ καιρόν· Ὅμηρος μὲν γὰρ Ἀγαμέμνονα τῷ Νέστορι φάναι ἐποίησεν, ἐγὼ δ' ἐναλλάξας φημί· « Εἴ μοι (3) δέκα μόνοι Θεόδωροι ἦ δέκα Ἀνδρόνικοι » γένοιντο, ἐξαρκέσαι ἂν (4) οὐ τὸ Ἴλιον πολίχνιόν τι » βάρβαροι ἐκπορθῆσαι, ἀλλὰ γένους πάντων γενῶν » σοφωτάτου ποτὲ καὶ ἡμερωτάτου φωνὴν καὶ παιδείαν, μεθόδους τε καὶ λόγων καὶ ἰσχὺν (5), πᾶσάν » τ' ἐπιστήμης ἰδέαν ναυαγήσασαν φεῦ! ἀνασώσασθαι. »

Ἀλλά μοι νικᾷς, ὁ καλὸς Ἀνδρόνικος, πάνυ γε ἄνδρας καὶ μεταδιδάσκοις οὐκ ὀρθῶς περὶ τῶν ὄντων φρονοῦν-

(1) Homerus non semel νύκτας τε καὶ ἤματα junxit. Inde Secundinus sumsit poeticorum verborum gemmulam.

(2) Corrector particulam τοι punctis notavit; utrum delendam, an mutandam? bene habet.

(3) Conf. Il. B, 372.

(4) An ἐξαρκέσειεν ἄν?

(5) Delendum καὶ ante ἰσχὺν, ni perierit nonnihil, verbi causa, ἕξιν, φοράν· φορὰν λ. καὶ ἰσχύν.

τας· τῶν δ' ἄλλως μοι μοχθηρῶς καὶ ἀπαιδεύτως ἐχόντων ἀεὶ περιγίνοιο πάσῃ ἀρετῆς ἰδέᾳ τὴν ἀσχημοσύνην μεταρυθμίζων, τοῦθ' ὅπερ εὖ ποιῶν ἐπικέκλησαι καλλίστος ὤν. Ἐμὲ δὲ φίλον ἴσθι σὸν, ἔχοντα προθυμίαν πάνθ' ὑπὲρ σοῦ καὶ λέγειν καὶ πράττειν τὰ δυνατά. Ἔρρωσο.

Ἐν Οὐιτερβίῳ, ἰουνίου ἄγχιστος πέμπτην ἔτει τῷ ἀπὸ Χριστοῦ αὐξῷ.

ΒΗΣΣΑΡΙΩΝ ΚΑΡΔΙΝΑΛΗΣ

ΑΝΔΡΟΝΙΚΩ ΤΩ ΚΑΛΛΙΣΤΟΥ

ΦΙΛΟΣΟΦΕΙΝ.*

Ἀνέγνων καὶ τὰ Μιχαήλου (1) φύρδην κατὰ τοῦ ἑταίρου Θεοδώρου συγκεχυμένα καὶ τοὺς σοὺς ἐκείνου σωφρονισμούς· κρίσιν τε καὶ ψῆφον ἐξ ἀμφοτέρων ἐξήνεγκα, ἥν (2) σοι πέμπομεν τὰ ἀντίγραφα. Περιττὸν γὰρ καὶ ἅμα οὐ ῥᾴδιον φαρμακευομένῳ καὶ πρὸς σὲ μακρηγορεῖν.

Ἐδόθη καὶ ὅτε καὶ ὅπου καὶ τὰ πρὸς Μιχαῆλον (3).

* E codice 3053. Hæc Bessarionis Epistola in eodem argumento versatur quo quæ præcedit Nicolai Secundini. In codice Matritensi apud Yriart. p. 136, male Bessarioni tribuitur illa Secundini epistola.

(1) In codice Matritensi apud Yriart. p. 136 : Β. καρδινάλιος Ἀ. τῷ καλλίστῳ χαίρειν· ἀνέγγων καὶ Μιχαήλῳ. Inter quæ menda, dativus tamen Μιχαήλῳ placet magis quam genitivus.

(2) Forsan ἧς. Eis quæ mittere se nunciat latæ a se sententiæ apographis epistolam significat qua Michaelem Apostolium reprehendit ejusque pro Plethone librum carpit. Jam supra monui illam viri loco ac doctrina eminentissimi epistolam fuisse a Boivino editam.

(3) Scilicet apud thermas Viterbienses a. d. 19 maii 1462. Vide Hist. Acad. Inscr. tom. III, pag. 287.

ΓΕΩΡΓΙΟΣ Ο ΑΜΙΡΟΥΤΖΗΣ

ΒΗΣΣΑΡΙΩΝΙ.*

Αἰδεσιμώταΐε χὴ σεβασμιώτατε ὠν Χεισΐῳ πάτερ χαὶ δέσποτα, εἴης μοι ὑγιαίνων χὴ εὖ ἔχων ὠν ἅπασιν. Ἃ πάλαι πεφύλεχθην χαὶ διεμαρτυρόμην πρὸς τὰς ἡμετέρους πολίτας, ἔγραφον δὲ χαὶ πρὸς τὴν σὴν χυριότητα, δεόμενος ἕνα χῆν μοι τῶν παίδων δεξάμενον διασῶσαι, γέχονε χαὶ πέρας ἔχει. Καίτοι δεινὰ μὲν ἀχηέλλων οἶδα χὴ οἷα ὄχ ἂν ἀδαχρυΐὶ παρέλθοις· ἀλλὰ μιχράν σοι χαΐαθείμην χάριν, τὰς χοινὰς ἀποχρυψάμενος συμφοράς. Τίς γὰρ ὄνησις ἀγνοία συνεῖναι τῶν οἰχείων χαχῶν; ἅμα δὲ χαὶ μάτην ἂν εἴην αὐτὸς σιωπῶν ἃ πανταχοῦ νῦν, οἶμαι, διεβόησε χαὶ διετεραγῴδησεν ἡ φήμη.

Ἴσθι τοίνυν τὴν χοινὴν (1) πατρίδα φεῦ! ὑπ' ἀλλο-

* E codicibus regiis 2966 = A et 3043 = B. — « Ad Bessarionem » Hodius ait De Græcis illustribus, pag. 177, « epistola » græca Amurutzæ servatur in » codice reg. Paris. 295 » [eodem illi meo 2966, qui et olim numero 2211 signatus fuit]. « Erat iste G. Amurutzes philosophus medicusque infamis, » qui, post Constantinopolim captam, factus est mahumedanus. » Fuerat tamen ille homo in Joannis Palæologi comitatu, quando Græcus imperator cum Bessarione et aliis theologis ac doctis viris Italiam ad concilium profectus est (vid. Hod. ibid. p. 137); atque exstat adhuc in codice 3043, γνώμη τοῦ χυρίου Γεωργίου τοῦ Ἀμιρούτζη ἣν ἔδωχεν ἐν τῇ Φλωρεντίᾳ ἐπάνω τοῦ βασιλέως χὴ τοῦ πατριάρχου, qua prorsus processionem S. S. ex Patre ac Filio amplectitur. Est et in cod. 1760 M. Apostolii πρὸς Ἀμιρούτζην τὸν φιλόσοφον λόγος συμβουλευτιχός. Quam edo nunc ejus hominis epistola a. 1461 scripta fuit, quippe qua narratur facta Trapezuntis a Turcis expugnatio, quæ in hunc incidit annum.

(1) Erat Bessario patria Trapezuntius.

φύλων ἑαλωκυῖαν καὶ εἰς πεῖραν ἀφιγμένην τῶν δεινοτάτων. Καίτοι ἐξ ὁμολογίας ἥλω· ἀλλ' οὐδὲν ὤνατο τῶν ξυμβάσεων ἐφ' αἷς προυδόθη· πέπονθε δὲ παραπλήσια τοῖς πολέμῳ κατὰ κράτος ἑαλωκόσι.

Τὸ μὲν οὖν κεφάλαιον τῶν κακῶν εἴρηται, ἐφ' ᾧ πολλὰς μὲν ἡμέρας, πολλὰς δὲ νύκτας, οἶμαι, πενθήσεις, συμπαθής τε ὢν ἄλλως τε καὶ πρὸς Ἕλληνας, καὶ τὴν πατρίδα φιλῶν ἐς τὰ μάλιστα· δεῖ (1) δὲ καὶ ὅπως πέπρακται διὰ βραχέων προσθεῖναι, ὡς ἂν τοῦτο γοῦν τὸ μέρος μὴ ἀθυμήσῃς (2). Τὸ γὰρ δεινὸν, ὅπως γέγονεν ἀγνοούμενον, μᾶλλον εἴωθεν ἀνιᾶν.

Ὁ γὰρ τοίνυν μέγα δυνάμενος καὶ πλείστων καὶ μεγίστων ἐθνῶν ἄρχων, Ἑλλήνων τε καὶ Ῥωμαίων ἤδη βασιλεὺς, ἐγκαλεῖν μὲν ἴσως ἔχων οὐδὲν, ἔρωτι δὲ δόξης καὶ μείζονος ἀρχῆς ἐπιθυμίᾳ, στόλον μέγαν, οὐ πλήθει τριήρεων (3) τοσοῦτον (ἦσαν γὰρ οὐ πολλῷ τῶν ἑκατὸν πλείους), ὅσον παρασκευῇ παντοίᾳ καὶ μηχαναῖς ἐξαρτύσας, κατὰ Σινώπης καὶ τῶν ἄλλων Παφλαγόνων ἀπέστειλεν· αὐτός τε πεζὴν ἄγων στρατιὰν ὑπὲρ τὰς πέντε καὶ δέκα μυριάδας, οὐδενὸς ἔτι λόγον ποιούμενος, εἰς τὴν Ἀσίαν διέβη. Οὕτω δὲ παρα-

(1) A, δεῖν.

(2) A, ἀθυμίσης. Permutatio me ducit ad Artemidorum sic editum I, 1, p. 5 : τὸ δὲ ὄνομα αὖ τὸ κύριον οὐχὶ οἱ ὑπνοῦντες αὐτὸ ὁρῶσι πάντες, ἐπεὶ ὄνειρος ἔργον ὑπνούντων· ἀλλ' ἢ ἐφ' ὅσον μὲν ἐνύπνιόν ἐστιν ἐνεργεῖ, παυομένων δὲ τῶν ὕπνων ἀφανίζεται. Lego : τὸ δὲ ὄνομα αὐτῷ (scilicet τῷ ἐνυπνίῳ) κύριον, οὐχ ᾗ οἱ ὑπνοῦντες αὐτὸ ὁρῶσι πάντως..... ἀλλ' ᾗ ἐφ' ὅσον..... Quod verterim : « nomen ipsi proprium » (ἐνυπνίῳ scilicet nomen illud ἐνύπνιον), « non quod dormientes » ipsum videant omnino, quum et » ὄνειρος opus etiam sit dormien- » tium ; sed quod tantum agat » quatenus ἐνύπνιον est ac somno » cessante cesset. »

(3) B, τριηρέων. Ducas, Hist. p. 192, paululum differt : ἐποίησε στόλον τριήρεων καὶ διήρεων μέχρι που σ' καὶ νῆας ι'.

δόλως εἰς τὴν πολεμίαν ἐμβαλὼν, πάντων παρὰ δόξαν εὐθὺς ἐκράτησεν. Οὔτε γὰρ εἰς ὅπλα, οὔτε εἰς τειβὴν ἔτι καὶ χρόνον εἶδον οἱ Παφλαγόνες· ἀλλ', ὡς ὑδαμόθεν (1) ἔτι χρησίον ἐλπίζοντες, καὶ τὴν τύχην αὐτὴν, ἣ πολλοὺς πολλάκις μεγάλων ἐξείλετο κινδύνων, ὑπερεῖδον. Τάς τε οὖν πόλεις καὶ τὰ φρούρια μετὰ τοῦ σφῶν ἡγουμένου (2) παραδόντες, δεσπότην εὐθὺς αὐτῶν (3) ἐποιήσαντο. Οὕτω δὲ παρ' ἐλπίδα τῶν πραγμάτων κεχωρηκότων, μεῖζόν τι σὺν λόγῳ φρονήσας, τὸν μὲν σίδηρον ὡς εἶχεν εὐθὺς ἀκραιφνῆ καὶ κακῶν ὅλως ἀπείρατον καθ' ἡμῶν (4) ἀπέστειλεν· αὐτὸς δὲ κατὰ τῶν Καππαδοκῶν καὶ Μεσοποταμίας ἄρχοντος (5) ἐπορεύετο (6).

Ὁ δὲ τὸ μὲν πρῶτον ἀκούων ἠπίστει, καὶ κόμπον ἐνόμιζεν εἶναι μόνον· ἐπίστευε γὰρ οὐδεὶς, ἡμῶν γε (7) ζώντων, τοσοῦτον τῆς ἀρχῆς αὐτὸν ἀποστῆναι. Ὡς δ' ἔγνω ἀληθὲς ὂν καὶ τοὺς πολεμίους ἐμβεβληκότας εἰς τὴν αὐτοῦ σύθοιτο, κατεπλάγη, καὶ οὐκ ἔτι τῶν γενναίων ἦν λογισμῶν, ἄλλως τε καὶ ἐπιβουλῆς ὑπονοουμένης ὑπ' ἀδελφοῦ· ἀλλ' ὄκνος αὐτὸν εἶχε καὶ

(1) A, *οὐδαμαθεν*. Statim forsan *ἔτι τι χρησίον*. Mox A, *τύχην αὐτούς*.

(2) Phrantza p. 92 : *ὁ δὲ τῶν ἀσιζῶν ἔξαρχος, τῷ αὐτῷ δὴ ἔτει ἀπελθὼν κατὰ τὸ Σφενδάρη, παρέλαβε τὴν ἐκείνου περιδόητον πόλιν Σινώπιον.* Ducæ, Hist. pag. 193, Sinopes princeps Ismael est dictus.

(3) Forsan legendum *αὐτὸν*, vel *αὐτὴν αὐτῶν*.

(4) Ἡμῶν, Trapezuntiorum scilicet.

(5) Οὐζὲν Χαζὰν vocati a Duca Hist. p. 193.

(6) Ducas Histor. pag. 193 : *τὴν Σινώπην ἣν καλῶς ἐγκαθίσας, ... εἰς τὰ τῆς Ἀρμενίας ἐνδότερα ἐχώρει.*

(7) B sine γε. Eumathius ea vocula donetur, de Hysm. VII, p. 250 : *τοὺς μὲν ὀφθαλμοὺς πρὸς τὰ τῆς θαλάσσης εἶχον ἐρίζοντας κύματα, τὴν δὲ γλῶτταν πρὸς τὸ βιαιότερον ἦχον τῆς πνεύματος.* Codex 2897 : *τὴν δέ γε γλ...*

ἀνάδυσις, καὶ οὐκ ἐθάρρει τὸν ὑπὲρ τῶν ὅλων κύβον ἀναρρίψαι. Ταχὺ γοῦν τὴν χώραν ἔρημον ἀνδρῶν ἀποδείξας δι' ἧς ἔμελλον οἱ πολέμιοι διελθεῖν, αὐτὸς ἀεὶ μικρὸν ὑπεχώρει καὶ τοῦ στρατοπέδου ἐξίστατο. Οὐ μὴν οὐδ' οὗτος αὐτῷ διώκων ἐπέκειτο· ἀλλ' ἠγάπα, τῶν ἐχθρῶν ὑπεξαναστάντων (1), ἀδήριτον λαμβάνων τὴν νίκην.

Οὗτος μὲν οὖν τοὺς πολεμίους ἐκδιδαξάμενος (2), ἐπειδὴ παρὰ τοῖς ἡμετέροις ὁρίοις ἐγένετο καὶ τῶν παρόδων ἐκράτησε, πάντα τἄλλα ἀφεὶς, ἐφ' ἡμᾶς ἐχώρει· ὁ δὲ στόλος πρότερον αἰφνίδιον εἰς τὴν ἡμετέραν φανεὶς πολλὴν ἔκπληξιν παρεῖχε καὶ θόρυβον. Δοκῶν γὰρ ἡμῖν ἂν (3) οὐκ ἐπελθεῖν διά τε τὰς ὥρας οἱ ἔναγχος ἐγένοντο καὶ τὸ μηδὲν τῶν ὁμολογηθέντων ἐλλελοιπέναι, τριβήν τε ἅμα καὶ χρόνον ἐλπίδος ὄσης, πολιορκουμένης Σινώπης, ὃν ὀλίγον γενέσθαι, ἐξαίφνης ἐπιπλέων τῇ πόλει ἐφαίνετο. Οὔτε οὖν (4) οὓς εἴχομεν στρατιώτας συναγαγεῖν οἷοί τε ἦμεν ἔτι, ὅτε τὰ

(1) A, ὑπεξισταμένων.

(2) An ἐκδιωξάμενος?

(3) B sine ἄν. Libanius t. I, p. 241 : ἐν δ' αὖ τῇ χρημάτων περὶ καὶ ἀρχῶν ἐννοίᾳ, φεῦ ὡς πολλή με ἡ καταφρονή, καὶ οὐδὲν αὐτοῖς σήσαι τὴν κακηγορίαν γλῶτται! Lego e codice 963, οὐδὲν ἂν αὐτοῖς... Idem, tom. I, pag. 254 : περὶ τοὺς λόγους τὸ ἴσον γένοιτο· imo ἂν γένοιτο, ut est in eodem codice.

(4) B sine οὖν. Ælianus Tact. p. 4 : ἠρξάμην οὐκ ἔτι περιφρονεῖν τῆς τῶν τακτικῶν συγγραφῆς· codex 2540, ἠρξ. οὖν οὐκ... conjunctione non valde necessaria. Libanius t. IV, p. 853 : τοῖς ἐχθρῶν λόγοις οὐ πιστευτέον τὴν σφοδρὰν φυλακήν· codex 2918, τ. ἐ. οὖν λόγοις... πλευτήν : quæ subdifficilis sententia nec conjunctione nec nomine πλ. juvabitur. Pletho in Cleopam § 40 : οὐκ ἂν τὸν Θεὸν οὔτ' ἂν ἀλλοτρίᾳ τι κάπτῃ καὶ θνητῇ φύσει ἑαυτὸν γνωρίζειν, ἀλλά σῳ καὶ οἰκείᾳ. Codex 963, οὐκ ἂν οὖν τὸν... quod sententiam nectit non incommode : est et in margine scriptum εἰκὸς δηλονότι, quod pro scholio habuerim, non pro contextus parte; nam sæpe sic infinitivi pendent.

ἐκ τῶν ἀγρῶν εἰσκομίσασθαι, μόνην δὲ τὴν πόλιν ὑπ' ἀνάγκης ἐδόκει φυλάττειν. Οὕτω δὴ καθ' ἡσυχίαν (1) ἀποβάντες οἱ πολέμιοι, μυρίων ὄντες οὐκ ἐλάττους, ἄριστα ἐξηρτυμένοι, μέχρι μέν τινος ἐδῄουν (2) τὰ πρὸ τῆς πόλεως, τόν τε σῖτον φθείροντες καὶ τὰς οἰκίας ἐμπιπρῶντες, ἔπειτα ἡμᾶς εἰς τὰ τείχη κατακλείσαντες (3) ἐπολιόρκουν.

Ἡμέρας μὲν οὖν περὶ μ' (4) ὁ πόλεμος ἦν, ἐν αἷς ἐδοκοῦμεν ἀεὶ κρατεῖν καὶ πλεῖστα βλάπτειν τοὺς πολεμίους. Οἵ τε γὰρ ἐκ τῶν ἀγρῶν καταθέοντες ἑκάστοτε καὶ συμπλεκόμενοι πολλοὺς ἀνῄρουν, αὐτοί τε ἐπεξιόντες τὰ χείριστα διετίθεμεν· ἐλπίς τε ἀγαθὴ τὰς ψυχὰς ἔτρεφεν ὡς πάντα διαφθεροῦμεν

(1) B, κατ' ἡσυχίαν.

(2) A, ἐδίουν, permutatis ι et η. Qua observatione utor, profuturus, si valeam, loco valde impedito Choephorarum 806: καὶ τότε δὴ πλῦτον δωμάτων λυτήριον θῆλυν οὐριοστάταν, ὁμοῦ κρεκτὸν γοήτων νόμον μεθήσομεν πόλει. Quæ nemo, puto, explicuit nec explicabit. Nuper inter prælegendum lectionem ex tempore natam proposui, quæ doctissimis auditoribus Wl. Bruneto et Rossignolio ita placuit, ut mihi placuerit: καὶ τότε διπλοῦν, τὸν δωμάτων.... ὁμοῦ κρεκτὸν γοῇ τὸν νόμον.... « Ac » tunc duplicem in urbe voce » muliebri cantum emittemus se» curiores; alterum quo regia ce» lebretur jam tyrannis libera; » alterum gemitibus mixtum, quo » placandos Agamemnonis ma» nes debito tandem prosequamur » honore. »

(3) B, κλείσαντες. Aristoteles De virt. ed. Argent. 1560, p. 17: τιμώμενον μὲν χαυνοῦσθαι· codex 963, ἀναχαυν. Planudes initio Somnii Scipionis: πρὶν ἢ τοῦ βίου μεταστῆναι· codex 963, μεταναστῆναι, quod nescio an præferri debeat. Idem p. 11: τούτου γε μὴν τοῦ ἐνιαυτοῦ μήπω τὸ εἰκοστὸν μέρος ἐξεληλυθὸς ἴσθι· codex, διεξεληλυθός, quod nec melius esse pronunciare velim. Idem p. 5: ὅθεν σοι δῆτα... καθεκτέον ἐστὶ τὴν ψυχὴν ἐν τῇ τοῦ σώματος φυλακῇ, καὶ μὴ δίχα προστάγματος τούτου, παρ' οὗ ἡμῖν αὕτη δέδοται, ἐκ τῆς τῶν ἀνθρώπων ζωῆς μεταστέον· reponam e codice: ὅθεν καί σοι..... μεταναστευτέον. In Porph. De abst. pag. 44, 4, pro ἀγρυπνεῖν est διαγρυπνεῖν in codice 2083.

(4) Laonicus IX, p. 262, paululum differt: ἐπολιόρκει τὴν πόλιν ἐπὶ ἡμέρας λβ'.

τὸν στόλον. Κἂν ἐξειργασάμεθα τὸ ἔργον, εὖ ἴσθι, εἰ μὴ ὤφθη (1) πρότερον ὁ κατ' ἤπειρον ἅπας στρατὸς μετὰ τοῦ σφῶν ἄρχοντος ἄνωθεν ἐπελθών. Τοῦτο γὰρ ἐκείνους μὲν ἐγγυτάτω τοῦ διαφθαρῆναι ἐλθόντας καὶ νυκτὸς δρασμὸν διανοουμένους (2) ἔσωσεν, ἡμᾶς δὲ τελείως ἀπώλεσεν. Οὐ γὰρ (3) ἐχώρησε τὸν στρατὸν οὔτε τὰ πρὸ τῆς πόλεως πεδία, οὔτε αἱ παρ' ἑκάτερα φάραγγες· ἀλλὰ καὶ βουνοὶ (4) ὁρώμενοι καὶ γήλοφοι οὐκ ἤρκεσαν στρατοπεδεύσασθαι.

Εὐθὺς οὖν ἐνεργὸς ἦν, καὶ τὰς μεγίστας τῶν ἑλεπόλεων, ὧν μείζους οὔπω εἶδεν ἥλιος, στήσας, ἐχρῆτο

(1) A, ὄφθει duplici mendo. Posterius in aliis corrigam. Menelaus Libanii tom. IV, pag. 6: εἰπάτω παρελθὼν Ἀλέξανδρος εἴ τινος δεηθεὶς ἠτύχησεν, εἰ τῷ πλείονι τῆς διατριβῆς δυσχεραίνοντες ὤφθημεν, ἢ μικρὸν ἢ μεῖζον ἀποστραφέντων ᾔσθετο, ἢ μικροψυχίαν ἡμῶν οἶδε καταγνοὺς, εἰ πρὸς ἑαυτὸν ἐνιδὼν ἀηδίαν· nitidior fiet sententia, si legas e codice 963, εἰ μικρὸν..... εἰ μικροψ.... ἢ πρὸς ἑαυτὸν.... Demetrius Cydon. De cont. morte p. 5: τριχῇ συμβαίνει καὶ τοὺς τὸν θάνατον κακίζοντας διῃρεῖσθαι· imo διῃρῆσθαι, etsi in διῃρεῖσθαι consentiat codex 963. Philemon Fragm. inc. 76: Ἐὰν γυνὴ γυναικὶ κατ' ἰδίαν ὁμιλεῖ, Μεγάλων κακῶν θησαυρὸς ἐξορύσσεται. Si corrigatur ὁμιλῇ, syntaxi fiet satis, non metro. Substituam synonymum λαλῇ: de emendatione vix dubitandum videtur.

(2) A B, διανοουμένοις.

(3) B, ἔσωσεν οὐ γάρ. Nocuit loci integritati homœoteleuton, quod et alias evenit. Pletho in Cleopam § 15: φρονήσεως μὲν γὰρ οὐ μόνον πρὸς οὓς ἂν δεήσει ἐντεύξεσι πεῖρα ἑκάστοτε, ὑφ' οὗ εὖ μὲν λόγον λαμβάνουσα, εὖ δὲ διδοῦσα, ἀλλὰ καὶ ἢ πρὸς ἄλλην ἀρετήν τε καὶ τὸ καλόν· φρονήσεως δ' ἔργον.... Quæ pessime se habentia faciam saniora duce codice 2540: φρον... πρὸς οὓς ἂν δεήσειεν ἐντεύξεσι πεῖραν ἑκάστοτε ἐδίδου, εὖ μὲν λόγον λ. εὖ δὲ διδοῦσα· ἀλλὰ καὶ ἡ πρὸς τὴν ἄλλην ἀρετὴν καὶ τὸ καλὸν ὁρμὴ τεκμήριον ἱκανώτατον· εἴ γε μέγιστον μὲν ἀγαθὸν ἀνθρώπῳ ἀρετή τε καὶ τὸ καλὸν, φρονήσεως δὲ ἔργον ἡ τοῦ ἀεὶ ἀμείνονος κρίσις τε καὶ αἵρεσις. Jam liquida decurrit sententia.

(4) B, βούνοι. Nonnunquam circa accentus sedem peccatur; quod peccatum librariis nobis non Græcis sæpius quam Græcis accidit. Planudes Somnio Scip. p. 7: τὴν μέσην σχεδὸν ἥλιος χώραν ἐπέχει, ἡγεμὼν καὶ ἄρχων καὶ οἰκονο-

κατὰ τῆς πόλεως. Ἡ δὲ ἐν ἀμηχανίᾳ εὐθὺς ἦν, καὶ ἡ χρησιμωτέρα αὐτὴν καθάπαξ ἐλπὶς ἀπολέλοιπε. Τά τε γὰρ ἐπιτήδεια ἐσπάνιζεν ἤδη, καὶ τὸ ὕδωρ καθάπαξ ἐπέλιπε· πρᾶγμα ἐκ τοῦ παντὸς αἰῶνος μηδέπω γεγενημένον· ὅ τε δῆμος οὐκ ἤθελεν ἔτι εἰς πρῶτον κίνδυνον αὐτὸν ἐμβαλεῖν, ἀλλ' ἐς ξυμβάσεις ἐώρα. Οὐδὲν (1) ἔτι ἐδόκει ἐκ τῶν παρόντων οἷόν τε εἶναι τὸν πόλεμον διενεγκεῖν· ἀλλὰ δῆλον ἦν ἤδη καὶ ἀπὸ κράτους ἁλώσασθαι. Οὕτω δὴ βουλευομένοις τοῖς πολλοῖς ἐδόκει ὁμολογίᾳ πρασχωρεῖν (2), ὡς μὴ αἰχμάλωτοι γῆν πᾶσαν καὶ θάλατταν πρασαιτοῦντας ἐπελθεῖν (3).

Οὕτω τοίνυν τῶν ὁμολογιῶν πεπραγμένων, τὴν

μος τῶν ἄλλων φωτῶν· imo φώτων, quæ est codicis 963 emendatior scriptura, quum *luminum*, non *hominum*, mentio sit. Ibid. pag. 9 : τὴν μέσην δὲ καὶ μεγίστην ἐτείνην (zonam), τῇ θερμῇ τῆ ἡλίου ἐκκαιομένην· imo τῇ θέρμῃ, quum sit nomen *calore* intelligendum; et θέρμη reperi in codice. In Scymni v. 416 Ἰλλυρίων abeat in Ἰλλυριῶν· cf. supra t. II, p. 479. In Anecdotis t. IV, p. 104, 4, τύχαις, pro τυχαῖς, male a me relictum meos nuper læsit oculos.

(1) Videtur excidisse conjunctio : οὐδὲν δέ, οὐδὲν γάρ. . .

(2) B, πρεσχωρεῖν. Athenæus X, 15, de scriptore, cujus locus subsequens profertur : καὶ πρεσιλθών. Sed reponendum καὶ πρελθών, quod legitur ibid. cc. 29, 35. Eodem sensu dixit XI, c. 24, παρακαπών. Eugenicus Laudat. Trapez. § 19 : εἰ δὲ δεῖ τι καὶ ἀπὸ τοῦ ὀνόματος πρωτιμιεργάζεσθαι, ὡς τράπεζά τις λαμπρὰ... ἢ φερώνυμος Τραπεζοῦς ἥδε πόλις· imo πρωτιμιεργ...

(3) B, πρωτιλθεῖν. Præpositiones quæ forma similes sunt, ἐς ἐν ἐκ, πρὸ πρὸς, περὶ παρὰ, permutantur facillime; permutantur et quæ sunt dissimiles. Libanii est progymnasma t. IV, p. 1137, inscriptum κατηγορία νόμου τοῦ κελεύοντος τὰς τῶν ἀδελφῶν γαμετὰς γαμεῖν : codex 2918, qui hoc opusculum Nicolao Sophistæ inscripsit, lemma exhibet ipsi tractationi aptius : συνηγορία νόμου. . . γαμ. μὴ γαμεῖν. Ibidem : ὥρισται παῖς ὑπὸ δίκης πατρὶ ὑπὸ κατακίκριται μήτρι· imo διακίκριται, ut codex bene. Æschylus Eum. 460 : Καὶ τῶνδε κοινῇ Λοξίας ἐπαίτιος· forsan μεταίτιος, ob κοινῇ. Hinc, quum sit in Choeph. 1020, Τόξῳ γὰρ οὔτις πημάτων πρεσσίζεται, scribentibus ἐφίζεται non objiciam longius distare ἐφ ab πρὸς, sed con-

πόλιν καὶ ἑαυτοὺς παρέδωκαν· καὶ ἡ ἐλευθεριωτάτη τῶν πόλεων, πολλοὺς μὲν ὑπὲρ ἐλευθερίας τὸν πρόσθεν χρόνον λαμπρῶς ἀγωνισαμένη (1), ἐς μέγα δὲ ἀξίωμα καὶ κλέος ἐλθοῦσα, ὑπ' ἀλλοφύλοις φεῦ! ἐγένετο· καὶ νῦν τὴν ἄτιμον ὑπομένει (2) δουλείαν, πένθος μέγα οὐ μόνον τοῖς ὁμοδόξοις, ἀλλὰ καὶ πᾶσι τοῖς ἐν Ἀσίᾳ βαρβάροις.

Ἐπεὶ δὲ τῆς πόλεως ἐκράτησαν καὶ πάντας ὥσπερ ἐν μίᾳ σαγήνῃ τοὺς Κομνηνοὺς (3) ἔσχον ὑποχειρίους, παῖδάς τε εὐθὺς καὶ κόρας ἐλάμβανον, ἀνδραποδιζόμενοι σχεδὸν ἅπαντας ὅσοις ὥρας τι προσῆν (4). Ἐν οἷς καὶ τὸν ἐμὸν φεῦ! υἱὸν, ὃν αὐτὸς διὰ τῆς μητρὸς ἐκ τοῦ θείου λουτροῦ λαβὼν υἱὸν ἐποιήσω, τὸν καλὸν Βασίλειον· ἔτι δὲ καὶ τὸν τῆς θυγατρὸς νυμφίον, ὅτι

jecturæ inutilitatem. Nam vicinum προσίξομαι, quod post προσίξεται citius ad aures accidit, minus insuave quidem post ἐφίξεται erit, sed insuave tamen. Propono προσθίξεται, quo verbo usus est v. 1046: Λοξίου δὲ προσθιγών.

(1) Puto ἀγῶνας excidisse: π. μ. ὑ. ἐλ. ἀγῶνας τὸν... ἀγωνισαμένη. Plato Apol. 23: ὁ μὲν καὶ ἐλάττω τουτοῦ τοῦ ἀγῶνος ἀγῶνα ἀγωνιζόμενος. Paulus Epist. II ad Tim. IV, 7: τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι.

(2) A, ὑπομένοι. Julian. Epist. 41: Πανὶ μέλος λιγυρὸν ἠχοῦντι πᾶς ὅστις ἐκσταίη,... καὶ Ἀπόλλωνι πρὸς κιθάραν ψάλλοντι πᾶς ὅστις ἠρεμοίη. Apte Heylerus ex uno codice ἠρεμοίη recepit, pro reliquorum librorum scriptura ἠρεμεῖ, quæ ipsa facile formam induere oculis poterit optativi, quam auribus habet, si in ἠρεμοῖ abeat. Procopius Gaz. Epist. 56 Maianæ: εἰ τοῖς ἐρῶσιν ἡμέρα μία πρὸς γῆρας ἀρκεῖ, οὐκ ἂν φθάνεις ἀριθμῶν ὁπόσα δὴ γεγηράκαμεν· scribendum φθάνοις, et notanda Theocritea imitatio Id. XII, 2: οἱ δὲ ποθοῦντες ἐν ἤματι γηράσκουσιν. Nec sequentia mendo carent. Πάλαι μὲν, pergit Procopius, ἦμεν εὐδαίμονες, σέ τε ὁρῶντες καὶ τῶν σῶν ἀντεχόμενοι· καὶ ἦν ἡμῖν πάντα χρηστὰ, ὄψις ἡδίστη, λόγοι κατακαλοῦντες τὴν ἀκοήν· imo κατακηλοῦντες.

(3) B, Κομμήνους. David Comnenus imperator se ac suos omnes sultano tradidit, avunculos, propinquos, proceres ac nobiles. Vide Ducam Hist. p. 194.

(4) Laonicus Hist. IX, p. 265: τοὺς μέντοι παῖδας τοὺς ἀπὸ ἄστεος

νέος τε (1) ἦν καὶ καλὸς ἐδόκει, ἐλάχιστον χρόνον ἀπολελαυκότα τοῦ γάμου. Τὸν δὲ βασιλέα σὺν πάσῃ τῇ συγγενείᾳ καὶ τοὺς (2) ἐν τέλει σχεδὸν ἅπαντας εἰς τὰς τριήρεις ἐμβαλόντες, εἰς τὴν Κωνσταντίνου πόλιν ἤγαγον· ἐκεῖθεν δὲ πάλιν εἰς τὰ Ἀδριανοῦ ἀγαγόντες κατῴκισαν (3).

Καὶ νῦν εἰμὶ ἐνταῦθα, κορυφῆς ἀτεχνῶς ὑπερτέλλοντα δειμαίνων πέτρον (4). Καί τοι (5) πολλάκις παρὰ τὴν πολιορκίαν ἠφείδησα ἐμαυτοῦ ὥστε θανεῖν· ἀλλ' οὔπω ἐγένετο τούτου τυχεῖν, τῆς Προνοίας, οἶμαι, ἐπὶ τὸ χεῖρον φυλαττούσης, ὅπως, ἐπὶ πολὺν τιμωρηθεὶς χρόνον, ἔπειτα ἀποθάνω. Καὶ τὰ μὲν ἄλλα φέρειν οἷός τε εἰμὶ, πενίαν (6) φημὶ καὶ τὴν ἐν ἀλλοδαπῇ ἀνελεύθερον διατριβήν· ἡ δὲ τοῦ παιδὸς στέρησις ἐμπιπρᾷ μου τὰ σπλάγχνα. Πρὸς γὰρ τοῖς ἄλλοις αἰκιζόμενον αὐτὸν ὑπὸ τοῦ πάντων κρατοῦντος καὶ μαστιζόμενον ἑκάστοτε μανθάνων, ἔκφρων γίνομαι·

καὶ ἀπὸ τῶν περιοίκων χωρίων, τοὺς μὲν νεήλυδας ταξάμενος, κατέθετο (Mehemet sultanus) ἐς τὸν ἑαυτοῦ κοιτῶνα. . . . . τὰς δὲ κόρας, τὰς μὲν ἐν τοῖς αὐτοῦ κοιτῶσι κατέθετο, τὰς δὲ ἀπεχαρίσατο.

(1) B, νέος τι. Libanius t. IV, pag. 5 : κατέπλευσεν εἰς τὴν Λακωνικὴν Ἀλέξανδρος σχῆμά τι περιβεβλημένος οὐ φαῦλον καὶ θεραπείαν ἐπαγόμενος ἀφ' ἧς. . . Codex 963, σχῆμά τε περ., quod præfero. Lucianus Epist. Saturn. 28 : δυσῶδές τι καὶ καπνωδέστερον ἐρυγγάνοντες. Codex 2600, δυσῶδές τε καὶ . . . Præstat vulgata lectio.

(2) B, βασιλέα καὶ τούς. Lectionem ampliorem codicis A firmat Ducæ locus indicatus pag. 396, n. 3. Conf. Laonic. IX, p. 263.

(3) B, Ἀνδριανοῦ. Phrantza p. 92 : οὓς ἐξελθὼν ἐκεῖθεν κατῴκησεν αὐτοὺς ἐν τῇ Ἀνδριανουπόλει. Vide Ducam p. 194; Laonicum IX, pp. 263, 264. In loco Phrantzæ scribendum κατῴκισεν. Scymnus 78 : Τίνες ἔκτισαν, κατὰ τίνας ᾤκησαν χρόνους· Τοὺς ὁμοεθνεῖς ὄντας τε τούς τε αὐτόχθονας· forsan . . . ᾤκισαν χρόνους Τοὺς. . . τούς τ' αὐτόχθ. . .

(4) Conf. t. IV, p. 454, n. 1.

(5) A, καὶ τό.

(6) B, πενίην.

αἴτιον δὲ (1), ὅτι φρονήματος ἐπειλημμένος ὑμὸς παῖς, ὧν τε ἄλλως φύσει περὶ ἀρετὴν θερμὸς, τὴν πάτριον οὐ προδίδωσι δόξαν (2). Καὶ τὴν οὖν ἀρχὴν λόγοις αὐτὸν ἐπεχείρει πείθειν καὶ δώροις ὁ κρατῶν· ὡς δὲ ἦν τούτοις ἀνάλωτος, ἐπὶ τὰς βασάνους ἐτράπετο. Ἐπεὶ δὲ πάντα ποιήσας οὐδὲν ἴσχυσε, τὴν μὲν ἀρετὴν ἐθαύμαζε τοῦ παιδὸς καὶ τὴν μετὰ φρονήματος ἔνστασιν· οὐ μὴν ᾗ προσῆκεν ἐλεύθερον αὐτὸν (3) ἐποίησεν· ἀλλ', ἀπογνοὺς (4) τὴν μεταβολὴν, ἀποδόσθαι ἔγνωκε· τοσαύτης αὐτὸν φιλανθρωπίας ἠξίωσε. Πλείστου δὲ αὐτὸν ὅμως ἀποδίδοται, καὶ ὅσον αὐτοὶ οὐκ ἄν ποτε ἱκανοὶ ἐσόμεθα λυτρώσασθαι.

Τὰ μὲν οὖν ἡμέτερα ἐν τούτοις καὶ πολλῷ χείροσιν ἔτι· δεῖσθαι δέ σου βουλόμενοι χεῖρα ὀρέξαι, οὐ πολλῶν ἡγοῦμαι δεήσασθαι λόγων. Ὁ γὰρ πολλοῖς τῶν ἀθλίων Ῥωμαίων (5) τὴν αἰχμαλωσίαν λυσάμενος (6),

(1) B, αἴτιον δ'. Annotationis levitatem nonnullis emendatiunculis pensabo circa apostrophen. Scymnus 252 : Κτίσιν κατὰ χρησμὸν ἔλαβεν ἡ Νεάπολις· scripto ἐλαβ', melior erit versus. Idem fragm. 210 : Ἔπειτα δὲ Ἀμβρῶν τῷ γένει Μιλήσιος· Ὑπὸ Κιμερίων οὗτος ἀναιρεῖσθαι δοκεῖ· imo Ἔπ. δ' Ἀ.... Ὑπὸ δὲ Κιμμερ., vel Ὑπαὶ Κιμμερ. Mala scriptura Κιμερίων redit v. 215 : Ὁ Κιμερίων στρατὸς κατέδραμε τὴν Ἀσίαν· quem prosaïcum versum facies metricum, si scripseris, Ὁ Κιμμ..... κατέδραμεν Ἀσίαν. Nec prætermittendus eodem mendo corruptus vers. 212 : Μετὰ Κιμερίους Κῶος, πάλιν δὲ Κριτίνης, Οἱ γενόμενοι φυγάδες τῶν Μιλησίων· alter versus non est versus; forsan Μετὰ Κιμμερ... Ἄμφω γενόμενοι φυγάδε τῶν Μιλ. Revertor ad apostrophen. Dicæarchus 77 : Κωρύκιον ἄντρον· εἶτ' Ἀντικίρρα πόλις· ut sit metrum, lego : Κ. ἄ. εἶτ' Ἀντικύρ' ἐστὶν πόλις· vel, Ἀντικύρα πολίχνιον.

(2) Religionem scilicet christianam, a qua posthac ad turcismum pater ipse descivit. Davidis quoque Comneni imperatoris filius Georgius ad mahometismum se convertit.

(3) B, αὐτὸν ἐλεύθερον.

(4) B, ἀποδούς.

(5) Ῥωμαῖοι sunt Græci.

(6) Videlicet post captam Constantinopolim.

οὐ δή που πολίτην ἕνα δεόμενον περιόψει. Καί τοι τὸν πρόσθεν χρόνον εὐλαβὴς ἦν αἰτεῖν τι παρὰ τῆς σῆς χυριότητος· ἀλλὰ νῦν οὐκ ἂν αἰσχυνοίμην τὸ πρᾶγμα. Δέομαι τοίνυν τῆς σῆς χυριότητος, αἰδεσιμώτατε δέσποτα, μεμνημένον τῆς πολλῆς ἡμῶν ἀεὶ περὶ σὲ (1) εὐνοίας καὶ τῶν πολλῶν ἐπὶ σοὶ καὶ μεγάλων ἐλπίδων, ὧν ἔχοντες ἡδέως διεβιώσαμεν τὸν μέχρι τῆς ἁλώσεως χρόνον, ὡς οἶδεν ὁ πάντα ἐφορῶν ὀφθαλμὸς, ἔτι δὲ τῆς παρὰ σοῦ εἰς ἡμᾶς εὐεργεσίας, ἣν εἴ τις τῶν ἡμετέρων ἀφέλῃ (2), οὐκ οἶδ' εἴ τι περιλειφθήσεται, καὶ τῆς καθαρᾶς ἐκείνης καὶ εἰλικρινοῦς φιλίας, ἣν οὐ χρόνος, οὐ πραγμάτων μεταβολαὶ, οὐ τοσοῦτον διάστημα ἴσχυσεν ὁπωσοῦν ἀμαυρῶσαι, τὰ πρόσθεν τῇ παρούσῃ τύχῃ βοηθῆσαι, καὶ πρῶτον μὲν ἡμῖν τὸν Βασίλειον ἐλευθερῶσαι, ὃς, τούτου τυχών, εὐθὺς παρὰ σὲ ἥξει, δοῦλος ἐσόμενος· ἔπειτα κἀ ἡμῖν τινὰ χορηγίαν εἰς τὸ μέλλον πορίσασθαι, ἀφ' ἧς ἐν τῇ παρούσῃ τύχῃ διαβιώσομεν. Εἰ δὲ μεγάλα ταῦτα κἀμφότερα οὐ ῥᾴδιον τὸ νῦν ἔχον γενέσθαι, σὺ δὲ τὸν παῖδα λυσάμενος τὰ μέγιστα

(1) A sine σι. Sic voculæ pereunt. Demetr. Cydon. De cont. morte, p. 18 : τὴν μὲν... θειοτάτην (μοῖραν) καὶ ἡ μόνη καθαρῶς ἐστιν ἀνθρώπου.... λέγω δὴ τὴν περὶ ἀλήθειαν καὶ τὴν νῦν καὶ ὅση τούτου γένους, πᾶσαν ἀπέχει φθεῖραι ὁ θάνατος... codex 963 : ... καὶ ἡ δὴ μόνη.... τούτου τοῦ γένους. Psellus Allegoria de sphinge : .... ζωὴν ἣν τὰ μὲν τῶν χαλδαίων λόγια ἐπεφάνη.... ἐγὼ δὲ ἁπλῶς ἀνθρωπίνην καταγομάσαιμι· codex 3058 : .... ἁπλῶς οὕτως ἀνθρ.... Id Pselli opusculum allegavi ex editione Oporini a. 1544 ; in qua qui legitur locus, fol. o 2, εἰς τὸν βίον τετονισμένον, versibus continuis ut prosa oratione descriptus, versibus erat politicis decapentesyllabis describendus, Theodoroque Prodromo adscribendus, cujus inter opuscula in Bebeliana editione receptus est : conf. Biblioth. Gr. t. VIII, p. 141.

(2) A, ἀφέλει.

εὖ ποιήσεις καὶ οὗ μεῖζον ἡμῖν οὐκ ἂν γένοιτο, αὐτοὶ δὲ τὴν ἄλλην τύχην οὐ χαλεπῶς οἴσομεν, ὁρῶντες τοὺς ἀθλίους Ῥωμαίους οἳ (1) ἅπαντα σφάττουσιν ὅπως τῆς ἐφημέρου (2) τροφῆς εὐπορήσωσιν.

Ἀλλά σοι ὁ πάντα διέπων Θεὸς μακρὸν μὲν αἰῶνα δοίη, ἐρρωμένον δὲ ἡμῖν καὶ εὔθυμον διαφυλάττοι· σὲ γὰρ ἔχοντες καὶ αἰχμαλωσίαν καὶ πενίαν καὶ πᾶσαν τύχην οὐ χαλεπῶς οἴσομεν. Παρὰ Θεοῦ δὲ μὴ ἀπαξιώσῃς ἡμῖν ἀεὶ γράφειν· ὡς ἡμῖν καὶ τὰ σὰ γράμματα μόνα μεγίστην φέρει παραμυθίαν. Ἐνταῦθα δὲ ἡμῖν ἐπιστέλλειν ῥᾴδιον· πολλοὶ γὰρ ἐκ Βενετίας, οἱ δὲ ἐκ Φλωρεντίας εἰς τὴν Κωνσταντίνου πόλιν ἀφικνοῦνται· ἐντεῦθεν δὲ εἰς τὴν Ἀδριανοῦ (3) τριῶν ἡμερῶν ὁδός ἐστίν· ὥστε ἔστι καὶ γράμματα καὶ ἄλλο τι ἀσφαλῶς πέμπειν. Καὶ γὰρ αὐτὸς μαθών τι παρὰ σοῦ ἥκειν, τάχιστα εἰς τὴν Κωνσταντίνου ἀφίξομαι.

Ὁ παρὼν ἄνθρωπος ὁ τὰ γράμματα κομίζων ἔστιν ἡμέτερος πολίτης, συγγενὴς καὶ οἰκεῖος τοῦ Παρασκευᾶ τοῦ τῆς μητρὸς θεράποντος· ἀπώλεσε δὲ καὶ

(1) A sine *οἱ*. Iterum obiter lacunulæ in aliis implebuntur. Demetrius Cydon. De cont. morte p. 43 : *καὶ ζημίας αὐτοῖς αἴτιον τοῦτον (τὸν θάνατον) εἶναί φημι, τῇ παλιντῇ τὰς ἐφημέρους ἡδονὰς αἱρεῖται*. Cod. 963, *ἐφ. ἐκείνας ἡδονὰς αἱ.* Ibid. p. 67 : *ἔχειν ἂν εὕροις λεόντων*· Kuinœl. e conjectura, sensu jubente, edidit : *οὔκουν ἂν εὕροις πόλεις λεόντων*. Codex, quem futurus editor sequetur : *οὔκουν πόλιν ἂν εὕροις λ.* Ibidem p. 121 : *ἦν καὶ τὰς θείους χρησμὰς τοῖς λεγομένοις δεῖξαι συμφθεγγομένους*· codex : . . . . *τοῖς νῦν λεγομ. . . .*

(2) B, *ἐφημερείας*.

(3) B, *εἰς ἀδριανῦ*. A, *εἰς τὴν ἀνδριανῦ*. Quæ scriptura jam supra fuit p. 397, n. 3. Constantinus Lascaris in Yriartæ Catalogo p. 266 : *Δημήτριος ἀλὺς ἦχθη εἰς Ἀνδριανούπολιν*. Atque, quum Ælianus initio Tacticorum imperatorem compellet *Ἀδριανέ*, librarius codicis 2540 *ἀνδριανὲ* scripsit.

αὐτὸς παῖδα καὶ γυναῖκα, ὃν εἰ (1) βοηθείας τῆς δυνατῆς ἀξιώσεις, τῇ μητρὶ καὶ θανούσῃ δόξεις χαρίζεσθαι· καὶ γὰρ αὐτὸς δι' ἐκείνην πρὸς σὲ ἔδραμεν. Ἐρρῶσο.

(1) A sine εἰ. Rursus aliis voculas restituam. Nicephorus Gregoras Hist. x, 2, p. 292 : ὦ δυσλυχές μοι (cod. 3043, μου) γλῶττα, οἵας σοι μονῳδίας ὁ χρόνος ἐταμιεύσατο! φεῦ τῆς τῶν δεινῶν συνεχείας! βαβαὶ τῆς ἐναλλαγῆς τῶν πραγμάτων! idem codex bis βαβαί, quæ iteratio monodiarum stylo apprime est conveniens. Anaxandrides Athenæi xi, 10 : Τίνα δὴ παρεσκευασμένοι πίνειν τρόπον Ἐστὶ νυνί; λέγε πε. — πίνα τρόπον πίνειν Ἡμεῖς; τοιοῦτον οἷον ἂν καὶ σοὶ δοκῇ. Videtur legendum :... πίνειν τρόπον Ὑμεῖς ἐστὶ νυνί; λέγε πε. — πίνα πίνειν τρόπον Ἡμεῖς; ..... Quo fuerit modo scriptus hic locus in nupera editione ignoro, quam curavit vir doctissimus.

ΘΕΟΔΩΡΟΣ ΔΗΜΗΤΡΙΩ

ΕΥ ΠΡΑΤΤΕΙΝ.*

Δεινὰ πάλιν ἀπαγγέλλεις (1), εἴπερ οὐδ' ἐν Φλωρεντίᾳ (2) συμβαίνει τὰ παρὰ τῆς τύχης ἀμείνω. Δεινότερον δὲ σύγε τὸν λόγον ποιεῖς, φάσκων ὡς ἐγώ σου ἠμελημένως (3) εἰμὶ, δυνάμενος πρεσβύδους σοι καταστῆσαι ἐν Ῥώμῃ καὶ κερδῶν πόρους καὶ ἀφορμάς, καὶ ὅτι, πειθόμενός τινι τῶν ἐν Φλωρεντίᾳ λέγοντι (4) ταῦτα, ἀγανακτεῖς τε καὶ μέμφῃ ἐμοί.

Ἐγὼ δὲ τὸ μὲν εἶναί τινα καὶ ἐν Φλωρεντίᾳ διάβολον οὐδὲν θαυμάζω· πλήρης γὰρ ὁ βίος διαβολῆς· τὸ δὲ σέγε εὐάλωτον εἶναι οὕτωσὶ (5) ταῖς διαβολαῖς, τοῦτό γε θαυμάζω. Ἴσθι γάρ σε μηδαμῶς λόγῳ πιστεῦσαι τοιούτῳ, διατρίψαντα δὴ ἐν Ῥώμῃ πέντε καὶ τεσσαράκοντα ἡμέρας καὶ μηδὲν (6) τοιοῦτο

* E codicibus 2966 = A et 3043 = B. Theodorus Gaza ad Demetrium scripsit hanc Epistolam, Chalcondylem Demetrium; nam de nullo alio Demetrio facile cogitandum est. Notandus error Harlesii ad Fabr. Bibl. Gr. t. XI, pag. 561, n. gg, qui hancce epistolam e codice 3043, n. 2, memorat ut ab Andronico Callisti ad Theodorum Demetrium scriptam.

(1) A, ἀπαγγάλεις. B, ἀπαγγελεῖς.

(2) Florentiæ literas græcas docuit Demetrius Chalcondyles.

(3) B, ἠμελικῶς.

(4) Num Politiano, qui videtur fuisse Theodoro Gazæ paulo iniquior? Vide Hodium p. 82.

(5) B, οὕπως. Inscriptio apud Murat. Inscr. t. I, p. 419, 5: Τοῦτο τὸ δῶρον τῇ σοφῇ χερουσίᾳ Ὕπατος ὑπάρχων πρεσφέρω Φιλόξενος. Versus sunt iambici; prior, qui primo pede claudicat, recte incedet, si rescribas πυτί. Alexis Athenæi XV, 33: Σπφάνοι δὲ πυτωνὶ χύδην πεπλεγμένοι· bene sic fuit editum pro πύπων: sed et edi poterat, πύπων τῶν.

(6) A, μηθέν. Et sic mox.

μήτε αὐτὸν αἰσθόμενον (1), μήτε παρ' ἄλλων (2) πυθόμενον. Εἰ γάρ τις ἐμοὶ δύναμις ἦν τοιαύτη, κἂν αὐτὸς ἠσθάνου παρών, κἂν Ἀργυρόπουλος (3) καὶ οἱ ἄλλοι φίλοι ἔλεγον. Νῦν δὲ πάντων τῶν ἐνθάδε σοι φίλων πολλὰ σκεψαμένων περὶ πόρου καὶ κατασιάσεως, καὶ μηδὲν δυνηθέντος (4) εὑρεῖν μηδενός, σὺ τὸν ἐν Φλωρεντίᾳ, οὐκ οἶδ' ὅντινα (οὐ γὰρ ὀνομάζεις), διάβολον δ', ὡς ἔοικε, καὶ φαῦλον τὸν τρόπον, ἀξιοπιστότερον ὑπείληφας σαυτοῦ τε καὶ τῶν ἐν Ῥώμῃ φίλων τε καὶ οἰκείων ἁπάντων.

Θαυμάζω δὲ καὶ ὅτι λέγεις ὡς ἦσαν ἐν Ῥώμῃ πλείους πόροι τῶν ἐπιδεῖν. Τίνες γὰρ ἦσαν οὗτοι; ἢ οὐ μέμνησαι ὡς, συχνὰ διαλεχθέντες καὶ πᾶν εἶδος ἐνθυμούμενοι πόρου, οὐδὲν εὑρίσκομεν δυνατὸν, οἰχομένου Βησσαρίωνος ἐφ' ᾧ πᾶσα ἦν ἡμῖν ἡ ἐλπίς; Ἀλλὰ γάρ, ὡς ἔοικε, σὺ δυσχερῶν τῶν ἐν Φλωρεντίᾳ πραγμάτων πειρώμενος νῦν, ῥᾴω τὰ πρότερον ἐν Ῥώμῃ ὑπείληφας. Τοῦτο δέ σοι συμβαίνει, τάχα μὲν καὶ διότι τὸ παρὸν ἀεὶ κακὸν χαλεπώτερον τοῦ παρήκοντος εἶναι δοκεῖ· ὡς δὲ φαίην ἂν διαβεβαιούμενος, διότι ἐν Ῥώμῃ μὲν Θεόδωρος ἦν παραμυθούμενός σοι καὶ μετεμάζων τὰ δυσχερῆ, καὶ τὴν πολλὴν αἴσθησιν τῶν κακῶν ἀφαιρούμενος ἀπὸ τῶν ἰδίων ὧν εἶχε μικρῶν. Ἐν Φλωρεντίᾳ δὲ οὐδένα (5) ἔχεις τοιοῦ-

(1) Grammaticus supra t. II, p. 347: Αἰσθάνομαί σου λέγοντος, ἀλλ' ὅτι τῶν ἐμψύχων· Αἰσθάνομαι τὸν ἦχον δὲ, τὸν παραλῳὸν, τὸν δόλον, Σμίκρυνε. Hinc apud Libanium t. IV, pag. 6, ubi ἀποδραφέντων (ἡμῶν) ἦσθε, non prætulerim scripturam codicis 963 ἀποδεφέντας. Idem tamen t. I, p. 523, dixit ὑμᾶς ἡσθόμην οὐκ ἀγροικοῦντας.

(2) A, ἄλλου.

(3) Jo. Argyropulus literas græcas Romæ per plures annos docuit.

(4) B, δυνηθέντων.

(5) B, οὐδέν.

τον· δεῖ δ' ἄρα τὰ πράγματα αὐτὰ καθ' αὑτὰ θεωρεῖν τε καὶ κρίνειν οἷα ἐστὶν, ἀλλὰ μὴ κατά τινα περίστασιν καὶ συμβεβηκός· ἀπατᾶσθαι γὰρ οὕτως ἂν εἴη πολλάκις.

Εἷς μὲν οὖν πόρος σοι βίου ἐν Ῥώμῃ ἦν, τὸ ἐμὸν μόνον· τουτὶ μέντοι ἐπὶ (1) μέν τινα χρόνον ἤρκεσεν ἄν· καὶ γέγονε δή· διὰ παντὸς δὲ ἐξαρκέσαι οὐχ οἷόν τε ἦν. Καὶ δὴ, βεβοηθηκότες τὰ δυνατὰ, ἀποπεμπόμεθά σε (2) οἷ σὺ, καὶ πεῖν ἀφικέσθαι εἰς Ῥώμην, ὡρέχθου πορεύεσθαι. Εἰ δὲ μηδ' ἐκεῖ τυγχάνεις ὧν δεῖ, ἡμεῖς γε οὐδὲν ἀδικοῦμεν, ὅδ' ἐστὶν ἔγκλημα τοῦτο ἡμῶν οὐθέν, εἰ μὴ καὶ σὺ ἡμᾶς ἀδικεῖς ὅτι ἅμα σύ τε παρὼν ἐξενίζου ἡμῖν ὁ ἄγγελος ἦκεν ὡς Βησσαρίων, ἡμέτερος ὢν εὐεργέτης, τεθνηκὼς εἴη.

Τὸ δ' ἀξιοῦν ἡμᾶς δεῖν καὶ τὰ ἐν Φλωρεντίᾳ ἐπίστασθαι, οἰκοῦντας ἐν Ῥώμῃ καὶ βίον ἀπράγμονα ζῶντας, φορτικὸν λίαν, καὶ ἀξίωσις οὐ φίλου, ἀλλὰ φιλαιτίου, ἂν εἴη. Ἡμεῖς γὰρ οὐχ ὅπως τὰ ἐν Φλωρεντίᾳ, ἀλλ' οὐδὲ τὰ ἐν τῇ οἰκίᾳ ἐν ᾗ οἰκοῦμεν οἴδαμεν πάνυ· ἀλλ' ὁ οἰκέτης πολλὰ διαφθείρων καὶ ῥᾳδιουργῶν λέληθε. Σὺ δὲ ἐγκαλεῖς ὅτι οὐ προείπομεν τὰ μέλλοντα συμβήσεσθαί σοι ἐν Φλωρεντίᾳ, πρᾶγμα ἄδηλον καὶ ἡμῖν τότε ὥσπερ καὶ σοί· καὶ ὡς ἐμβαλόντας σε (3) εἰς συμφορὰς ἑτέρας ἡμᾶς αἰτιᾷ. Δυστυχέστατος οὖν ἔγωγε εἰμὶ τὰ περὶ σὲ, ὦ Δημήτριε. Ἀεὶ γάρ σοι βοηθῶν καὶ συμπράττων τὰ δυνατὰ, οὐδέποτ' εὐχαριστίας (4) καθαρᾶς παρὰ σοῦ

(1) A, ποτὲ δὲ ὅτι. Mox B, οὐχ οἷόν τ' ἦν.

(2) An ἀποπεμπόμεθά σε?

(3) A, ἐμβάλοντάς σε.

(4) A, οὐδέποτε εὐχ. Fecero magis operæ pretium, si in poc-

τυγχάνω· ἐπεὶ καὶ νῦν τί καλὸν ἀπὸ τῶν μεγάλων ἐπαίνων τῶν ἐπὶ τέλει τῆς σῆς ἐπιστολῆς (1), ὅτε καταρχὰς ἡμῖν ὀνειδίζεις ὀλιγωρίαν τε, καὶ αἰτίαν τοῦ μὴ σὲ εὐπορεῖν βίου μένοντά γε (2) ἐν Ῥώμῃ; Ἀλλ' οὐ δίκαια ταῦτ' ἐστίν, οὐδ' ἄξια τῆς ἐμῆς περὶ σὲ ἐπιμελείας τε καὶ εὐνοίας.

Ἄτοπον δέ μοι δοκεῖ καὶ τὸ ἀεὶ πανταχοῦ αἰτιᾶσθαι καὶ τὴν (3) τύχην. Οὐ γὰρ πάντων ἡ τύχη κυρία ἐστίν· ἀλλ' ἀρχὴ πολλῶν ἀρετή, καὶ ἐπὶ πολλῶν αὐτοκράτωρ ὁ λόγος (4) καὶ σοφία νικῶσα τοιαδὶ πολλὰ κατορθοῖ. Δεῖ τοίνυν καὶ σὲ μὴ πάντα ἐπιτρέπειν τῇ τύχῃ, ἀλλὰ τῇ ὑπαρχούσῃ ἀρετῇ χρῆσθαι, οἷον φύσει καὶ λόγῳ, καὶ ὀφθαλμοῖς καὶ χερσὶ, καὶ ὅλως μὴ ἀποκνεῖν πρὸς τοὺς πόνους, μηδὲ πρὸς ἕτερον ἀποβλέποντα ὀνειδίζειν, αὐτὸν ῥαθυμοῦντα·

Δὶς μὲν γὰρ καὶ τρὶς πάχα πύξεαι· ἢν δ' ἔπι (5) λυπῇς,
Χρῆμα μὲν οὐ σοφίξεις, σὺ δ' ἐπώσια πολλ' ἀγορεύσεις·
Ἀχρεῖος δ' ἔσαι ἐπίων νομός·

ὡς Ἡσίοδος (6) λέγει.

Παράδειγμα δ' ἴσως ἂν εἴη οὐ φαῦλον καὶ τὸ ἡμέ-

tam circa apostrophen observatiunculæ quid proferam. Scymnus fragm. 205: Ἀλλ' ἡ Σινώπη ἐς' ἐπώνυμος μιᾶς Τῶν Ἀμαζόνων, ὧν πλησίον χώρ' ἦν ποτέ. Scriptura est Holstenii, mala ob χώρ', pessima ob τῶν. Rescribo: ...μιᾶς Ἀμαζ. ὧν πλησίον ἦν χώρα ποτέ.

(1) Photius Epist. 221, p. 329: ἡ γὰρ τῶν ἐπαίνων αὔξησις οὐ μόνον οὐδὲν παραιτεῖσθαι (imo παραιτεῖται) ὧν ὑβρίσμεθα, ἀλλὰ καὶ ὅτι τὸ μεῖζον ἄγει τὰ ἐγκλήματα.

(2) B, βιουμενον πατε. A, βίουμενον πάγε.

(3) B, sine τήν. Malim δοκεῖ τὸ ἀεὶ καὶ τ.

(4) Josephus Maccab. § 2: ζητοῦμεν δὴ τοίνυν εἰ αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ λογισμός. Cod. 3010: ζητουμένου τοίνυν τούτου, εἰ δεσπότης καὶ αὐτοκράτωρ....

(5) B, δὲ π. Mox B, ἄχρειος. A, ἀγορεύσης. A B, ἐπῶν. A, νομός. B, νομος.

(6) Hes. Opp. 399.

τερον· ἡμεῖς γὰρ, ἀποροῦντές ποτε τρόπου παντὸς εἰς τὸν βίον ἑτέρου, λαβόντες χωρίον ἐγεωργοῦμεν, καὶ, ταύτῃ τὰ ἐπιτήδεια πορίζόμενοι (1), οὐδενὶ γεγόναμεν φορτικοὶ δεόμενοι καὶ προσαιτοῦντες. Σοὶ μέντοι γε οὐδεμία ἀνάγκη γεωργεῖν· ἐμοὶ μὲν γὰρ ὅ τε πόλεμος (2) ἀπέκλειε τὴν εἰς τὰς πόλεις ὁδόν· σὺ δ' ἐν Φλωρεντίᾳ εἶ, πόλει πορισλικωτάτῃ ἑκάσλῳ ἅπερ ἂν ἐπιτηδεύειν προέλῃ.

Εὖ οὖν ἔχει ποιεῖσθαι τὸν βίον, χρώμενον τῇ ὑπαρχούσῃ δυνάμει, καὶ μήτε τύχην αἰτιώμενον, μήτε βλασφημοῦντα τοὺς ἐπιχωρίους. Εἰ γὰρ κ' γλίσχρα τὰ παρ' αὐτῶν, ἀλλ' οὐχ, οἷα σὺ διασύρων φῂς, παντελῶς φαῦλα. Καὶ μήποτε οὐ τοσοῦτον οἱ ἐπιχώριοι ὦσιν αἴτιοι ὧν ἀγαναχτεῖς, ὅσον σύ· φιλέλλην γὰρ εἶ καὶ φιλόπατρις σύγε πέρα τοῦ δέοντος, καὶ διὰ τοῦτο, χαίρων ἀεὶ λόγοις ἑλληνικοῖς μόνοις, λατίνων ὀλιγωρεῖς· ὥσλε ὑπ' ἀπειρίας οὐκ ἔχεις ὁμιλεῖν ἱκανῶς τοῖς ἐπιχωρίοις· τοῦτο δὲ μὴ δυναμένῳ συμβαίνει, ὡς τὸ εἰκὸς, πολλῶν ἀπορεῖν διατρίβοντι ἐν Ἰταλοῖς.

Οὐ μὴν ἀλλ', ὅπη ποτ' ἂν διατρίβῃς, εὐεργετεῖ μὲν ὁ διδούς σοι, οὐκ ἀδικεῖ δὲ ὁ μὴ διδούς· ὥσλε τοὺς μὲν διδόντας ἐπαινεῖν χρὴ, τοὺς δὲ μὴ διδόντας μὴ βλασφημεῖν.

Ταῦτα εἰρήσθω μοι, τὸ μὲν ἀπολογουμένῳ ἀπὸ τοῦ δικαίου, τὸ δὲ προτρέποντι ἀπ' εὐνοίας.

Τὰ δὲ Παυσανίου ἐὰν δυνηθῇς ἐμοὶ γράψαι (3),

(1) Ligone terram et aratro versavisse Theodorum nondum legeram.

(2) Excidit nomen quod cum ὅ π π. copula καὶ jungebatur, ni scribendum ὅ μ π. vel ὁ πόπ π.

(3) A Demetrio rogat Theodorus sibi Pausaniæ librum de-

ἀποδῶσω σοι ὡς μισθόν γε τὸ ἱκανόν· πλέον δέ τι ὑποσχέσθαι οὐκ ἔχω ὑπὸ πενίας, ἣν νόσος (1) ἐμοὶ ὁσημέραι χαλεπωτέραν καθίσησιν. Ἔρρωσο.

Ἀπὸ Ῥώμης, ἰουνίου ιη' (2).

scribi. Ipse Theodorus describendis græcis codicibus sæpe invigilaverat. Vide Hodium De Græcis illustribus p. 58.

(1) Codex B, *νόσον*. Sic passim in vocabulorum finibus peccatum est. Procopius Gaz. Epist. 68 M.: *ζητήσις ἀνθ' ἱερέων νυμφίος ὀφθῆναι καλός*· imo *ἱερέως*. Hinc facile se poterit a censura vindicare doctissimus Porphyrii ad Marcellam editor, si quis eum reprehendere velit quod scripturæ codicis *αὐπυργίας* ipse suam substituerit *αὐπυργία*, in hoc loco § 35: *τὰ γὰρ πολλὰ ἄσκει αὐπυργεῖν· λιπὸν γὰρ καὶ τύπορον αὐπυργία*· aliquid tamen correctioni deesse videtur, scilicet *δὲ* pro *γὰρ*, sententia fere jubente; et forsan *ἡ αὐπυργία*. Poterat et *τὸ αὐπυργίας* scribi. Sed et quæ sequuntur emendatione indigent, quibus statim prodesse conemur: *καὶ δεῖ ἑκάστῳ τῶν μερῶν πρὸς ὃ ἡ φύσις καπηλεύσαι χρῆσθαι τοῖς ἀνθρώποις, τῆς φύσεως ἄλλου μὴ δεόμενον*· postulat scilicet sententia *δεομένης*.

(2) Scripta fuit hæc epistola intra annos 1473 et 1478, quum priore mortuus sit Bessario, posteriore Theodorus.

ΘΕΟΔΩΡΟΥ

ΕΠΙΣΤΟΛΗ.*

Ἐκομίσθη μοι ἡ ἐπιστολή, ἣν, τὰ μὲν μεμφόμενός μοι, τὰ δὲ καταλλαττόμενος, ἐδεδώκεις· δι' ὃ καὶ τὰ μὲν περὶ τῶν μέμψεων αὐτῶν, τὰ δὲ περὶ τῆς καταλλαγῆς, κἀμὲ δεῖ ἀποκρίνασθαι.

Ἐγὼ μὲν οὖν ἄνδρα πάνυ νοῦν ἔχοντα ἀξιῶ μάλιστα μὲν μηδέποτε εἰς ἔχθραν καὶ λοιδορίαν καθίστασθαι μηδενί· εἰ δὲ μή, μὴ ῥᾳδίως γε μηδ' ἄνευ λόγου καὶ ζητήσεως τἀληθοῦς, ἄλλως τε κἂν φίλος τυγχάνῃ ὤν. Πολλῆς γὰρ οὔσης τῆς διαβολῆς ἐν τῷ βίῳ (1) καὶ τῶν πλείστων πραγμάτων οὐκ εὐθὺς ἐπιδήλων ὄντων, ἥκιστα ἄν τις πρὸς λόγους τε καὶ ὑπολήψεις ψευδεῖς ἀνάλωτος διαγένηται, ἢν μή, ὅπερ ἔφην (2), λόγῳ πανταχοῦ διατελεῖ χρώμενος, καὶ πρὸς ἀκρίβειαν ἕκαστα ἐξετάζων, τί μὲν ἀληθὲς, τί δὲ ψεῦδος τῶν λεγομένων εὑρίσκῃ (3).

* E codice 2131, pag. 174. Adscripsit recentior annotator: « Epist. Theodori [Gazæ, fortasse ad Demetrium Chalcond.]. » De Theodori nomine non dubitabam, quum ipse infra non semel scriptor sic se vocet, vel vocare videatur. Demetrii autem nomen, etsi non male conjecisse putem annotatorem, et putabit etiam qui præcedentem ordine, tempore autem posteriorem, legerit epistolam, nolui lemmati a me addito addere.

(1) Conf. Theodorus Gaza supra p. 402, 11.

(2) Demetr. Cydon. De cont. morte p. 16 : κακὸν, ὥσπερ ἔφην, ἐν σώμασι μὲν ἰατρός· codex 963, ὅπερ ἔφην. Ipse Cydonius p. 22, ὅπερ ἔφην : ac sic supra Chumnus pp. 193, 21; 195, 6; 209, 12; 219, 13; 295, &c. Unde non sequitur esse ὥσπερ ἔφην malam formulam, sed alia Demetrium ac Chumnum tunc forte usos fuisse.

(3) Sic codex cum lacunula.

Οὕτω δ' ἁπλῶς ἐπὶ παντὸς ἀξιῶν, ἐπὶ σοῦ δή τι (1) καὶ μᾶλλον προσήκειν τε καὶ δίκαιον τὸ τοιοῦτο ὑπελάμβανον εἶναι, ἅτε μὴ χθὲς καὶ πρώην ἐλθόντος μοι εἰς φιλίαν, ἀλλὰ πρὸ χρόνου πολλοῦ, κἂν τῷ τοσούτῳ χρόνῳ διὰ πείρας μεμαθηκότος πολλῆς ὡς εὔνους ἐγώ σοι, καὶ πρόθυμος εἴην ἀγαθὸν, ὅ τι ἂν δυναίμην, ποιεῖν. Τὸν γὰρ προσφιλέστερον ὄντα καὶ οἰκειότερον, τοῦτον καὶ ἀμεταβλητότερον εἶναι χρὴ, καὶ πρὸς διαβολὰς ἀνθρώπων ἀνεξαπατητότερον καὶ πρὸς ὑπονοίας ἄλλως ὑποφυομένας ἀκινητότερον.

Σὺ δὲ μετὰ τὸν πολὺν χρόνον καὶ τὴν πολλὴν πίστιν τῆς ἐμῆς εὐνοίας καὶ συνηθείας, ἐχθρὸς ἐκ φίλου καὶ κατήγορος ἐξ ἐπαινέτου σφοδρῶς οὕτω ἐγένου, ὥσπερ εἰ τὰ μέγιστα τῶν κακῶν πεπονθὼς ἐτύγχανες ὑπ' ἐμοῦ, καὶ, μήτε τὸν ἐμὸν λογισάμενος τρόπον οἷόσπερ ἦν ἀεὶ, μήτε ἐν ἐννοίᾳ γενόμενος ὧν σοι ἐκ τῶν ἐνόντων ἐγὼ βεβοήθηκα, ὥρμησας ἐπὶ λοιδορίας εὐθὺς, καὶ βλασφημεῖν εἰς ἐμὲ ἐξηνέχθης, τὸν κακὸν μὲν οὐδέν σε οὐδεπώποτε ἐργασάμενον, ἀγαθὰ δὲ ὅσα οἷός τε ἦν ἀεί. Ὁ γάρ με αἰτιᾷ, ὡς ἐγὼ Βησσαρίωνι εἶπόν τε κἀγέγραφα κατὰ σοῦ, τοῦτο, ἢ τῶν βασκάνων τῳ καὶ ἐπιχαιρεκάκων ἀνθρώπων ψευδομένῳ πιστεύων, ἢ καὶ αὐτὸς κακῶς ὑποπτεύων, ὥσπερ ἐπ' ἀληθέσι πράγμασι, ταῖς ψευδέσι καὶ κεναῖς ὑπονοίαις, ἀγαναχτῶν, ἐβόας ὥσπερ ἐξ ἀμάξης (2) πάντα τὰ αἴσχιστα, καὶ βλασφημῶν οὐκ ἀνίης.

Ἐπεὶ πόθεν, εἰπέ μοι, ὅπερ αἰτιᾷ, ἀληθές; καὶ τίς τοῦ τοιούτου τοῦ ἐγκλήματος πίστις; Τὰ πράγματα

(1) An δῆτα, δή τι?

(2) Codex, ἀμάξης.

λέγεις; Τίνα πεφύγματα, ἄνθρωπε; ὅτι σοι Βησσαρίων οὐ βοηθεῖ; πρότερον δὲ πάνυ γε ἐβοήθει σοι, ὅτε, τὰς ἐκ Παταίου τε καὶ Μεδιολάνου (1) ἐπιστολάς σου ἀναγινώσκων, ἔχαιρε πρὸς σοῦ ἐπαινούμενος (2); οὐκ. Ἀλλ' ὕστερον λέγεις ὅτι (3), βουλόμενος βοηθεῖν, ὑπ' ἐμοῦ ἐκωλύθη; Πότε ὕστερον; εἰ μὲν ὅτε μαίνεσθαι ἤρξω καὶ χολὰς μελαίνας ἐξεμεῖν εἰς ἐμὲ, κακοῦ μηδενὸς αἴτιον ὄντα, πείθομαι. Βησσαρίων γὰρ ἴσως κἂν ἐκωλύθη μὴ εὖ ποιῆσαι ἄνθρωπον οὕτω μελαγχολῶντα· κἂν οὕτω λέγῃς αὐτὸν δι' ἐμὲ (4) κεκωλύσθαι, εἰκότα μὲν ἴσως ἂν λέγοις· ἁμάρτημα δὲ τοῦτο οὐκ ἐμὸν γίγνεται, ἀλλὰ σόν. Εἰ δ' ὅτε ἦκον εἰς Ῥώμην λέγεις ὅτι πρὸς Βησσαρίωνά σου κατεῖπον (5), ἀλλ' ἔγωγε τοσοῦτον τότε ἀπεῖχον τοῦ λέγειν τι κατὰ σοῦ, ὥσθ' ὅπερ ἀπὼν ἐποίουν, ἐπιστέλλων ὑπὲρ σοῦ καὶ δεόμενος, τοῦτο δὴ καὶ παρὼν τότε ποιεῖν προυθυμούμην, ὥστε διαλλάξαι σε Βησσαρίωνι. Τοῦ γε μὴν παρόντος καιροῦ ἧκιστ' ἐῶντος (τετάρτῃ γὰρ ἡμέρᾳ ἀφ' ἧς ἐγὼ ἦκον, αὐτὸς πρεσβευτὴς ἐπὶ Βονωνίαν (6) ἀπῄει), ἀνεβαλλόμην εἰς ἄλλον τὸ τοιοῦτο καιρὸν, καὶ γράμμασι πάλιν διενοούμην τὸν ἄνδρα παρακαλεῖν. Ταῦτα δ' ἐμοῦ δια-

(1) Patavii commoratum esse Chalcondylem disco ex epistola Const. Lascareos in Yriartæ Catalogo Matrit. p. 186; Mediolani habitasse vel ex Hodio notum est.

(2) Ironice id esse dictum puto. Conviciorum fuerunt epistolæ plenæ: vide p. 413, 19.

(3) Fors. ἀλλ' ὕστερον, λέγοις, ὅτι.

(4) In margine est, ὑπ' ἐμοῦ.

(5) Marginalis est in codice varietas: γράφεται· ὅτι κατηγορικώς τὴν ἐγώ σου.

(6) Hodius de Bessarione p. 148: « legationes quatuor obivit: » primo Bononiam legatus a Pio » II anno 1458, juxta alios a » Nicolao V missus, difficilem » præfecturam secunda fama an- » nos plures administravit. »

νοθμένου, ἦχεν ἡ σὴ πρὸς τὸν μοναχὸν Ἀντώνιον ἐπιστολή, πάσαις ἐμὲ πλύνουσα λοιδορίαις· καὶ μικρὸν ὕστερον ἐκομίσθη καὶ ἦν γέγραφας ὁμοίως ἐμοί.

Πότ' οὖν ἐγώ σου κατεῖπον; καὶ τίνα γράμματα λέγεις ἐμὲ κατὰ σοῦ γεγραφέναι; ἢ (1) τὴν ἐπιστολήν, ἣν, αὐτὸς παρ' ἐμοῦ εἰλικρῶς καὶ ἀνεγνωκώς, Αὐρίσπα (2) κομίζειν δέδωκας, λέγουσαν ὅσα προσῆκεν ὑπὲρ διαλλαγῆς καὶ εὐνοίας. Ἀλλ' οὐδὲν ὡς ἀληθῶς τῶν εἰκότων τε καὶ εὐλόγων ἔχεις ἐπενεγκεῖν εἰς ἀπόδειξιν ὧν βοᾷς· ἀλλὰ παντάπασιν ἀλογίστως κεκίνησαι, καὶ, θηριώδη τινὰ ἐκπληρῶσαι ὁρμὴν ὀρεχθέμενος, ἐβλασφήμεις καὶ ἔπλυνες, δοκῶν οὕτως ἂν λυπῆσαί με. Ἐγὼ κακῶς λέγοντος (3) ἐφρόντιζον ἢ κυνιδίου ὑλακτοῦντος Μελιτηνοῦ (4), ὅδε διὰ τὰς σὰς βλασφημίας ἐμαυτῷ προειλόμην εἰπεῖν

(1) Codex, ἤ. Demetrius Cydon. De cont. morte p. 28: ἡ γὰρ ἄνθρωπον δίκαιον ὀνομάζειν, τὸν ὅ π μὲν φάγητας καὶ πίητας μόνον φροντίζοντα. Frustra probavit editor conjecturam πῦ. Codex rectius ἡ γάρ. Sophocles Antig. 1266: Τί δ' ἔστιν αὖ κακὸν ἢ κακῶν ἔτι; forsan Τί δ' ἔστιν αὖ; κακὸν ἢ κακῶν ἔτι; Est ἦ in cod. 2884. « Quid autem rursus est? » num quid pejus etiam malis? » Meminisse mihi videor esse non dissimile aliquid a viro præstantissimo propositum, cujus liber nunc non est ad manus.

(2) De Jo. Aurispa Siculo, præter notiores biographiæ fontes, adi Dacier. præf. ad Hierocl. fol. e iij; Liron. Singul. hist. t. 1, p. 457; Harles. Bibl. Gr. t. 1, p. 799; Heyn. ad Tibull. p. xxviij; Ginguen. Hist. liter. Ital. t. III, p. 286.

(3) Sic codex. Videtur suppressum ex industria fuisse ejus hominis nomen ad quem scripsit Theodorus. Possit suppleri: ἐγὼ δέ σου, Δημήτριε, οὐ μᾶλλον κακῶς λέγ...

(4) Codex, μελιτληνοῦ. Sed puncto notatum fuit posterius τ, delendi signo. De canibus Melitensibus egi non paucis verbis ad Herod. Epim. p. 82. Æsopus pag. 137 Coray.: ἴχνη τις κύνα Μελιταῖον. Apostolius Adag. XII, 67: Μελίτεσι κύνες.... Forsan Μελιτηνοὶ κ. Adde Harduin. ad Themist. p. 503.

οὐδὲ (1) πώποτε τῶν μὴ προσηκόντων. Εἰμὶ γὰρ οὐκ ἀναιδέστατος πάντων καὶ κύων Κέρβερος, ὡς σὺ λέγεις· ἀλλ', εἴπερ τις (2), αἰδοῦμαι οὐ μόνον ποιεῖν τὰ αἰσχρὰ, ἀλλὰ καὶ λέγειν. Οὔκουν σοι βλάσφημον γέγραφα οὐδὲ ἓν ἀμυνόμενος, οὐδὲ ἄλλον οὐδένα λόγον σε διασύρων ἐποιησάμην· ἀλλ', « οἷα ἀνθ' οἵων (3) » ἀκούω »! μόνον εἰπὼν, ἡσυχίαν ἦγον· λοιδορεῖσθαι γάρ σοι καὶ ἀπαντᾷν οὔτε σχολὴ ἦν, οὔτε πρὸς ἀνδρὸς ἦν σεμνοῦ καὶ μεγαλοψύχου (4).

Οὕτω μὲν οὖν ἐγώ· καὶ οὐδεὶς ἄλλο τι παρὰ ταῦτα, οὐδ' ἂν διαῤῥαγῇ ψευδόμενος (5), δεῖξαι δυνήσεται. Σὺ δὲ τί, πρὸς Θεοῦ, τῶν ὅσα ἀνδρὶ φίλῳ ἢ ἀγαθῷ, ἢ ὅλως νοῦν τινα ἔχοντι, προσῆκε, πεποιηκὼς εἶ; ὁπότε, εἴ τέ του (6) διαβάλλοντος ἐριδοποιοῦ καὶ βασκάνου, εἴ τε καὶ αὐτὸς ὑποπτεύσας (7), ἀλόγως ἀνήρ-

(1) Forsan οὐδέν.

(2) Usitatior formula cum pronomine ἄλλος, εἴπερ τις ἄλλος. Eustathius Epist. 56 : ὅ τε γὰρ λόγος ἡδύ τι ἄλλο, εἴπερ τι χρῆμα, ψυχῇ· turbatum est aliquid; reponam : . . . ἡδύ τι, εἴπερ ἄλλο τι, χρῆμα ψ.

(3) Vide p. 290, n. 1.

(4) Basilius, scholiis ineditis ad Gregorii Naz. Orat. XXXII, p. 516, 4, ubi μεγαλόψυχος : Ἀριστοτέλης μέν [De virtutibus] τὸν δυνάμενον καλῶς εὐτυχίαν καὶ ἀτυχίαν ὑπενεγκεῖν, καὶ μὴ θαυμάζοντα τρυφὴν ἢ τὰ τοῦ κόσμου ἡδέα, ἔχοντα δὲ βάθος ψυχῆς καὶ σώματος, ᾧ ἀκολουθεῖ ἁπλότης τε καὶ ἀλήθεια.

(5) Conf. infra Addenda ad p. 359, 13.

(6) Codex, τοῦ. Demetrius Cydon. De cont. morte p. 97 : πῶς δ' ἂν ἀσώματος οὖσα, καὶ διὰ τοῦτο ἀκίνητος, . . . ὑπομείναι φθοράν; ἢν ἄνευ κινήσεως συμβῆναι, τὸ τῶν παντελῶς ἀμηχάνων. Lego cum codice 963 : . . . . . συμβῆναί τῳ τῶν π... Planudes Somn. Scip. p. 13 : εἰ γὰρ ἐκ τοῦ ἀρχὴ γίγνοιτο, οὐκ ἂν εἴη ἀρχή· codex 963, ἐκ τοῦ : repono ἔκ του. Mox ibidem : ἀρχῆς γὰρ δὴ ἀπολουμένης, οὔτε αὐτή ποτε ἐκ τοῦ, οὔτε ἄλλο ἐξ ἐκείνης γενήσεται. Codex recte ἔκ του : habet et ἀπολλωμένης, quod in ἀπολλυμένης mutaverim, non in ἀπολλομένης : id enim verbi (vid. pag. 50, n. 6) a Planudeæ orationis archaismo alienius est. — His scriptis, vidi esse in Moseriana ἔκ του bis, et ἀπολομένης : hoc quidem vix placet.

(7) Conf. p. 409, 22.

πασαν (1) ὡς ἐγώ σου πρὸς Βησσαρίωνα κατείποιμι, δέον, εἰ φίλος καὶ νοῦν ἔχων ἦσθα, σκέψασθαι πρότερον καὶ ζητῆσαι πόθεν ἂν εἰκὸς τὸ τοιοῦτο εἴη. Οὔτε γὰρ ἀδιακρίτως πιστεύειν ἅπασι χρὴ, διὰ τὸ τοὺς πολλοὺς φαύλους εἶναι καὶ πονηρούς, οὔτε, ὅπερ ἂν ὑποπτεύσῃ τις, τοῦτο καὶ ἀληθὲς ἐστί· ἀλλὰ τοῖς πλείοσι διαψεύδεσθαι κἀνταῦθα συμβαίνει κ᾽ ταυτὸν τοῖς μεθύουσι πάσχειν, οἷς κύκλῳ φέρεσθαι πάντα φαίνεται καὶ πολλὰ τὸ ἓν εἶναι· ἔχει γὰρ καὶ τῶν ἀνοήτων ἕκαστος παρακεκινημένον τὸν νοῦν, οἵαν τὴν τῆς ὄψεως ἀρχὴν (2) οἱ μεθύοντες ἴσχουσι, καὶ δοκοῦσι μὲν ὁρᾶν ἀδικοῦντας τοὺς φίλους καὶ βλάπτοντας, ἔστι δὲ τοιοῦτο ἁμαρτανόμενον οὐδὲ ἕν. Ἢ, ὅτι (3) κακῶς ἔσθ᾽ ὅτε Βησσαρίωνα εἶπες, ἀδικεῖσθαι οἰόμενος ὑπ᾽ αὐτοῦ, διὰ τοῦτο κἀμὲ δὴ κατεισπεῖν σου καὶ προδοῦναί σε ὑπετόπησας;

Ἀλλ᾽, ὦ ἄνθρωπε, Βησσαρίωνι διαφόρως εἶχες· ἠδέσαν ἅπαντες, κ᾽ μάλιστα πάντων Βησσαρίων αὐτὸς ἐξ ὧν λοιδορεῖσθαι καὶ σκωμμάτων αὐτῷ ἐπέστειλας, καθάπερ ἐμοὶ ὕστερον· ἐγὼ δὲ διαλλάξαι ὑμᾶς βουλόμενος, οὐκ ἂν σὸς κατήγορος ἐγενόμην· οὕτω γὰρ ἔχθρα καὶ μῖσος, οὐ διαλλαγή τις ἐγίγνετ᾽ ἄν· ἀλλ᾽ οἰκείοις τῇ καλῇ ταύτῃ προθέσει λόγοις ἐχρώμην· ὅτι δὲ ταῦτα ποιεῖν ἐβουλόμην παρὼν, δῆλον ἀφ᾽ ὧν ἐπέστελλα πρότερον. Καὶ πῶς ἔχεις εἰπεῖν ὡς ἐχθρὸς ἦν ἐγώ σοι, ὅτε σὺν Φερραρείας ἀπῆρχου· φίλος γὰρ σου μὲν ἀποχεχώρισμαι ἀσπασάμενος· Βησσαρίωνι δὲ οὐκ ἤρεσκον τότε μάλιστα, πρόφασιν μὲν, ὡς

(1) Varietas est marginalis, πίπτουσι.

(2) An ἀχλύν?

(3) Codex, ὅπ.

πρός τινας εἶπεν, ὅτι ἐπιστολὰς (1) αὐτῷ ὥσπερ τινὶ τῶν ἴσων διελεγόμην, τῇ δ' ἀληθείᾳ, ὡς ἐγῷμαι, ὅτι σε ἐφίλουν τε καὶ ὠφέλουν, ὃν ἐκεῖνος δικαίως τότε ἐμίσει. Τοῦτο δ' ἐγώ, εἴ τί με καὶ περὶ τούτου ἐνταῦθα εἰπεῖν δεῖ, ὄχ ἵνα δυσνόστερόν σε Βησσαρίωνι ἀποδείξω, ἐποίουν, ἀλλ' ἵνα ποτὲ διαλλάξω, καί, τὸ κακῶς λέγειν ἀπαλλάξας, ἐπαινέτην τοῦ ἀνδρὸς ἀποκατασήσω. Μάρτυρα δὲ τοῦ τοιούτου τὸ σὸν μάλιστα παρέχομαι συνειδὸς, ὡς, πολλάκις σοι διαλεγόμενος περὶ τούτου, δῆλος ἦν πᾶσιν ὑμῖν δύσνοιαν καὶ βλασφημίαν ἐκποδὼν ποιεῖν προθυμούμενος· κἄ, εἰ Βησσαρίων, ὅθ' ὑπὲρ σοῦ ἐπέστελλα, μὴ μᾶλλον τῷ δικαίῳ ἢ τῷ ἐπιεικεῖ τῶν λογισμῶν προσετίθετο, οὐδὲν ἂν ἐκώλυεν μὴ ἐκποδὼν μῖσος ἅπαν γενέσθαι.

Ἀλλὰ τὰ μὲν πρὸς ἐκεῖνον ἐν ἄλλοις· σὲ δὲ καὶ ἐπιστεῖλαί τι πρός με ἐχρῆν πρότερον ὧν περὶ ἐδόκεις ὑπ' ἐμοῦ ἀδικεῖσθαι, εἶτα, εἴ με κάκιστον ἔτι κἀκ τῶν γραμμάτων ἐδόκεις, οὕτως ἄρχεσθαι τοῦ κακῶς ἀγορεύειν· εὔνου μὲν ὑπάρχοντος ἀνδρὸς καὶ δικαίου τὸ πρότερον ἐγκαλέσαντα κἄ μεμψάμενον ἀντακοῦσαι, δύσνου δὲ καὶ ἀδίκου τὸ εὐθὺς ἐπὶ κατηγορίας κἄ βλασφημίας ὁρμᾶν, καὶ ἐρήμην (2), ἵν' οὕτως εἴπω, καταγινώσκειν· ὥστε ὅρα νῦν γοῦν ὅσον λέληθας σεαυτὸν ἁμαρτάνων. Ἔχει γὰρ, καὶ βλασφημῶν εἰς ἐμὲ ἀθῷον ὄντα κἄ ἔξω πάσης αἰτίας, ὅρα, ἄνθρωπε, εἰ, τοσούτων οὕτως ἐχόντων, οὐ τὰ τῶν μοχθηρῶν καὶ

(1) An κατὰ ἐπιστολάς? Displicet id in Bessarione, vel προφάσιν.

(2) Basilius, scholiis ineditis ad Gregorii Naz. Orat. XXXII, p. 522 C: ἐρήμη λέγεται δίκη, ὅταν, μὴ παρόντων τῶν ἑκατέρων μερῶν, ὁ δικαστὴς μονομερῶς τὴν ψῆφον ἐξενεγκὼν ἀποφαίνηται.

σκαιῶν καὶ ἀχαρίστων σὺ ὁ πρότερόν μοι οἰκείως ἔχων ἐποίεις, μαινόμενος ἐπ' ἐμέ, καὶ κατορχούμενος τοῦ σὲ καὶ φιλήσαντος καὶ διδάξαντος (1), καὶ τὰ δυνατὰ πάντα εὐεργετήσαντος.

Καὶ ταῦτα μὲν περὶ ὧν μεμφόμενός με ἐπέστηλας· ὅτι δὲ μαλάττεσθαί σοι τὴν ψυχὴν ἤδη λέγεις καί μοι εὐνούστατος εἶναι βούλεσθαι, νὴ Δι', ἀποδέξαιτο μὲν ἄν τίς σου τὴν μεταβολὴν καὶ παλινῳδίαν· ἐρωτῶντι δέ, « Πόθεν, ὦ (2), μεταβαλών, » εὐνούστατος γέγνῃ ᾧ πρότερον δύσνους ἦσθα; καὶ » πόθεν ἤδη ἐπαινεῖν προθυμῇ ὃν πρότερον ἐβλασφή- » μεις »; τί ἐρεῖς, πρὸς Θεοῦ; ἆρ' ὡς ἔκ τινων λό- γων ἐμῶν καὶ διά τινας εἰρηνοποιοὺς καὶ διαλλάκτας, ὡς τὰ τοιαῦτα γίγνεσθαι εἴθιστα; πολλοῦ γε καὶ δεῖ. Πόθεν οὖν; ἢ δῆλον ὅτι δάκνει σε τὸ συνειδός, ἄνθρω- πε, καὶ μετάμελος ἔχει σε ὧν ἥμάρτηκας, καὶ πλήτ- τόμενος ὑπὸ τοῦ δικαίου λογισμοῦ, οἷόν τινος δικα- στοῦ ἀδεκάστου, τά τε ὄντα ὁμολογεῖς καὶ δι' ἀγά- πης φάσκεις με ἤδη ἔχειν πολλῆς.

Εἶτά με ἐρωτήσειν λέγεις· « Τίς μάρτυς τῶν λε- » γομένων κατ' ἐμοῦ αἰτιῶν »; Πόθεν τοῦτ' ἐρωτή- σω; οὐ γὰρ σὺ μάρτυς αὐτὸς τοῦ σε μηδὲν ὑγιὲς εἰ- ρηκέναι, ὅτε, μηδενός σε παρακαλέσαντος, ἐξ ἐχθροῦ εὐνους αὖθίς μοι γέγνῃ καὶ εἰς φιλίαν αὐτοπροαιρέτως ἐλήλυθας; τοῦτ' ἐστὶ μαρτύριον σαφέστατον, ἄνθρω- πε· τοῦτο ἔλεγχος, τοῦτ' ἀπόδειξις γίγνεται πάν- των ἐναργεστάτη, ὡς σὺ πρότερον μὲν ἐμαίνου, νῦν δὲ σωφρονεῖς· καὶ πρότερον μέν, ὥσπερ οἱ ὑπὸ φρε-

(1) Quadrat id omnino in Demetr. Chalcondylem, qui Theodoro Gaza magistro erat usus.

(2) Sic codex cum lacunula.

νίτιδος ἁλισκόμενοι, ἐχθροὺς τοὺς φίλους εἶναι ἡγῇ, καὶ τοὺς θεραπεύοντας δηλητήρια(1) σοι φερσφέρειν ἐδόκεις· νῦν δὲ, τῆς δεινοτάτης νόσου ἀβελτηρίας τε καὶ ἀναισθησίας ἀπαλλαγείς, κρίνειν οἶδας τὸν φίλον τε καὶ ἐχθρὸν καὶ τὸν οἰκεῖόν τε καὶ ἀλλότριον.

« Καὶ δὴ ἐπιλανθάνομαι » λέγεις, « τῶν πρότερων » ἁπάντων » · καὶ εἰκότως σύγε· οὐδὲ γὰρ οἱ ἀνανήψαντες μέμνηνται ὧν πρότερον μεθύοντες καὶ κραιπαλῶντες παρῴνουν (2) καὶ ὕβριζον, οὐδ' οἱ ἀναφρονήσαντες ὧν πρότερον ὀρχούμενοι καὶ βακχεύοντες ἠσχημόνουν. Καὶ σὲ γὰρ νῦν μὲν λόγος ἄγει ὀρθὸς, πρότερον δὲ πάθος ἐνίκα καὶ ὁρμὴ ἄλογος· καὶ νῦν μὲν σεαυτοῦ εἶ, πρότερον δὲ οὐδαμῶς.

Ἀλλ' ὅτι μὲν οὕτω νῦν ἔχεις, ἀποδέχομαί σε τῆς ἐπὶ τὸ βέλτιον ταύτης μεταβολῆς· καὶ, ὥσπερ πρότερον τὸν μὲν σὸν τρόπον ἐμίσουν, σὲ δὲ τῆς ἀναισθησίας ἠλέουν, οὕτω νῦν ἀμφότερον σέ τε ἄγαμαι οὐ-περ μετείληφας νοῦ, καὶ τὸν σὸν τρόπον βελτίω γενόμενον ἤδη ἀσπάζομαι, καὶ σὲ φίλον πάλιν ποιοῦμαι· καὶ φιλήσω ἐφ' ὅσον ἂν χρόνον ἀμετάβλητος μείνῃς, μεταβαλόντα δὲ πάλιν τὸν μὲν σὸν τρόπον μισήσω, σὲ δ' ἐλεήσω.

Παραινῶ μέντοι σοι ἤδη ὡς φίλος μόνιμον ἔχειν τὸ ἦθος ἐν τοῖς καλοῖς ἀεὶ, καὶ πάντα εὐλόγως τε καὶ εὐσχημόνως πράττειν καὶ λέγειν, καὶ ὑπόθεσιν

(1) Absolute ponitur τὸ δηλητήριον : vide Herod. Epim. p. 21, cum nota. Athæneus III, 28 : προλαμβανόμενον τὸ κιτρίον πάσης τροφῆς ξηρᾶς τε καὶ ὑγρᾶς ἀντιφάρμακόν ἐστι παντὸς δηλητηρίου. Vide Matth. ad Eclogas e Joanne Chrysostomo pag. 99.

(2) In augmento verborum ab οἶνος variatur. Monebo in Æschyli Suppl. 414 codicem 2886 exhibere ὠνωμένον, id est ᾠνωμένον.

λόγων ποιεῖσθαι (1), μὴ λοιδορίας καὶ ὀνείδη καὶ σκώμματα, ἀλλὰ ἔπαινον τῶν καλῶν καὶ προαίρεσιν καὶ ὅσα ἄλλα χρήσιμα καὶ εὐαπόδεκτα ἀνθρώποις ἐστίν· τοὺς γὰρ τοιούτους πάντες φιλοῦσι, καὶ δεομένοις βοηθοῦσι προθύμως· ἀλαζόνας δὲ καὶ φιλολοιδόρους τε καὶ φιλομεταβλήτους (2) ἀποστρέφονται καὶ μισοῦσι. Πένης εἶ, ξένος, μηδένα ἔχων βοηθοῦντα μήτ' ἄλλως παραμυθούμενον· οὐκοῦν καὶ διὰ ταῦτα οὐ λοιδορητέον τοῖς ἔχουσι πλέον καὶ δυναμένοις (3) μεῖζον· ἀλλ', ὥσπερ ἄμπελος καὶ κισσὸς καὶ τἆλλα τῶν φυτῶν, ἐπαλλόκαυλα πτελέας ἢ καὶ κλήθρου ἢ ἄλλου του δένδρου, περιεχόμενα καὶ ἀνορθούμενα αὔξεται, καὶ ὑπερειδόμενα ζῇ καὶ εὐβλαστεῖ καὶ καρποφορεῖ ἐν ἄλλοις, οὕτω καί σοι τῶν εὐτυχεστέρων καὶ δυνατωτέρων ἑκτέον, καὶ τῇ τῶν τοιούτων ἰσχύϊ ἀποχρηστέον εἰς ἰδίαν ἐπίδοσιν.

Νῦν μὲν, ὅτι « Ἔβλαψεν ἔβλαψέ με Θεόδωρος καὶ » ὁ δεῖνα καὶ ὁ δεῖνα, καὶ κάκιστ' ἀπόλοιντ' », ἐβόας, πάντες ὡς φιλαίτιον καὶ φιλολοίδορον καὶ φιλαπεχθήμονά σε

(1) Codex, ποιῆσθαι, ex permutatione solita vocalium η et ει. Procopius Epist. 73 M. : δεινὸς ἄρα τις ἦσθα πτερὰ ῥιβάλλειν ᾧπερ ἂν ἐθέλεις· imo ἐθέλῃς, ut recte legitur in simili initio Epistolæ 9 : δεινὸς ἄρα τις ἦσθα κινεῖν ὃν ἂν ἐθέλῃς πρὸς λόγον. Libanius tom. IV, pag. 12 : ἀπὸ πρεσβείας ἀρχόμεθα, ἵν', εἰ μὲν ἀρκέσειεν αὐτὴ πρὸς τὸ τῶν ἀμφισβητησίμων πέρας, μηδενὸς ἔτι προσδεήσει· codex 963, προσδεήσῃ, melius; qui et αὕτη recte etiam exhibet. Pletho obiter in hoc pronomine corrigatur Laud. Hypom. init. αὐτὴ τοίνυν τὸ μὲν γένος Θρᾷττα ἦν· codices 963 et 1760, αὕτη : quod unice verum est.

(2) Codex, φι μεταβλήτους.

(3) Codex, τοῖς ἔχουσι... δυναμένοις, superscripta varietate, τοὺς ἔχοντας... δυναμένους. Est in usu utraque syntaxis. Libanius t. IV, p. 587 : τὰς δὲ διελοδόρουν· codex 3017, ταῖς δὲ διελοιδορούμην : quod malim præcipue ob mediam vocem. Ceterum cum verbo medio dativus regiminis melior est genitivo.

ἄνθρωπον ἐμίσουν τε καὶ παρήρχοντο (1) καὶ μεταδιδόναι ὅδεὶς ὅδενός σοι τῶν ἀγαθῶν προῃρεῖτο, μὴ ταυτά ποτε καὶ αὐτὸς Θεοδώρῳ ἀκούσῃ, γενόμενός σοι ξυνήθης· πάντες γὰρ οἴδασιν ὡς ὅδένα Θεόδωρος βλάπτει, ἀλλὰ παντὶ τρόπῳ τῷ δυνατῷ ὠφελεῖ, καὶ πάντας φιλεῖ, καὶ πᾶσι προσηνής ἐστι καὶ ἡδύς. Νῦν δ' ἂν μεθαρμόσας εὔφημον καὶ φιλάρετον καὶ κόσμιον καὶ μόνιμον ἀποδείξῃς τὸ ἦθος, πάντες φιλήσουσί σε καὶ πενίας ἀπαλλάξουσι καὶ τιμῆς ἀξιώσουσι. Ἀρετὴ μὲν γὰρ καὶ χρήματα καὶ τιμὰς φέρει ῥᾳδίως, καὶ εὐδαίμονα (2) τὸν ἄνθρωπον ἀποδείκνυσι, κἂν γυμνός τις ἐν ἀλλοδαπῇ γένηται καὶ ἐν ἀλλοφύλοις ἀνθρώποις οἰκῇ, οἷα δὴ καὶ τὰ περὶ Ὀδυσσέα λεγόμενα· κακία δὲ τὸν ἔχοντα καὶ ζῶντα κακοδαίμονα ἀποδουκολεῖ, καὶ τελευτήσαντα ἐν ᾅδου κολάζει. Μὴ οὖν σύγε κακὴν τὴν κακίαν τοιοῦτο αἱροῦ περὶ τῆς ἀρετῆς· ἀλλὰ τὴν βελτίω προτιμήσας δὴ μοῖραν (3), φήμην σαυτῷ ἐξ ἀρετῆς παρασκεύασον, ἀλλὰ μὴ ἐκ τοῦ τὰ μάλιστα κακῶς ἀνθρώπους εἰπεῖν.

Οὕτω μὲν οὖν καὶ ταῦτα. Ὅτι δὲ καὶ ἐν τῇ Φερραρίᾳ νῦν διατρίβεις, περὶ λόγους σπουδάζων, καὶ Ἱερωνύμῳ (4) καὶ Γυρίνῳ (5) χρώμενος διδασκάλοις, εὖ ἴσθι· οἵ τε γὰρ λόγοι ἄνδρα τῶν ἐλλογίμων σε ἀποδείξουσιν· οἵ τε ἄνδρες αὐτοὶ σοφοί τέ εἰσι καὶ λόγιοι καὶ ἐμοὶ φίλοι. Τήρει δὲ καὶ τὴν πρὸς Λωδόϊκον

(1) Margo, παρήλλατλον.
(2) Codex, εὐδαίνα.
(3) Forsan cum respectu ad Luc. x, 42 : conf. p. 309, n. 6.
(4) De Hieronymo illo nihil compertum habeo.
(5) Joann. Baptista Guarinus Veronensis, qui diu Ferrariæ docuit, Guarini illius filius ad quem scripsit Manuel Palæologus epistolam, quam edidi supra t. II, pag. 287.

συνήθειαν· ἔστι γὰρ ὁ νέος ἀγάπης ἄξιος καὶ ἐπαίνου.

Προσαγορεύει σε Ἀθανάσιος (1), ἀνὴρ εὖ μάλα τοιοῦτος οἷον εἴρηκας εἶναι, καὶ σὲ φιλεῖν ἤδη καὶ οὗτος ἄρχεται.

Ἔρρωσο.

(1) An Athanasius Byzantinus, de quo egi in Notit. Manuscr. t. XI, II, p. 3?

ΑΝΔΡΟΝΙΚΟΥ ΤΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΕΙΣ ΤΟΝ ΜΕΓΑΛΟΠΡΕΠΗ ΑΝΔΡΑ

ΚΥΡΙΟΝ

ΓΕΩΡΓΙΟΝ ΠΑΛΑΙΟΛΟΓΟΝ ΤΟΝ ΔΙΣΤΠΑΤΟΝ.*

Μεγαλοπρεπὲς ἄνερ, εἴης μοι ὑγιαίνων Θεοῦ βοηθείᾳ ὑγιαίνοντι καὶ αὐτῷ μέχρι τοῦ νῦν.

Γεώργιος ὁ Ἑρμώνυμος (1), ἀνὴρ εὖ ἔχων καὶ παιδείας καὶ ἀρετῆς, καὶ φίλος ἐμὸς καὶ σαυτοῦ τὰ μάλιστα, πορευόμενος πρὸς σὲ, ᾔτησε καὶ παρ' ἐμοῦ γράμματα. Ἐγὼ δὲ, καὶ ἄλλως ἐπιθυμῶν κτήσασθαί σε φίλον, ἄνδρα ὄντα εὐγενῆ καὶ πατριώτην ἐμὸν, πολεμικαῖς δὲ καὶ πολιτικαῖς πράξεσι κεκοσμημένον, καὶ ταῦτα (2) ἐπ' ἀλλοδαπῆς γῆς, ἐν ᾗ πλεῖστος μὲν ὁ

* E codicibus regiis 2966=A et 3043=B. In Bibliotheca Græca t. XI, p. 561, n. gg, Harlesius e codice 2966 memorat Andronici Callisti «Orationem in» laudem Georgii Palæologi»; quæ hæc ipsa est a me nunc edita epistola. Harlesio fraudi fuit Catalogus regius. De Georgio Palæologo Dishypato (nam est Δισύπατος cognomen gentilitium, non dignitatis nomen), vel Bissipato, vide Cangium Famil. Byzant. p. 256; de Andronico Callisti supra p. 377, 381, 388, 402.

(1) De Georgio Hermonymo Allatius Diatr. de Georgiis; Harles. Bibl. Gr. t. XI, p. 635. Ejus vel in græcis literis doctrina non magna fuisse videtur, si fides sit Lud. Regio, cujus verba vide in Baylii Dict. v. *Budé*, n. D.

(2) B, καὶ πανθ'. Quod jam feci, diligentia utilius usurus, apostrophen in locis poetarum tractabo. Dicæarchus 80: Ἔτι πρὸ μεσογείᾳ δ' ἔστι Κυπάρισσος πόλις, Λάρισσά τε, μετ' αὐτὴν Δαυλὶς· ἡ Βοιωτία Χώρα... Quum ignoretur Λάρισσα in Phocide, proposuit editor doctiss. Ἄμφισσα, plaudente Letronnio, qui correctionem absolvit, scribens Ἄμφισα. Equidem fere putaverim ignorare nos posse urbium plurimarum nomina, nec Dicæarchi Λάρισσαν calidius delendam; nec tamen Λάφισα

φθόνος, ὀλίγη δὲ ἡ πρὸς τοὺς ξένους ἀγάπη, ᾠήθην (1) δεῖν γράψαι σοι καὶ ἐμαυτῷ τε ἅμα καὶ Γεωργίῳ ἐξαρκέσαι.

Γεώργιος οὖν ἀφίκετο μὲν ἐκ Ῥώμης πεμφθεὶς ὑπὸ τοῦ μεγίστου ἀρχιερέως ἐπ' ἐλευθερίᾳ τοῦ ἀρχιεπισκόπου τῆς Ἰόρκης (2)· σπουδάσας δὲ πολλὰ καὶ

cum Casaubono scriberem. Videtur potius corrigendum: Λάρισσά τε· μετὰ, Δαυλίς· ad μετὰ, sic usurpatum absolute, adpositum fuerat scholium αὐτὴν, quod serius textum invasit. Scymnus 405: Ἑξῆς δὲ μεγάλη χερσόνησος Ὑλλικὴ Πρὸς τὴν Πελοπόννησον τ' ἐξισουμένη. Sic Morelliana, altero versu claudicante, cui nuper medicina mala facta fuit, τε ἐξισ., hiatu plane intolerabili, quum bonam olim fecisset Vossius, Πρὸς τήν τε Π. ἐξισ.

(1) A, ᾠήθειν. Hanc ob permutationem vocalium η et ει, toties librarii in antiquis atticis secundas passivæ et mediæ vocis personas per η pro vetere ει clauserunt, nonnusquam tamen fine meliore ει forte servato; quem in hoc Choephorarum loco servasse nonnullis videntur interpretibus, choro Jovem sic alloquente, v. 778: ἐπεί νιν μέγαν ἄρας, δίδυμα καὶ τριπλᾶ παλίμποινα θέλων ἀμείψει. Equidem non cum viris dd. facio qui ἀμείψει pro ἀμείψῃ habent ab ἀμείψομαι: sed pro tertia persona activi futuri mihi sumitur, et id propter θέλων præsertim, quod minus Jovi accipienti, quam Oresti offerenti, convenire videtur. Jam μέγαν νιν ἄρας nominativus erit absolutus. Rursus v. 828: καὶ τόδ' ἀμφέρειν δόμοις Γένοιτ' ἂν ἄχθος αἱματοσταγὲς φόνῳ Τῷ πρόσθεν ἑλκαίνοντι καὶ δεδηγμένῳ. Valde mirabilis est φόνος δεδηγμένος. Propono δεδειγμένῳ. « Hic de Oreste » mortuo nuncius, in domos in» latus, sanguineum veluti onus » accedet pristinæ cædi, morta» lium oculis expositæ necdum » cicatricosæ. »

(2) Quem vocat μέγιστον ἀρχιερέα est papa Sixtus IV. Testis sit ipse Hermonymus, cujus quæ sunt verba ad calcem Barberini codicis Quinti Calabri ab ipso scripta allegavit Allatius, ac, post Allatium, Hodius pag. 235: ἐτελειώθη τὸ παρὸν βιβλίον ποίησιν περιέχον Κοΐντου Καλαβροῦ, ἐπιστρέψαντός μου ἐξ Ἀλβιώνης τῆς Βρεττανικῆς νήσου ἐν πόλει τοῦ Παρισίου ἐν τῇ Γαλλίᾳ, χειρὶ Γεωργίου Ἑρμωνύμου τοῦ Σπαρτιάτου, πεμφθέντος ὑπὸ τοῦ μεγίστου ἀρχιερέως Σίξτου τετάρτου ἐπ' ἐλευθερίᾳ τοῦ ἀρχιεπισκόπου τῆς Ἰόρκης (Eboraci, anglice York), ἔτει ἀπὸ Χριστοῦ γεννήσεως αυος', τρίτῃ φθίνοντος ἑκατομβαιῶνος μηνὸς κατὰ Ἀθηναίους, ὃν ἰούνιον ῥωμαϊστὶ καλοῦσιν. Jam ab anno 1472 Eboracensis episcopus Guisniæ in carcere erat inclusus,

κινδυνεύσας οὐ μικρὰ, καὶ κατωρθωκὼς πρᾶξιν τοιαύτην οἵαν οὐδεὶς ἄλλος (1) ἤλπισεν ἂν κατορθώσειν, καὶ ἐλευθερώσας τὸν ἀρχιεπίσκοπον, ἔτυχε μὲν δώρων ἱκανῶν παρὰ τοῦ ἀρχιεπισκόπου, οὐ μὴν (2) ἀξίων τοιαύτης τε καὶ τοσαύτης πράξεως καὶ τῶν κινδύνων οὓς ὑπέστη· τέλος δὲ, καιροῦ προϊόντος (3), κατηγορηθεὶς ὑπὸ τῶν ἐνταῦθα ἰταλικῶν ἐμπόρων διὰ τὸ πεπομφέναι γράμματα πρὸς σὲ τὸν Γεώργιον καὶ ἐξαγγεῖλαι τὰ ὑπ' αὐτῶν πραττόμενα κατὰ σοῦ, καὶ ἅμα οἰομένων τῶν ἐμπόρων καὶ τὰς ἄλλας αὐτῶν πράξεις γράμμασι μηνύειν πρὸς σὲ τὸν Γεώργιον, ὥστε ῥᾳδίως ὑπὸ σοῦ κατ' αὐτῶν συμπλέκεσθαι μηχανὰς καὶ ἐνέδρας, καὶ συλλαμβάνειν αὐτούς· ἐμβληθεὶς οὖν διὰ ταῦτα εἰς δεσμωτήριον ἐπὶ τιμήματι χιλίων λιτρῶν, καὶ καταναλώσας πάντα ὅσα τε παρὰ τοῦ ἀρχιεπισκόπου ἔλαβε καὶ ὅσα ἤνεγκεν ἐκ Ῥώμης, καὶ γενόμενος ὀφειλέτης χρυσίου πολλοῦ, μόλις

Eduardi IV jussu, qui ab eo, ut comitis Warwickensis fratre, sibi cavebat. Moritur in carcere a. 1476. Vide Rapinum Thoir.

(1) Sunt formulæ, ὡς οὐδεὶς, ὡς οὐδεὶς ἄλλος, ὡς οὐδεὶς ἕτερος, de quibus notavi ad Œdip. R. 1505. Aristophanes Av. 150: Ἀτὰρ ἄθλιός γ' εἰμ', ὡς ἕτερος οὐδεὶς ἀνήρ. Ibid. 88: Φιληλιαστής ἐστιν, ὡς οὐδεὶς ἀνήρ. Isocrates Arch. 26: οὕτως ἐνηνοχότας τὰς συμφορὰς ὡς οὐδένες ἄλλοι. Et sic ὡς οὐδένες ἄλλοι Plato Alcib. II, c. 19. Et ὡς οὐδένες ἕτεροι Clearchus Athenæi XII, 27. Libanius t. IV, pag. 225: μηδ' ἐρωτάτω τις τί πεπονθα· πέπονθα γὰρ ἃ οὐδείς· codex 3017, ἃ οὐδεὶς ἕτερος. Cf. schol. ad Œdip. Col. 1653; Joannes Chrys. Select. pag. 52.

(2) A, ἱκανῶν, οὐ μήν.

(3) Melius dixisset, quod tot e veteribus dixerunt, χρόνου προϊόντος. Usus quotidianæ et vulgaris dialecti imprudentem scriptorem fefellit. Est enim nunc Græcis χρόνος annus, καιρὸς tempus. Vide Meurs. post Hesych. Illustr. p. 260. Christopulus, alter Anacreon: Εἰς βουνὸν ἐγὼ κι ὁ Ἔρως Κ' ἡ ἀγάπη μου μαζὶ, Κι ὁ θεὸς Καιρὸς ὁ γέρος, Ἀνεβαίνομεν πεζοί.

ἐλευθερωθεὶς τοῦ δεσμωτηρίου, μὴ δυνάμενος ἀποδοῦναι τὸ χρέος, ἐμοῦ γενομένου ἐγγυητοῦ, ἔρχεται ἤδη πρὸς σὲ, θαῤῥῶν εἰς σὲ μετὰ Θεὸν, καὶ διὰ σοῦ εἰς τὸν γαληνότατον βασιλέα τῶν Φράγκων (1).

Σὺ οὖν, ἐλευθεριώτατε καὶ μεγαλοπρεπέστατε ἄνερ, μιμησάμενος τὸν σαυτοῦ πατέρα καὶ τοὺς ἄλλους σου προγόνους, λαμπροὺς ἅπαντας γεγονότας καὶ ἐπ' ἔργοις πάνυ διαπρέψαντας ἀγαθοῖς, οὓς αὐτὸς μὲν ἴσως δι' ἡλικίαν οὐκ οἶσθα, ἐγὼ δὲ εὖ οἶδα πατρικούς μοι φίλους γεγενημένους, λογισάμενος δὲ καὶ (2) τὸ σαυτοῦ μεγαλοπρεπὲς ἀξίωμα, καὶ τὴν φήμην ἣν παρὰ πάντων δι' εὐποιΐαν καὶ ἐλευθεριότητα ἐκτήσω, σκεψάμενος δὲ καὶ ὅσα Γεώργιος ὁ φίλος ἐπεπόνθει διὰ σὲ καὶ τὸν γαληνότατον ῥῆγα, τρίμηνον μὲν διατρίψας ἐν δεσμωτηρίῳ, πέδαις δὲ σιδηραῖς δεσμωθεὶς τοὺς πόδας, ὡς αὐτὸς πολλάκις εἰς τὸ δεσμωτήριον πορευθεὶς εἶδον, καταναλώσας δὲ πάντα ὅσα εἶχε, καὶ γενόμενος πρὸς τούτοις ὀφειλέτης πολλοῦ χρυσίου· ταῦτα

(1) B, φράγγων. Francorum rex Ludovicus XI, apud quem plurimum gratia valebat Georgius Palæologus ille de Bissipato: vide Cangium Famil. Byzant. pag. 256.

(2) A, λογησάμενος καί. Omisit librarius δὲ, negligentia facile ignoscenda. Eumath. VI, p. 217: ἐγὼ καὶ Κρατισθένης περὶ τοὐμὸν γεγονότες δωμάτιον· codex 2897, ἐγὼ δὲ καὶ Κρ. Philostratus V. A. II, 21: ἐγὼ τὸν Ἀλέξανδρον, εἶπε, φιλοτιμότατον ἀκούων· codex 1696, ἐγὼ δὲ τὸν Ἀλ. Idem Epist. 43: εἰ σωφρονεῖς, διὰ τί ἐμοὶ μόνῳ; εἰ χαρίζῃ, διὰ τί μὴ κἀμοί; codex 1696 et Vatic. 140, εἰ δὲ χαρ. In hoc codice lemma est μειρακίῳ, non, ut in editis, γυναικί. Idem Epist. 55: ἄνθος ἐστὶ καὶ γυναικὸς ἡ τοῦ προσώπου γαλήνη· codex 1696, ἄνθος γάρ ἐστι.... cod. Vaticanus, ἄνθος δέ ἐστι καὶ γυναικί: melius δὲ hic quam γάρ. Sed et alii loco ejusdem epistolæ simul medebor: οὐδὲ τὴν Ἥραν βοῶπιν (δοκοῦμεν), ὅταν χαλεπαίνῃ τῷ Διΐ, οὐδὲ τὴν θάλατταν, ὅταν ταράττηται· plenius cod. 1696: οὐδὲ τ. θάλασσαν ἡδεῖαν, ὅταν ταρ.

πάντα σκεψάμενος, βοήθει Γεωργίῳ, ἀγαθῷ τε ὄντι καὶ σὲ φιλοῦντι τὰ μάλιστα, καὶ ἐπαινοῦντι τὰς σαυτοῦ ἀρετὰς καὶ τὰ κατορθώματα (1)· βοήθει δὲ καὶ παρὰ σαυτοῦ καὶ μάλιστα παρὰ τοῦ λαμπροτάτου καὶ γαληνοτάτου ῥητῆς.

Δίκαιος δὲ ὁ βασιλεὺς βοηθῆσαι τανδρί· πέπεισμαι γὰρ αὐτὸν ἐλευθεριώτατον καὶ μεγαλοπρεπέστατον ὄντα, καὶ εἰωθότα πάντας εὐεργετεῖν τὰς περιούσας αὐτῷ. Ἂν γοῦν τοὺς ἄλλους εὐεργετῇ, πολλῷ μᾶλλον εὐεργετεῖν (2) ἄξιος τοὺς δι' αὐτὸν πολλὰ πεπονθότας (3) δεινά. Ἀλλὰ δὴ καὶ τοῦ σοῦ προσιεθέντος ἀξιώματος, καὶ τῆς παῤῥησίας ἣν ἔχεις παρὰ τῷ βασιλεῖ

(1) Multa fecisse in bellis egregia Georgium significat Cangius loco laudato.

(2) B sine εὐεργετεῖν. Vitium est librariorum solitum. Ælian. Tact. præf. p. 5 : ἂν δὲ ταῖς ἐπινοίαις σου ταύτα παραβάλῃς, ὡς ἑλληνικὴν θεωρίαν· addit codex 2540, καὶ γλαφυρὰν ἱστορίαν. Libanius t. IV, p. 944 : ὥστι μοι δοκεῖ καὶ τοὺς ἄλλους εἰς τὴν ἀναγωγὴν ποιεῖσθαι προθυμοτέρους ὁ τιοῦτο σῶμα τῷ Τρωϊκῷ συνεισφέρων· bene codex 2918, τ. Τρ. πολέμῳ συν. . . .Habet et τιοῦτον σῶμα : forsan ὁ τιοῦτος, « talis homo », Thersites scilicet. Idem p. 1053 : ἐπὶ ταῦτα καὶ τὸ ἦαρ ἐξάγει τοὺς ἀνθρώπους καὶ τύφει· codex 963, καὶ κατακλίνει καὶ τύφει.

(3) B, παθόντας. Sic sæpe librarii vocem synonymam archetypæ substituunt imprudentes. Libanius t. IV, p. 866 : φρονιζέτω δὲ καὶ τῆς τῶν ταυτῶν ἀρετῆς ὁ κυβερνήτης, ὡς αὐτὸς ὑφέξων λόγον ὧν αὐτοὶ σφαλῶσιν· cod. 2918, ἐκεῖνοι pro αὐτοί, et emendatius, λόγον ὧν ἂν ἐκεῖνοι σφαλῶσιν. Alexis Athenæi X, 28 : Λέγε νή, καὶ διατεῖβόν γε τῷ πότῳ Ποιῶμεν. Versum forsan synonymo verbo librarius pessumdedit, scripto male λέγε pro φέρε. Machon ibid. XIII, 44, v. 48 : Ἔπειτα πῶς οὐχὶ ὁρᾷς, Γράθαν', ἔφη. Hiatus tolli poterit, posito βλέπεις pro ὁρᾷς. Scymnus v. 281 : Τὰς νῦν Συρακούσας παρ' αὐτοῖς καλουμένας· forsan λεγομένας, quo participio sæpicule Scymnus versus concludit, v. c. v. 428 : . . . λίμνην . . . Μεγάλην, παρ' αὐτοῖς τὴν Λυχνῖτιν λεγομένην. Conf. 222, 224, 311, 330, 412, 426 ; etiam 390 : Ἐτέτων ἔχονται Θρᾷκες Ἴφριοι (imo Ἴφροι) λεγόμενοι. Nuper ille v. 281 sic editus fuit : Τὰς νῦν Συρ. παρὰ τούτοις καλουμένας. Sed Συρακού non est anapæstus ; et in versu

(πυνθάνομαι γάρ σε τὰ μέγιστα (1) παρ' αὐτῷ ἰσχύειν), προθυμότερος ἔσται ἐπὶ τὴν εὐεργεσίαν.

Χώρει δὴ, μεγαλοπρεπέστατε ἄνερ, ἐπὶ τῷ βοηθῆσαι Γεωργίῳ· καὶ διὰ τὴν εἰς αὐτὸν εὐεργεσίαν βεβαίωσον τὴν φήμην ἣν παρὰ πάντων, ὡς ἔφην, ἐπ' εὐεργεσίᾳ καὶ ἐλευθεριότητι ἐκτήσω.

Εἰ δέ τι καὶ τὸ ἐμὸν ἰσχύει παρὰ σοί (εἰκὸς δὲ ἰσχύειν διὰ γῆρας, καὶ ἐπιστήμην ἥν με φασὶ πολλοὶ κεκτῆσθαι), βοήθει καὶ δι' ἐμοῦ Γεωργίῳ. Βουλοίμην γὰρ ἂν αὐτὸν τὰ μέγιστα εὐτυχεῖν, ἀγαθὸν ἄνδρα ὄντα καὶ πολλὰ καὶ εἰπόντα καὶ δεδρακότα ὑπὲρ ἐμοῦ.

Ταῦτα μὲν ὅτι οὕτω δράσεις, καὶ βοηθήσεις Γεωρ-

413 pro Συρακουσίων, scribendum est Συρακοσίων. In Euripidis Erechtheo XX, 10, et Phaethonte VII, hoc artificio non incommode usus sum, quum, reposito στύγει, στυγῶ, pro μίσει, μισῶ, metro succurrerem. Quæ quidem synonyma reposui prudens, ac forsan ob id laudandus; sed in Dictye, ubi Σέβειν δὲ τοὺς κρατοῦντας ἀρχαῖος νόμος, volante calamo ipsa mente velocius, scripsi τοὺς ἄρχοντας: et in Erechtheo XVII, 16, pro δεῖ, irrepsit χρὴ, pejus etiam a typotheta factum, qui χρῆ exhibuit. Nescio an possit ea via fieri medicina Meleagri fr. ultimo: Μισῶ γυναῖκας, ἐκ πασῶν δέ σε πλέον Ἥτις πονηρὰ τἄργ' ἔχουσα εὖ λέγεις. Forsan τἄργα τελέσασ' εὖ λ. Probo tamen magis, quam fecit Dobræus, correctionem, τἄργ. ἔχουσ' εἶτ' εὖ λ., quamque recipere volui; at male mihi adverbium εἶτ' properanti excidit. Sed et priori versui subveniendum, quem spondæus fœdissime corrumpit. An legendum, M. γ. μᾶλλον ἐκ πασῶν δέ σε Ἥτις.... vel, ἐξ ἁπασῶν δὲ πλέον Σ' ἥτις...?

(1) B sine τά. Gregorius Naz. Or. XXII, pag. 403, 2: ποῦ τὰ ξίφη; ποῦ δεσμά; melius ποῦ τὰ δ. in codice 1538. Julianus Mis. p. 348: ἐγὼ δ' εἰπεῖν ὑπὲρ αὐτῶν, ὡς φιλόθεοι μάλιστα πάντων εἰσὶ καὶ δεξιοὶ πρὸς τοὺς ξένους· codex 2964 melius, δεξιοὶ τὰ πρὸς τ. ξ. Sic p. 345: πρὸς ἄνδρας οὐ τὰ πρὸς τοὺς ἄρχοντας μόνον, ἀλλὰ καὶ τὰ πρὸς τοὺς θεοὺς, ἐλευθέρους εἶναι θέλοντας. Isocrates ad Nic. 6: τὰ περὶ τοὺς θεοὺς ποίει μὲν ὡς οἱ πρόγονοι κατέδειξαν. Quem conf. et Areop. 11. Poterit articulus additus Dicæarchum juvare v. 72: Ἔπειτα Φωκεῖς ἐκ Λελέγων φερόμενοι· an ἐκ τῶν Λ.? In Stadiasmo maris magni, sic edito § 18, ἐπὶ δὲ τῆς γῆς δένδρον· ὅρμος ἐστὶ καὶ ὕδωρ

γίφ, εὖ οἶδα. Ἐμὲ δὲ εἰ μὲν ὄψει, φίλον πατρικὸν εὖ οἶσθ' ὅτι ὄψει· ἂν δέ τι διὰ γῆρας συμβῇ καὶ οὐ δυνήσομαι (1) σὲ ἰδεῖν, φίλον κἀ οὕτως ἴσθι πατρικὸν κἀ πάντα ἕτοιμον σῦ χάριν ποιεῖν. Πάντες γὰρ (2), ὅσοι τῆς ἑλληνικῆς ἀμυδρὸν γοῦν (3) ἐπαΐουσι φωνῆς, πάντες σοι χάριτας τὰς μεγίστας ὀφείλουσιν, ἀνδρὶ φρονίμῳ ὄντι καὶ περὶ τὰς πολεμικὰς πράξεις κάλλιστα ἐξησκημένῳ, καὶ τιμῶντι δι' ἀρετὴν οὐ σαυτὸν μόνον, ἀλλὰ κἀ τὸ δυστυχὲς τῶν Ἑλλήνων γένος. Περόσθες (4) δὴ τοῖς ἄλλοις σου καλοῖς καὶ τὴν εἰς Γεώργιον τὸν φίλον δικαίαν εὐεργεσίαν, ἵνα δὴ μὴ μόνον ἐν πολέμοις καὶ πολιτικαῖς πράξεσιν, ἀλλὰ καὶ ἐν ταῖς εἰς τοὺς φίλους εὐεργεσίαις, κάλλιστος ἀνδρῶν εἶναι δοκῇς.

Καὶ ὁ Θεὸς ποιήσαι τὴν μεγαλοπρέπειάν σου εὐδαίμονα.

Ἐν Λουδουνίᾳ (5), μουνυχιῶνος τείτῃ ἱσταμένου.

ἔχει ὑπὸ δένδρον· vir doctiss. legi suadet ὑπὸ τὸ δ., quum de eadem, inquit, agatur arbore. Ac me facile consentientem habebit. Conjeci tamen ego etiam: ὅπῃ δὲ τῆς γῆς δενδρών..... ὕδωρ ἔχει ὑπόδενδρον.

(1) A sic, δυνήσομαι. B, καὶ ὀδυνήσομαι.

(2) A, π. γάρ σι. Forsan πάντες γάρ σοι.

(3) B sine γοῦν. Ælianus Tact. præf. pag. 4: σαφηνείας γάρ ἕνεκεν διαβεβαιούμενος (conf. supra pag. 196) λέγω τοὺς ἐντυγχανόντας τῇδε τῇ συγγραφῇ ἔνθεν μᾶλλον ἢ παρὰ τῶν πρεσβυτέρων διδαχθήσεσθαι. Codex 2540, σαφ. γοῦν, quod malim: «perspicuitatis certe » quidem causa....»

(4) B, προσθεῖ.

(5) A, ἐν λουδονίᾳ. Data fuit epistola (Lugduni? Londini?) a. d. 3 martii mensis 1476.

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΤΟΛΗ

ΕΙΣ ΒΗΣΣΑΡΙΩΝΑ ΤΟΝ ΚΑΡΔΙΝΑΛΗΝ.*

Τολμηρῶς ἀναφέρω τῷ ὕψει τῆς σῆς θείας ὑπεροχῆς.

Εἰ τὸ μείζω (1) συγχωρεῖν ἁμαρτίας Θεῷ ἐστι, τὸ τοιαῦτά με καὶ τοσαῦτα ἡμαρτηκότα ἀναίδην ἀξιῶσαι συγγνώμης, Θεῷ παρεπλήσιον πάντως ἀφήσει τὸν ἀφιέντα. Δεινὰ μὲν ὂν τετόλμηκα καὶ πέρα δεινῶν (2), ἐξυβρίσας ὅτως ἀτόπως εἰς τὴν σὴν θείαν ὑπεροχήν· μεῖζον δέ σοι τὸ κλέος ἔσται τῆς ἐμῆς ἀβελτηρίας καὶ δεινῆς μανίας ὑπερισχύσαι. Φοβερὰ μέν σε ἡ παιδεία (3) αὕτη καὶ τῷ ὄντι φερτή, ἥ με τέλεον κατειργάσατο καὶ ἐξέτηξεν· ἐλάττω μέντοι πολλῷ τῆς ἐμῆς πονηρίας ἐστὶ καὶ ὕβρεως. Διαλάμπει γάρ σου τὸ φιλάνθρωπον καὶ ἐν τῇ παιδείᾳ σου ταύτῃ (4), ἣν ἐμαυτῷ περιξέσπασα σχέτλιος, βλασφημήσας οὕτως ἀσέμνως εἰς τὸν ἐμὸν θεῦ! εὐεργέτην καὶ πρέσβιν καὶ ἡγεμόνα, τὸ μέγα θαῦμα τῆς οἰκουμένης, παρ' οὗ πολλάκις πολλῶν δωρεῶν καὶ χαρίτων ἠξίωμαι δείλαιος ἐν τῇ φερτῇ τῆς ξενιτείας καὶ πενίας καμίνῳ, παλαιολοίας οἷόν τις ἄλλος ὁ τάλας ὀφθείς, καὶ ἀθυμίᾳ δεινῇ σκοτισθεὶς τὴν διάνοιαν, μᾶλλον δὲ δεινῇ μανίᾳ ἑαλωκώς,

* E codice 3043. De illo Gregorio nihil comperti habeo. Eumdem fere esse puto Gregorio monacho, qui Gemisto Plethoni oratione encomiastica parentavit : vide Allatium De Georg. p. 392; Biblioth. Gr. t. XI, p. 631.

(1) An εἰ τὸ πᾶς μ.?

(2) Conf. pag. 256, not. 5; pag. 429, 17.

(3) « Castigatio. »

(4) Codex, αὕτη.

ἢ τοὺς ἁλόντας ἀθλίως καθ' ἑαυτῶν τε καὶ τοῦ Θεοῦ πολλάκις ἐξέμηνε.

Τολμηρὸν μὲν δὴ τοιαῦτα τεθολμηκότα συγγνώμης δι' ἑαυτοῦ ἀξιωθῆναι αἰτεῖν· ἀλλὰ καὶ Θεῷ προσχρήσουσιν ἄνθρωποι· ἀλλὰ προσίεται φιλανθρώπως τὰς σφῶν αὐτῶν γνησίως κατεγνωκότας, ὅς γε καὶ ὑπὲρ ἀγνωμόνων καὶ ἀσεβῶν καὶ ἀνανθρωπήσαι καὶ τοιαῦτα καὶ τοσαῦτα ὑποστῆναι ἠνέσχετο, ἀρετῆς καὶ φιλοσοφίας ἁπάσης παράδειγμα ἑαυτὸν ἡμῖν καθιστάς. Εἰκὼν τοίνυν καὶ αὐτὸς ὑπάρχων Χριστοῦ καὶ οἰκονόμος μυστηρίων φρικτῶν καὶ θειότατος ἱεράρχης, μιμηθείης τὸν κοινὸν δεσπότην καὶ εὐεργέτην, ὃς τοῖς εἰς αὐτὸν ἁμαρτάνουσι καὶ τοὺς ἱεροὺς αὐτοῦ νόμους καὶ γνησίως μετανοοῦσι καὶ προσίεται (1) φιλανθρώπως καὶ δωρεῶν μεγίστων ἀξιοῖ. Δὸς οὖν ἡμῖν ἆσαι παλινῳδίαν· δὸς διὰ βίου ὑμνεῖν σου τὴν θεοείκελον ἐλεημοσύνην. Μὴ ἀποστυγήσῃς με τολμηρῶς προσιόντα σοι καὶ δάκρυσιν ἐξιλεούμενον τὴν σὴν φιλανθρωπίαν, ἣν παρώξυνα φεῦ! σὺν ἀφροσύνῃ πολλῇ, μᾶλλον δὲ ἀνοσιουργίᾳ καὶ δεινῇ βλασφημίᾳ· ὄψει γάρ με τὸν πρώην Σαῦλον, εἰ καὶ ὑπὲρ ἐμὲ τὸ ὑπόδειγμα, Παῦλον γενησόμενον (2) ἐξαπίνης, τὴν σὴν εὐεργεσίαν καὶ τὰ σεμνὰ τῷ ὄντι προσκτήματα ἃ σοι Θεὸς ἐδωρήσατο ****** (3) τῷ μὲν γὰρ λευγαλέῳ ἐκείνῳ καὶ κωμικῷ σχέματι (4) οὔτε τάξεώς τινος μετῆν ὁπωσοῦν, οὔτε κάλλους, οὔτε δυνάμεως, οὔτε λόγων περιβολῆς καὶ ἁλκῆς· εἰρωνεία

(1) Præ summo dolore syntaxim verborum προσίεται et ἀξιοῖ neglexit Gregorius.

(2) Id notum ex Actis Apost.

(3) Lacunæ signa inserui.

(4) Agitur de nescio quo famoso libello, quem in Bessarionem composuerat Gregorius dum fervebant, puto, inter duas ecclesias rixæ vehementissimæ.

δέ που τὸ πᾶν ἦν καί τις ἄτοπος καὶ διωλύγιος φλυαρία, ἀτόπως ἄγαν καὶ γελοίως ξυμβεβλημένη· ἐφ' ᾧ οὐδ' εἰς φῶς ἐξενήνοχα, οὐδ' ὤμην δεῖν ἐξαύσαι καὶ τοῖς φίλοις κοινώσασθαι, ἐξὸν ἐξεργάσασθαι καί τινος μεταδοῦναι καλοῦ· ἀλλ', ἀπορρίψας ὑπὸ τὴν κλίνην, διαρρῆξαι τῷ ὄντι διενοούμην, ἀτεχνῶς ἐμαυτῷ νεμεσῶν τῆς τόλμης καὶ τῆς ἀτόπου ἐπιχειρήσεως, ναὶ μὴν καὶ τοῖς αἰτίοις τοῦ τοσούτου καὶ τοιούτου δεινοῦ, ὧν αἰτιώτατος ἦν Γεώργιος ὁ Ἑρμητιανὸς (1), ὅς με καὶ μὴ ἀνεχόμενον μυριάκις παρέπεισε καὶ ἠρέθισεν ἐξυφῆναι. Τῆς δὲ σῆς εὐφημίας λόγων ἰδέαν καὶ τάξιν, ὡς οἷόν τε, ἐξευρήσω πεφοιτηκυῖαν, ἰασόμενον ὡς οἷόν τε, τὰ τραύματα εὐφυέστατα (2).

Στήσαις τοιγαροῦν, δέσποτα, δέσποτα, τὴν δικαίαν σου ταύτην ὀργὴν καὶ δίκην· εἰ γὰρ καὶ ἥττω τοῦ πεφοιτηκότος ἐξέτισα (3) δίκην, ἀλλὰ δεινὰ καὶ ἀφόρητα τάλας ὑπέστην, μᾶλλον δὲ πέρα δεινῶν ἐν Φλωρεντίᾳ, ἐν Μεθώνῃ (4), ἐν εἱρκτῇ, ἐν κλοιοῖς (5) δεινῶς πιέζουσι καὶ πονηλατοῦσιν. Καίτοι παρίημι τὴν

(1) Bessarion initio Epistolæ ad pædagogum filiorum Thomæ Palæologi: *ἐδιξάμην καὶ παρόπεφν καὶ νῦν διὰ τοῦ Ἑρμητιανοῦ γεγράμματα τῆς εὐγνεἰας σου.* Ibi silet Meursius.

(2) Voluit, puto, scribere, *τῇ δὲ σῇ εὐφημίᾳ. . . ἰασόμενος*, vel *ἰασομένων*. A quo verbo pendebit adverbium *εὐφυέστατα*.

(3) Codex, *ἐξέπασα*.

(4) Methone Pelopon., « parva Methone » dicta Valerio Flacco I, 388; hodie *Navarinum*. Vide supra t I, p. 427; coll. Nunnes. ad Vitam Aristot. p. 42. Ἰσέον, ait Eustathius, quem adduxi in notis ad Herod. p. 81, ὅτι καθὰ ἡ Θρᾳκικὴ Μεθώνη παρὰ τὸ μέθυ ἐρρέθη, οὕτω καὶ ἡ Λεσβικὴ Μήθυμνα· Μέθυμνα γὰρ διὰ τὸν Δίγυσον, καὶ, ἐκτάσει τῆς ἀρχούσης, Μήθυμνα. Est quidem syllaba brevis apud Choricium in Procop. § 6: *ῥᾴον ἄν τις διέλαθεν Ἀρίωνα τὸν Μηθυμναῖον ἢ τὸν Λέσβιον Τέρπανδρον ἐκμελῶς κιτῶν τὰς χορδάς, ἢπερ ἐκεῖνον ἀῤῥυθμόν ἢ φθεγξάμενος*· sed in codicibus duobus reperi Μηθ.

(5) Vide t. IV, p. 111, n. 2.

αἰσχύνην οὐδεμιᾶς ἐλάττον' οὖσαν ζημίας τοῖς γε νῦν ἔχουσι. Καὶ νῦν φεῦ! φονέων καὶ πεφθοτῶν οὐδοτιοῦν ὑφίσταμαι ἀνεκτότερα ἐν τῇ φευκτῇ εἱρκτῇ ταύτῃ καὶ τῷ φοβερῷ τῷδε τάφῳ καὶ ᾅδῃ κατορωρυγμένος, καὶ λιμῷ καὶ δυσωδίᾳ καὶ πάσῃ ταλαιπωρίᾳ καὶ κακοπαθείᾳ (1) παλαίων, καὶ ὑπὸ ἀπείρων φθειρῶν καὶ κόρεων τὰς πλευρὰς ὀρυττόμενος, κἀ σπανιώταλα γενόμενος (2) ὕπνου. Παρίημι σιωπῇ τῶν δημοκοίνων τουτωνὶ τὴν μανίαν, οἵ μου τὸ πλέον τοῦ αἵματος ἐκπεπώκασι· σοὶ γὰρ χαριζόμενοι πάντες ἀφειδέσταλά με ποινηλατοῦσιν, ἄλλος ἄλλην τινὰ ἰδέαν κολάσεων ἐξευρίσκων, κἀ ταύτην τὴν δίκην ἐκτίνων (3), καίτοι σιωπῶντα καὶ πράως φέροντα πάντα καὶ μήτε περὶ τῆς δεινῆς ταύτης δίκης μήτ' ἐν αὐτῇ καὶ τῶν σῶν μεμνημένον μήτε διεξιόντα τὰ σά. Εἰ δέ σοι ἄπιστον εἶναι δοκοίη, ἐντεῦθεν ἴσως ῥᾳδίως πεισθήσῃ. Τίς γὰρ οὕτως ἦν ἄφρων καὶ σχέτλιος, ὥστε μεμνῆσθαι καὶ διασύρειν τὰ σὰ παρὰ τοῖς αὐτὰ ἐν θαύμαλι ποιουμένοις καὶ τὸν μακαριώταλον μνημονεύουσι Πάπαν, ἡγεμόνων ὄντων Βενετικῶν (4), καὶ ταῦτα τῶν περὶ σὲ σπουδαζόντων. Εἰ δέ πού τι καὶ παρεφθεγξάμην ὑποτονθορίσας ἐν παρέργῳ ἐφ' οἷς ὑπέστην ἀχθόμενος, συγγνώμην λιπαρῶς, καὶ ταύτην δακρύοις ἅμα, αἰτῶ.

Εἰ δέ τις τολμήσειε περπετῶς καθιχέσθαι, ὡς δὴ

(1) Codex, κακοπαθίᾳ.
(2) An γινόμενος?
(3) An ἐκπίνων? « supplicium » illud augens. »
(4) Codex, βενετίκων, et sic alicubi circa accentus peccavit librarius. Utilius ex historia locum illustrarem; sed nihil habeo quod notem, nisi legatum Pii II Venetiis egisse Bessarionem, et tunc sibi magnatum procul dubio amicitiam conciliavisse.

μεμψαμένῳ (1) τολμηρῶς τῇ ἐκκλησίᾳ Λατίνων, ἀϊδίους δίκας τίσει Θεῷ καὶ τῇ ἱερᾷ ἀληθείᾳ, σχέτλιος συκοφάντης ἐξελεγχθεὶς καὶ σόῤῥω Θεοῦ. Οὔτε γὰρ ἐν συνουσίαις, οὔτε ἐν σκήμμασιν (2), οὐδὲ πώποτέ τι τοιοῦτον ἐτόλμησα· οὐμενοῦν· μὴ τοσοῦτον μανείην, μηδὲ τοσοῦτον ἰσχύσειαν καθ' ἡμῶν οἱ τῆς ἡμετέρας σωληείας πολέμιοι. Τὸν μὲν οὖν ἐπήνεσα, καὶ νῦν οὐκ ἤτλον ἐπαινῶ καὶ ὑμνῶ καὶ διὰ τιμῆς ἄγω. Ἕλλησι μέντοι τοῖς τῇ πατρίῳ ἐκκλησίᾳ θρησκέως ἐπιτιμῶσι καὶ ἀφειδῶς ἐξυβρίζουσιν (3) οὐκ οἷός τέ εἰμι σπένδεσθαι, καὶ τοὺς αἰτίους τοῦ τοσούτου σκανδάλου ἐπαρᾶτας ἡγοῦμαι καὶ ἀποφράδας (4). Ἐπὶ τούτοις, ὁ βουλόμενός μοι νεμεσᾶν καὶ εὐθύνειν, νεμεσάτω καὶ εὐθυνέτω.

Οὐ μὴν ἀλλ' οὐδ' ἐν Φλωρεντίᾳ δίκην, τῆς σῆς οἰκείας ἐξελαθεὶς, ἐπὶ τῷ τὰ σὰ διασύρειν. Πῶς γὰρ ἐτόλμησε τοῦτο, ὁ διὰ σὲ, καὶ τῇ τῶν σῶν γραμμάτων δυνάμει ἃ (5) ὑπὲρ ἐμοῦ τοῖς ἐκεῖ ἠξίωσας πέμψαι, τιμώμενος καὶ θεραπείας τινὸς ἀξιούμενος, καὶ τὸν αὐτὸν νῦν μὲν ἐπαινεῖν, νῦν δὲ μέμφεσθαι τολμηρῶς, οἷόν τις ἑαυτοῦ ἐπιλελησμένος. Ἀλλὰ, χειμῶνος ὄντος, οὐκ ἔξην ἀπέναι· καὶ ἅμα μοι πρόῤῥησις ἦν πραγματείαν τινὰ φιλόσοφον διακοῦσαι ἣν ἐνεσπασάμην ἀκοῦσαι. Ἀλλ' οὐδ', ὅτι με οὐκ ἠξίους μεγάλων, ἠνιώμην τῷ ὄντι· ἴσως γὰρ ἄξιος οὐκ ἦν, οὐδ' ἤδειν θεραπεύειν σε, ἀφελέσθερον διακείμενος· ἀλλ' ὅτι, τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα ἀφαιρεθεὶς, καὶ τῆς οἰκίας

(1) Melius foret μεμψαμένου.
(2) Sic codex. An σκέμμασιν? « in opusculis. » Cf. p. 428, 24.
(3) Codex, ἐξυβρίζοντες.
(4) Vid. not. ad Marin. p. 106.
(5) Inserui ἅ.

ἐκπέπτωκα, οἷόν τις κακοῦργος ἐξελαθείς. Κἀντεῦθεν συνέπεσε καὶ τῆς εὐδαίμονός μοι σχολῆς ἐκπεσεῖν τῶν λόγων, ὑπὲρ ὧν πάντα ῥᾳδίως ἔφερον. Τοῦτο μέντοι τῷ ὄντι ἐξέμηνε· τοῦτο τοὺς σωφρονεστέρους τῶν λογισμῶν ἐξήλασεν (1), μονονουχὶ παραφρονῆσαι συνήλασε.

Ἀλλὰ τί δεῖ ταῦτα διεξιέναι τολμᾷν καὶ δι' ὄχλου σοι τολμηρῶς γίνεσθαι; Ἡμάρτηκα εἰς τὸν οὐρανὸν καὶ ἐνώπιον σοῦ (2)· ἡμάρτηκα ὑπὲρ πάντας τοὺς προσκεκρουκότας Θεῷ. Ἐμαυτῷ μέμφομαι τῆς τοσαύτης παραπληξίας, οὐ μόνον τῷ δεσπότῃ τῷ θειοτάτῳ, ἀλλ' ἤδη καὶ Θεῷ προσκροῦσαι περιφανῶς λογιζόμενος, πρὸς αὐτῷ ἀνόσια τετολμηκὼς καὶ παράνομα, δείλαιος. Ἀλλὰ τί (3) πάθω, τάλας; ἥττημαι λύπῃ τυραννηθείς· ἐξήχθην ἀθυμίᾳ ἐσχάτῃ, οὐκ ἐνεγκὼν τὴν ὕβριν, καὶ τῆς φιλοσοφίας τὴν στέρησιν, ἧς ἔδει μάλα αὐτίκα ἀποσπασθῆναί με τὸν κακοδαίμονα καὶ ἐλεεινῶς ἐκπεσεῖν.

Ἀλλὰ, πρὸς τῆς σῆς φιλανθρωπίας καὶ θεοειδοῦς ἀρετῆς, φεῖσαί μου τοῦ ἐλεεινοῦ καὶ δειλαίου· συγγνοίης ἀχθομένῳ καὶ δεινῶς ἀλγοῦντι ἐφ' οἷς πεπαρῴνηκα· συγγνοίης μεταμελουμένῳ ἐφ' οἷς ἡμάρτηκα, ἐξυβρίσας ἀνοσίως καὶ τολμηρῶς εἰς τὴν σὴν λαμπρὰν καὶ θείαν ὑπεροχήν· συγγνοίης δεινῇ ἑαλωκότι μανίᾳ καὶ δεινῶς σκοτισθέντι τὸν νοῦν· συγγνοίης τῷ ἀναξίῳ συγγνώμης καὶ κολάσεως ἁπάσης ἀξίῳ. Σοὶ πρόσειμι νῦν (4) δεδιώς τε καὶ τρέμων, τῆς ἐμῆς

(1) Codex, ἐξέλασεν.

(2) Verba sunt filii illius prodigi: πάτερ, ἥμαρτον εἰς οὐρ....

(3) Codex, ἀλλά τε.

(4) Codex, σοὶ προσειμένον. Sic p. 433, 6, σοὶ πρόσειμι.

ἀβελτηρίας καὶ δεινῆς μανίας συνησθημένος, γυμνὸς, Ἰερὸς (1), κατηφὴς, ἐκτετηκὼς δάκρυσι, τὴν σὴν φιλανθρωπίαν καὶ ἐλεημοσύνην ἀνακαλούμενος καὶ τὴν σὴν εὐσπλαγχνίαν ἐπιβοώμενος, καὶ περικαλινδούμενος τῶν ἱερῶν σου ποδῶν, καὶ οὐ τολμῶν (2) ἀτενίσαι τῷ ὕψει σου· σοὶ πρόσειμι, ὡς ὁ τελώνης ἐκεῖνος Θεῷ (3), στερημένος τὼ χεῖρε καὶ τῇ κεφαλῇ χερῶς τοὔδαφος τύπτων καὶ τοῖς δάκρυσι ῥαίνων. Εἰ γὰρ καὶ πέρα συγγνώμης ἥμαρτηκα, ἀλλὰ θαῤῥῶ εἰς τὸ πελὸν τῆς σῆς φιλανθρωπίας καὶ ὡς οὐ νικήσει ἡ ἐμὴ πονηρία τὸ πελὸν σοῦ τῆς θεοειδοῦς καὶ ἀγγελικῆς ἀρετῆς. Πάρες, δέσποτα θεοείκελε καὶ μειλίχιε, τὴν ἀφροσύνην τῶν σῶν οἰκείων, τῷ πελόντι τῆς σῆς φιλανθρωπίας ταύτην ἐξαφανίζων, τὸν κοινὸν μιμησάμενος δεσπότην, ὃς, τοῖς γνησίως μετανοοῦσιν ἄφεσιν πλημμελημάτων δωρούμενος, χαρίτων ὑπερφυῶν καὶ δωρεῶν ἀξιοῖ. Ἀλλά μοι εἰπὲ, τῶν πεζόνων με ἀπαλλαγέντι δεινῶν, τῆς σῆς ἐφετῆς αὖθις εὐμενείας καὶ ἐλεημοσύνης ἀξιωθῆναι, ὡς ἄν σου διὰ βίου ἀνυμνῶ καὶ κηρύττω τὴν τοσαύτην μακροθυμίαν καὶ χάριν, ἣ μου τοιαῦτα ἡμαρτηκότος καὶ ἐφείσατο (4) φιλανθρώπως, δέον καθεργάσασθαι καὶ τελέως ἐξαφανίσαι, καὶ ἐλέους ἠξίωσε· ἧς μοι γένοιτο, Σῶτερ, ἀξιωθῆναι τῇ σῇ οὐρανίῳ εὐεργεσίᾳ καὶ χάριτι.

Ὁ ἐλάχιστος δοῦλος τῆς αὐθεντίας σου Γρηγόριος

(1) Redit in memoriam epigramma de Epicteto : Δοῦλος Ἐπίκτητος γενόμην, ... Καὶ πενίην Ἰερός.

(2) Codex, τολμῶντος.

(3) Luc. XVIII, 13 : καὶ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ' ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ, λέγων· ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

(4) Codex, ἔφεισά π.

ὁ ἐλεεινὸς ἐκ (1) σκότους καὶ εἱρκτῆς, μᾶλλον δὲ κοιλίας ᾅδου (2) τολμηρῶς ἀναφέρει.

(1) Codex, ἐν. Sæpe ἐκ et ἐν sunt confusa. Maximus Tyr. Diss. XXVIII, 1, de Ulysse : νηχόμενος ὑποβαλλούσης αὐτῷ κρήδεμνον τῆς Λευκοθέας, ἐμπεσὼν εἰς τὴν Φαιάκων γῆν. Codex 1962, ἐκπεσὼν, melius. Gregorius Naz. Or. XXII, p. 403 : φείδη δὲ, προσδοκᾷς τι τυχὼν καὶ τῶν ἐναντίων· πάλιν καὶ πολλάκις ἐροῦμεν τὸν αὐτὸν λόγον· οὐ μιαροφαγήσομεν, οὐκ ἐκδώσομεν. Verba sunt Maccabæorum ad tyrannum. Codex 1538, melius ἐνδώσομεν. Habet etiam φειδοῖ δὲ προσδοκᾷς καὶ τῶν ἐν. Recipiendum φειδοῖ, et pro τυχὼν scribam τυχόν : « clementia autem speras » fortasse contrarii aliquid a nobis » dictum iri. » Porphyrius De abstin. I, § 9, p. 13 : ὅπως μηδεμίαν ἐνδῶσι πρόφασιν· sic, non ἐκδῶσι, codex 2083. Joan. Chrys. Select. p. 28 : αἱ φιλοσώματοι ψυχαὶ καὶ τοῖς βιωτικοῖς ἡδέως ἐκκαλινδούμεναι· malim ἐγκαλ. Sic p. 34 : ὗς ἐν ἀμάρᾳ καὶ βορβόρῳ ἐγκαλινδουμένη.

(2) Sirach. LI, 3 : ἐλυτρώσω με ..... ἐκ βάθους κοιλίας ᾅδου.

ΓΡΗΓΟΡΙΟΥ

ΛΟΓΟΣ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ ΑΓΙΩΤΑΤΟΝ ΠΑΤΡΙΑΡΧΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΟΛΕΩΣ

ΚΑΙ ΚΑΡΔΙΝΑΛΗΝ ΝΙΚΑΙΑΣ

ΒΗΣΣΑΡΙΩΝΑ

ΛΟΓΙΩΤΑΤΟΝ ΚΑΙ ΣΟΦΩΤΑΤΟΝ.*

Ἐπανῆκεν ἡμῖν ἐκ τῆς πρεσβείας ὁ θειότατος ἡμῶν ἡγεμών (1)· ἐπανῆκε τὸ κοινὸν ἀγαθόν· ἐπανῆκεν ὁ κοινὸς εὐεργέτης, ἡ φιλοτιμία τῆς φύσεως, τὸ τῶν χαρίτων τέμενος (2), ὁ τῶν ἀρετῶν ὁρμαθὸς (3), τὸ μέγα θαῦμα τῆς οἰκουμένης (4), οὐ χρυσῷ στεφάνῳ κεκοσμημένος ἢ κοτίνῳ ἢ σελίνῳ ἢ καλάμῳ λευκῷ, οἷς οἱ ἑλλανοδίκαι εἰώθασι στεφανοῦν τοὺς ἐν Ὀλυμπίοις νενικηκότας (5), ἀλλ' ἱδρῶσι καὶ κατορθώμασιν (6), οὓς

* Promiserat supra p. 429, 11, Gregorius se Bessarionis in laudem orationem scripturum esse, quam nunc e codice 3043 profero.

(1) Bessario scilicet, legatione peracta redux.

(2) Meminit Platonis epigrammatis: Αἱ Χάριτες τέμενός τι λαβεῖν, ὅπερ οὐχὶ πεσεῖται, Ζητοῦσαι, ψυχὴν εὗρον Ἀριστοφάνους. Cujus meminisse videtur et Racinius versibus non optimis: « Les Vertus, » qui dès-lors suivirent leur exemple, Virent avec plaisir Que » le cœur de Louis étoit le plus » beau temple Qu'elles pussent » choisir. »

(3) Conf. p. 163, n. 8.

(4) Sic jam pag. 427, 18.

(5) Id non satis accurate dictum. Oleastro enim qui ludis vicerant olympicis coronabantur, apio qui nemæis; arundine alba juvenes Athenis.

(6) Melius transposuisset κατορθώμασι καὶ ἱδρῶσι, propter οὓς, ac præsertim propter sequens

ὑπὲρ τῶν εὐσεβούντων γενναίως ἀνέτλη, μᾶλλον δὲ κλεΐ καὶ εὐφημίαις, τῆς οἰκουμένης δήκουσι καὶ κλέος οὐρανόμηκες (1) περξενῦσι. Δορυφορεῖσι δέ γε αὐτὸν καὶ λαμπρῶς ὑποδέχονται οὐχ οἱ ἐπιτυχόντες μόνον καὶ ὁ πολὺς (2), ἀλλὰ καὶ οἱ τῶν πόλεων ἡγεμόνες, οἷς διὰ σπουδῆς ἐστι μάλιστα τὰ τοιαῦτα· καὶ προθύμως ἀναπεταννύντες τὰς πύλας, τὸν κοινὸν ἀσμένως ὑποδέχονται εὐεργέτην, ὕμνοις καὶ εὐφημίαις αὐτὸν κυδαίνοντες καὶ ἰσοθέοις τιμαῖς τιμῶντες. Τοῖς μὲν γὰρ ἄλλοις ἱκανὸν εἶναι δοκεῖ, εἰ τὰ σφέτερα εὖ ἔχοι καὶ ἄρειστα διοικοῖτο, τῆς δέ γε τοῦ κοινοῦ εὐπραξίας καὶ βελτιώσεως οὐ πάνυ τοι (3) μέλει σμικρὰ διανοουμένοις καὶ ταπεινά· τῷ δὲ δὴ κοινῷ ἡμῶν εὐεργέτῃ καὶ προμηθεῖ τοῦ μὲν καθέκαστα καὶ ἰδίου οὐ πάνυ τοι μέλει, τοῦ δὲ κοινοῦ καὶ καθόλου διαφερόντως μεμέληκεν, ᾧ τοῦ καθόλου χάριν τό τε καθέκαστον γίνεταί που καὶ σώζεται, καὶ τοῦ εἶναι καὶ τοῦ εὖ εἶναι μεταλαγχάνει, ἐφ' ὅσον τοιούτῳ ὄντι αὐτῷ προσήκει. Νῦν δ' ἄλλην τινὰ πρεσβείαν τῶν ὑπερφιάλων (4) αἱρεῖται ἢ ἐξώρῳ καὶ ταῦτα σώματι καὶ ποικίλοις

ἀπέπλη, quod καπορθώμασι vix proprie jungetur.

(1) Dixit κλέος οὐρανόμηκες ex veterum imitatione; sed κλέος post κλεΐ non exspectabatur.

(2) Loquutio est notissima. Eumathius Hysmen. x, p. 398: τί μάτην ὁ πολὺς ἄνθρωπος ὅτι τὸ τοῦ Δαφνίου συντρέχεις βωμόν; καταδυσωπῆς τὸν ἐκπόλον χρησμοδοπῆν; codex 2897, τί καταδ., recte.

(3) Formula vulgari πάνυ τι, vel melius πάνυ π, forsan Menandrum emendabo, sic vitiose editum Fr. inc. 70: Ἆρ' ἔστι ἀγαθῶν παμπλείστων αἰτία Ἡ σύνεσις, ἂν ᾖ πρὸς τὰ βελτίω σοφή. Correctio Grotii παυλαπλείστων in Stobæum Oxoniensem tit. 3, 7, non erat, puto, recipienda. Propono πάνυ π πλείστων.

(4) Legatio indicari videtur qua functus est apud Fridericum imperatorem, ni serior innuatur legatio quam apud Ludovicum XI Galliarum regem obivit. Conf. p. 447, 19.

κατειργασμένῳ νοσήμασι (1), οὐχ ὅπως ἐντεῦθεν βέλτιον τὰ καθ' ἑαυτὸν σχοίη (2). Τίνος γὰρ αὐτῷ ἐπιδεῖ (3), οὕτως αὐταρκεστάτῳ ὄντι, καὶ τῶν ἀνθρωπίνων ὑπερορῶντι, καὶ τῆς ὑλικῆς ὑπεραναβεβηκότι

(1) Bessario, supra p. 388, φαρμακευόμενον se excusat scribendi labore. Vide et p. 448, 25.

(2) Codex, χοίη. Eodem mendo ἀχημοσύνης relictum est in præstantissimis editionibus Hesiodi scholiastarum, hocce scilicet Procli loco ad Ἔ. 725 : ἐπειδὴ δὲ ἐν νυξὶν εἴωθε τὰ τοιαῦτα καταφρονεῖσθαι πολλοῖς καὶ τὸ ἀπογυμνοῦσθαι δοκεῖ τισιν ἐν ταύταις μὴ ἄξιον εἶναι μάρτυρα τῆς ἀσχημοσύνης· quod non est valde perspicuum : forsan... πολλοῖς, καὶ τοῦ ἀπογ., sic instituenda syntaxi : καὶ δοκεῖ τισιν μὴ εἶναι ἐν τ. ἄξιον μάρτυρα τῆς ἀσχ. τοῦ ἀπογ. Apud Porphyrium De abstin. p. 16, ἀπέχοντο, pro ἀπέσχοντο, oculos editoris fugit, in hac sententia : διαμνημονεύοντες δέ τινες τῶν τότε χαριεστάτων, ὡς αὐτοῦ τε ἀπέσχοντο τοῦ κτείνειν διὰ τὸ χρήσιμον πρὸς τὴν σωτηρίαν. Ibi, non variante tamen codice 2083, pro ὡς αὐτοῦ legerim ὡσαύτως.

(3) Forsan ἔτι δεῖ. Quæ mutatio sæpe facta fuit. Sed verbo ἐπιδεῖν non raro utitur. Necessariam magis opinor visum iri in hoc Procopii loco Epist. 42 Maii : γυναῖκα θρηνεῖς.... τὸ δὲ δεινότατον παίδων μητέρα, καὶ τούτων ἐπιδεομένων μητρός· conjeci ἔτι δεομ. Anonymus Progymn. t. I, p. 600, ed. Walz. : ἕνα δ' αὐτῶν ἁπαλὸν πάνυ καὶ πολεμικῶν ἔργων δι' ἡλικίαν ἄγευστον ἐπιτυγχάνοντα· an ἐπιτυγχάν.? Vita Euripidis nuper a Rossignolio edita in Diario erudit. a. 1832, p. 243 : ἐτελεύτησε δὲ τὸν τρόπον τοῦτον· ἐν τῇ Μακεδονίᾳ κώμη ἐστὶ καλουμένη Θρᾷκις.... ὅθεν καὶ ἡ παροιμία ἐπὶ παρὰ τοῖς Μακεδόσι, Κυνὸς δίκη. Conjecit editor doct. vel ἐπὶ delendum, vel ἔτι corrigendum : hoc illo melius. Nollem scripsisset Θρᾷκις pro codicis scriptura Θρᾴκων, quæ forsan θρᾳκῶν est, quamque reperit et Erasmus totam hanc particulam latine vertens in adagio « Canis vindictam ». Erit igitur κώμη Θρᾳκῶν « vicus qui Thracum dicitur », verbis Erasmi; vel Θρᾴκων aut Θρᾳκὼν, vicus dictus Thracon. Est tamen Θρᾷκις in alia Vita a me edita t. I Eurip. p. 12. Insunt illi Vitæ, quam Rossignolii industriæ debemus, Aristophanis et Euripidis versus, quos repetam, Anecdota hæc mea ornaturus : λέγει οὖν ὁ Ἀριστοφάνης· « Κηφισοφῶν ἄριστε καὶ μελάντατε, Σὺ δὲ ξυνέζης εἰς τὰ πολλ' Εὐριπίδου (an Εὐριπίδῃ?), Καὶ ξυνεπόεις, ὥς φασι, τὴν μελῳδίαν. » ..... Ἐν γοῦν τῇ Μελανίππῃ περὶ αὐτῶν τάδε φησί (τῶν γυναικῶν Εὐριπίδης)· « Μάτην ἄρ' εἰς γυναῖκας ἐξ ἀνδρῶν ψόγος Ψάλλει κενὸν τόξευμα καὶ κακῶς λέγει· Αἱ δ' εἰσ' ἀμείνους ἀρσένων, ἐγὼ λέγω. »

ἤδη δυάδος (1) καὶ τῶν τῆς ὕλης καὶ δόξης καὶ (2) ἡδονῶν, οἷς σχεδὸν ἁπαξάπαντες κατακηλούμενοι παραμένουσι, μόνην εὐδαιμονίαν τὴν τούτων ἀπόλαυσιν καὶ μακαριότητα λογιζόμενοι· ἀλλ' ἰδίοις ἱδρῶσι καὶ πόνοις εὐμάρειαν βίου ἐμποιοῦντι (3) τοῖς ἄλλοις καὶ περιουσίαν τῶν ἀνθρωπίνων καλῶν;

Ταῦτά τοι κοινὴν ἔδει πάντας αὐτῷ καὶ μάλα ἐν δίκῃ εὐφημίαν προσάγειν καὶ χάριτας προθύμως ὁμολογεῖν, καὶ ᾠδὰς ξυντιθέναι καὶ ὕμνους ὡς οἷόν τε αὐτῷ προσήκοντας, καὶ Θεῷ ἐξεπίτηδες θύειν, τῆς γε βιοτῆς αὐτοῦ εἵνεκα, καὶ τῆς ἐσχάτης δόξης καὶ θείας ὑπεροχῆς, ἧς ἤδη πολλάκις βασκανίᾳ ἐνίων διήμαρτεν, ὡς ἂν ἡμῖν ἐπὶ πλεῖστον διαβιώῃ (4) ὁ τοιοῦτος εὐεργέτης καὶ κηδεμὼν καὶ τῆς οἰκουμένης μέγιστος ἥλιος, ἐπείπερ ἄλλως αὐτὸν ἀτεχνῶς ὧν πᾶσιν ὑπῆρξε χαρίτων καὶ ὁσημέραι ὑπάρχει (5) ἐλευθερίως οὐχ οἷόν τε ἀμείβεσθαι. Καί με μηδεὶς οἰέσθω αὐτὸν οὕτως ἐπὶ ταῖς κοιναῖς εὐεργεσίαις ἐξαίροντα τοῦ μερικοῦ καὶ καθέκαστα ὠλιγωρηκέναι, ὑπεροψίᾳ καὶ αναλγησίᾳ ἐνισχημένον (6) τινί· οὔτε γάρ τις ψάμμον θαλάττης, οὔτ' ἄστρα οὐρανοῦ, οὔτε τὰς πρὸς τοὺς καθ-

(1) Id dictum est in tali oratione paulo eruditius e doctrina Pythagoræorum de numeris. Aiebant enim, teste Sexto Emp. x, § 277, in principiis τὸν μὲν τοῦ δρῶντος αἰτίου λόγον ἐπέχειν τὴν μονάδα, τὸν δὲ τῆς πασχούσης ὕλης τὴν δυάδα. Stobæus Ecl. tom. I, p. 58, refert Pythagoram statuisse τῶν ἀρχῶν τὴν μὲν μονάδα θεὸν καὶ τἀγαθὸν, τὴν δὲ ἀόριστον δυάδα δαίμονα καὶ τὸ κακὸν, περὶ ἣν ἐστι τὸ ὑλικὸν πλῆθος : ubi Heeren. videndus.

(2) Forsan delendum καί.

(3) Codex, ἐμποιοῦντα.

(4) Codex, διαβόωη.

(5) Videtur deesse αἴτιος. Sed cf. mox p. 439, 3, 12. Bessario etiam sic est loquutus Epist. ad Apost. in Hist. Acad. Inscr. t. III, p. 282 : οὔτε γὰρ Ἀριστοτέλης οἷος τοσούτων ἡμῖν ἀγαθῶν ὑπάρξας.

(6) Codex, ἐνησχημένον.

ἑκάστου εὐεργεσίας αὐτοῦ ἐξαριθμῆσαι δυνήσεται (1)· διὸ πολλοὶ ἐμποδοῦσι τὸν λόγον σχεδὸν ἅπαξ ἅπαντες Ἰταλοὶ, εὐφημοῦντες ὅσων καὶ οἵων ὑπῆρξε σοφίσι χαρίτων καὶ δωρεῶν κοινῇ τε καὶ ἰδίᾳ ἑκάστῳ, τῆς αὐτοῦ πολλάκις δεηθεῖσιν ἐπικουρίας καὶ ὠφελείας· ὧν τοὺς μὲν ἐκ πενήτων λαμπρους εἰργάσατο, τοὺς δ' ἀμαθείᾳ ἐνισχημένους ἐσχάτῃ λοιμοὺς ἀνεδέδειχε καὶ σοφοὺς διδαξάμενος· ἔστι δ' οὓς καὶ κινδυνεύοντας ἀπολέσθαι, ναὶ μὴν καὶ τὰ οἰκεῖα ἀδίκως ἀφαιρεθῆναι, τῶν ἐσχάτων κινδύνων καὶ τῆς δεινῆς πενίας ἐξήρπασε. Οὐ μὴν ἀλλὰ κ' Ἕλληνες ἀνυμνοῦσιν ἑκάστοτε πειράδοντες ὅσων καὶ οἵων πολλάκις σοφίσιν ὑπῆρξε χαρίτων, τῆς δεινῆς κατελεήσας σφᾶς συμφορᾶς κ' τῆς ἀνυποίστου δυστυχίας (εἰ μή τις πονηρᾶς καὶ ἀγνώμονος εἴη προαιρέσεως, φύσεως λαχὼν δυσκόλου καὶ μεμψιμοίρου), τοσαῦτα καὶ τοιαῦτα ὁσημέραι εὐεργετῶν κ' τὰ οἰκεῖα φιλανθρώπως πηάζων. Πῶς δ' ἂν τις σιωπῇ παριεὶς τὰς πρὸς τοὺς τῶν Ἑλλήνων ἡγεμόνας εὐεργεσίας αὐτοῦ, ἐλεεινῶς τῆς πατρῴας ἐκπεπλωκότας εὐδαιμονίας, μὴ οὐχὶ ἄτοπος εἶναι δόξειε, ὧν πατὴρ ὤφθη καὶ προμηθεὺς καὶ εὐεργέτης (2);

Καί τοι, εἰ τὸν Θεὸν τῆς εὐποιΐας ἄνθρωποι θαυμάζουσι μάλιστα (ἐπὶ τούτῳ γὰρ οὐχ ἥκιστα πάντες αὐτὸν ἀνυμνοῦσι καὶ διαφερόντως θαυμάζουσι, δωτῆρα ἐάων (3) ἀνακαλοῦντες), ὅτοσι δὲ ἐν τούτῳ πάντας παρῆλασε τοὺς ἐφ' ἑαυτοῦ, πῶς οὐχὶ πάν-

(1) Pindar. Olymp. II, 178 : ἐπὶ ψάμμος ἀριθμὸν περιπέφευγεν, τίς ἐκεῖνος ὅσα χάρματ' ἄλλοις ἔθηκεν, τίς ἂν φράσαι δύναιτο;

(2) Codex, προμηθεὺς εὐεργέτης. Eadem nomina junxit p. 436, 13. Conf. p. 237, 17.

(3) Homerea et Hesiodea dictio.

των θειότερος ἀναδέδειχται τῇ τῆς θείας εὐποιΐας μιμήσει, ὃ δὴ μόνον κοινὸν ἔργον ἴσχουσιν ἄνθρωπος καὶ Θεὸς (1), καὶ δι' οὗ τις αὐτῷ συναφθῆναι οἷός τε (2), οἰκειωθεὶς (3) τῷ Θεῷ καὶ συναφθεὶς εὐδαιμόνως, ὡς ἐφικτὸν ἀνθρώπῳ Θεῷ συνάπτεσθαι τῷ ἄκρως ἀγαθῷ καὶ ὑψίστῳ; Εἰ δὲ δὴ καὶ μέγιστον τῶν ἀγαθῶν ἡ ἀγάπη, ἣ τὰ θεῖα διϊσχυρίζεται λόγια καὶ ὁ θειότατος Ἰησοῦ νόμος (4), ταύτης δήπου ἡ εὐποιΐα κρατοῦσα, ἣν δὴ μάλιστα κοινὸν ἔργον ἴσχουσιν ἄνθρωποι καὶ Θεός, ᾧ περίεστι τῆς ἀγάπης ἡ ἔρωτος, μᾶλλον δ' αὐταγάπη (5) καὶ ἔρως ἐστίν, ἣ διαῤῥήδην αὐτὸς ἀποφαίνεται. Ναὶ μὴν καὶ τῆς ἀῤῥήτου φιλανθρωπίας ἐκείνης ἣ συνέχεται τὰ ἡμέτερα, πῶς οὐχ ὁ ταύτην κατωρθωκὼς οὐχὶ κἀκείνης μετείληφε, τῇ δράσει τῆς εὐποιΐας τῆς θείας ἀγάπης μετεσχηκὼς καὶ δι' αὐτῆς οἰκειωθεὶς τῷ θεῷ καὶ συναφθεὶς εὐδαιμόνως, ὃ δὴ πέρας τῆς ἀνθρωπίνης εὐδαιμονίας νενόμισται;

Εὐδαίμων τοίνυν αὐτὸς τυγχάνεις καὶ μακάριος, θειότατε δέσποτα, τηλικαύτης εὐδαιμονίας μακαρίως ἀξιωθεὶς καὶ τοῦ πᾶσιν ὀρεκτοῦ τέλους τῆς ἀγάπης

(1) Pythagoræi, apud Anonymum De vita Pythag. p. 57, hominem se ipso meliorem fieri dicebant. . . . ἐν τῷ τὺ ποιεῖν· θεῦ γὰρ τοῦτο καὶ θείας μιμήσεως. Aristoteles Epist. 3 : οἱ πολλοὶ τῶν φιλοσόφων τὴν εὐεργεσίαν θεῷ ἰσότιμον παρεσκεύασαν· codices 2551, 3054, ἰσόμοιον. Gregorius Naz. tom. II, p. 186 : Εὐεργετῶν νόμιζε μιμεῖσθαι θεόν· quem versum sibi pro lemmate sumsit Niceph. Basilacas Progymn. p. 442. Adde t. IV, pag. 333, not. 3; coll. Baylio in *Périclès*, n. K.

(2) Codex, οἷόν π. Id si servabitur, πρὸ erit scribendum.

(3) Codex, ὠκειωθείς, et sic mox.

(4) Vid. Matth. XXII, 39, 40; Epist. ad Gal. v, 14; et Epist. II ad Cor. XIII, 13 : νυνὶ δὲ μένει πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.

(5) I Joann. IV, 8 : ὁ Θεὸς ἀγάπη ἐστίν.

μετεσχηκώς, ἣν δὴ χορωνίδα τῶν ἀρετῶν κεφάλαιόν τε καὶ τέλος οἱ δεινοὶ περὶ τὰ τοιαῦτα, ὡς οἶσθα, διϊσχυρίζονται.

Ἀλλὰ γὰρ ἔλαθον ἐμαυτὸν μικρὸν ἐναλλάξας τὴν τῶν ἀρετῶν τάξιν, ἧς χρεὼν ἀντέχεσθαι πανταχῇ οἷς τι μέτεστιν ἐπιστήμης, καὶ λόγων ἐλευθερίων καὶὰ τρόπον ἡμμένοις. Οὐ μέντοι παρὰ τοῦτο ζημία τις ἔσται, ἀλλ' οὐδὲ φύρσις γε ὁπωσοῦν ἐς τὴν τῷ λόγῳ προκειμένην ὑπόθεσιν. Αὐτίκα γὰρ μάλα ὁ λόγος ἀνθέξεται τοῦ προσήκοντος καὶ τὰ οἰκεῖα, σὺν Θεῷ, ὡς οἷόν τε ἀνύσει προϊὼν ἑφεξῆς, καὶ τὴν εὐφημίαν ὡς οἷόν τε διὰ βραχέων ἀνύων, τὸ μῆκος ἐπὶ τῶν καιρῶν ἀναθέμενος. Οὐκοῦν ἰτέον μοι πρόσω καὶ τοῖς εἰρημένοις τὰ ἑφεξῆς συναπτέον.

Ἆρ' οὖν οὕτως (1) μὲν ἀγάπης καὶ εὐποιΐας ὁ θειότατος ἡμῶν ἔχει δεσπότης, φρονήσεως δὲ αὐτῷ ὁπωσοῦν ἐπιδεῖ, ἢ δικαιοσύνης ἢ ἀνδρίας, ἢ τῶν λοιπῶν ἀρετῶν; ἢ μετεῖληφε μὲν αὐτῶν, ἀμυδρῶς δὲ καὶ ἐπιπολαίως μετέσχηκεν, τῆς αὐτῶν ἀπολειφθεὶς ἕξεως; πόθεν; ὅς γε οὕτω μὲν φρονήσεως τέτευχε θείᾳ κοσμηθεὶς μοίρᾳ, ἐμπειρίᾳ δὲ ταύτην καὶ παιδείᾳ παντοίᾳ ἐξήσκησε, ναὶ μὴν καὶ πολιτικῇ ἐπιστήμῃ καὶ θεωρίᾳ, ὡς πάντας ἐπ' αὐτῷ ἐκπλήττεσθαι καὶ θαυμάζειν ὡς ἐπὶ θαυμασίῳ ἀνδρὶ τοὺς εἰς λόγους ἰόντας αὐτῷ, βαίνοντας κατόπιν αὐτοῦ, καὶ μονονουχὶ χρησμοὺς (2) οἴεσθαι τοὺς ἐκεῖθεν ἀναβλύζοντας λόγους,

(1) Codex, οὕπος. Isaacius Porphyrog. De præterm. p. 280 : οὕτως ἄρα ὁ Πάρις, οὕτως Ἀλέξανδρος τὴν μόρον ἐξέφυγε· codex 817, melius, ὕπως ἄρα ὁ Πάρις ὕπος Ἀλ.

(2) Procopius Gaz. Epist. 90 ed. Maii : εὐδαίμονες ὄντως οἷς δίπτις τὰ δίκαια, καθάπερ πνὸς τείποδος τῆς σῆς ἐξηρτημένοι φωνῆς. Seneca De brevit. 2 : « adeo ut

τά τε ὄντα διασαφοῦντος σοφώταλα καὶ δεινῶς τὸ μέλλον τεκμαιρομένου, τό τε πρακτέον ὑποδεικνύντος καὶ ὡς οἷόν τε ἄριστα διατιθεμένου, καὶ νῦν μὲν ὠν βραχεῖ καὶ λακωνικῶς, νῦν δ' ἀττικῶς σὺν εὐροίᾳ (1), ἣ περιϊσταμένη ἀπαιτεῖ τῶν πραγμάτων ὑπόθεσις, λαμυρῶς ἀπηγγελμένη καὶ δεξιῶς, καὶ πολλὴν (2) τὴν ἀφροδίτην ἐπαγομένη, οὕπερ οἱ παραπολαῦσαι ἀξιωθέντες καὶ χαρίτων μετασχεῖν τῶν ἀνισχουσῶν (3) ἐκεῖθεν, λῆρον ἂν ἡγήσαντο δήπουθεν Θεμιστοκλέα καὶ Περικλέα, Κίμωνά τε καὶ Μιλτιάδην, τοὺς τοσοῦτον ἐς δεῦρο ὑφ' Ἑλλήνων θαυμαζομένους ἐπὶ φρονήσει τε καὶ εὐροίᾳ καὶ πολιτικῇ ἐπιστήμῃ.

» quod apud maximum poeta- » rum more oraculi dictum est, » verum esse non dubitem : Exi- » gua pars est vitæ quam nos » vivimus. » Ibi valde mirum accidit potuisse vel Menandrum, vel ejus interpretem Cæcilium, maximum poetarum a Seneca vocari. Vide supra p. 361, n. 3.

(1) Codex, τύρτίᾳ, permutatis ι et οι, et sic infra. Nuper in Menandro historico p. 30, λίμνην τυρτῖαν apte scripsit Niebuhr. pro τυροίαν. Libanius t. III, p. 338 : μαλθακὸς θυσίας ὑπερβαλλόμενος κρεῖττον· codex 963, Κρεῖσσον, optime. Scriptum fuerat κρῆσσον, deinde e correctione pessima, cum atticismo male quæsito, κρεῖττον. Procopius Gaz. Epist. 80 Maii : ὀκμαθὴς μὲν εἰς ἃ μὴ θέμις τὴν γλῶτταν· imo ὀκμαθῆς. Non relinquam inemendatum ejus epistolæ initium : σὺ μὲν ὡς ὀντίδι πνίαν φερσφίρεις ἐμοὶ, καὶ θηρίον ἐξωλέστατον εἶναί σοι τὸ χρῆμα δοκεῖ· lego φερσφίρεις (dici enim φερσφίρειν ἀντὶ τοῦ ὀνειδίζειν satis monstravi ad Eunap. pag. 398), et noto imitationem loci Aristophanei Plut. 442 : Πενία γάρ ἐστιν, ὦ πόπο', ἧς οὐδαμοῦ Οὐδὲν πίφυκε ζῶον ἐξωλέστερον.

(2) Codex, πολὺν, permutatis η et υ. Anastasius Hod. p. 62 : πορτία εἴρηται, ὡς πηρεία, διὰ τὸ πηρεῖν τὴν ῥώμην. Correxit interpres πηροῦν, non male; præstat tamen lectio codicis 1084, πνευτία (imo πευτία) διὰ τὸ πυρὸν τ. τ. Mendum, quod est in πευρῶν, statim etiam redit : ἀγάπη, διὰ τὸ ἄγειν τὸ πᾶν, ἤτοι ἑνοῦν καὶ συνάπτειν· imo ἑνοῦν, quod exhibet codex.

(3) Codex, ἀνασχόντων, quod correxi, etsi potuerit auctoris calamus ipsius properantior in

Καί τοι Θεμιστοκλεῖ τῷ γενναίῳ οὐδοτιοῦν θαύματος ἄξιον φαίνεται εἰργασμένον, ὅτι μὴ ὁ χρησμὸς ἐκεῖνος οὗ ξυνῆκεν ὀξέως προσχὼν (1), καὶ ἅς φασιν αὐτὸν πρὸς Πέρσας καὶ Λακεδαιμονίους πρεσβεῦσαι πρεσβείας ἐν τῇ τῶν τειχῶν οἰκοδομῇ (2) καὶ τῇ τῆς σχεδίας διαλύσει (3), καὶ ἄλλ' ἄττα τοιαῦτα περιᾳδόμενα· λόγου δὲ ἄξιον αὐτῷ σκέμμα, τήν τε εὐμουσίαν αὐτοῦ ἐμφαῖνον καὶ μεγαλόνοιαν καὶ δεινότητα καὶ τὴν ἀμφὶ λόγους καὶ σοφίαν ἀλκὴν, οὔπω ἤκουσται καταλελειμμένον.

Ταυτὶ δὲ φημὶ, οὐ τοὺς τῶν Ἑλλήνων κολούων δημαγωγοὺς, οἳ ἀοιδίμου εὐκλείας καὶ δόξης ἀκηράτου ἠξίωνται καὶ τοσοῦτον ἐπ' ἀρετῇ καὶ πολιτικῇ ἐπιστήμῃ ἤραντο κλέος, εὐεργέται κοινοὶ τῶν Ἑλλήνων ἀναδειχθέντες· μὴ οὕτω κακῶς γνώμης καὶ φρονήσεως σχοίην· ἀλλ' ὡς πολύ τι δὴ τὸ διάφορον τοῦ ἀνδρὸς τοῦδε κἀκείνων,

solœcismum labi; quod sæpe fit, magno criticastrorum gaudio. Talia enim sunt emendanda. Quid quod librariis probabilius tribui id genus menda possunt. In Basilii scholiis ineditis p. 30, cod. 573, scriptum vidi: ἰσοτίμως οὖν τῶν ἀκτίνων νεμόντων τοὺς φωτισμοὺς, pro νεμουσῶν. Nectarius Homil. de S. Theodoro p. 6: τῶν γὰρ ἁγνῶν καὶ θείων τῆς θείας τεσσαρακοστῆς ἡμερῶν καταλαβουσῶν· cod 1538: . . . τῆς ἁγίας (melius quum θείων præcedat) τ. ἡμ. καταλαβόντων· librario solœcissante. Nectarii quæ sequuntur obiter corrigam: ἄρτι τῆς τότε ἀρξαμένης ἡμέρας, τόν τε ὕπαρχον προσκαλεσάμενος· codex nitidius: ἄρτι τῆς πρώτης ἐπαρξ. ἡμ., τὸν τότε ὕπαρχον προσκαλεσάμενος.

(1) Pythicum oraculum de mœnibus ligneis.

(2) Legationem Themistoclis ad Lacedæmonios, et qua arte eos eluserit, dum cives sui muros restituerint, narrat C. Nepos. —Codex τείχων, quasi librarius voluerit τοίχων scribere, quod de mœnibus urbis pravum esset et improprium. Pro ἐν velim ἐπί: quæ præpositiones nonnunquam fuerunt permutatæ.

(3) Xerxem certiorem dolo fecit Themistocles id agi, ut pons dissolveretur quem ille in Hellesponto fecerat: vide C. Nepotem.

εἴ τι κἀμοὶ ἔξεστι διαιτᾶν τουτωνὶ πέρι· εἴ γε χρὴ τὸν τοιοῦτον ἄνδρα ἀναγκαλεῖν, ἀλλὰ μὴ ὑπερφυῆ τινα φύσιν καὶ κρείττονα ἐπ' εὐεργεσίᾳ τῆς ἀνθρωπείας φύσεως καὶ τῶν εὐσεβούντων οὐχ ἥκιστα τὰς ἀνθρωπείας κῆρας ἐνδεδυκέναι καὶ τὴν ἐν γενέσει καὶ φθορᾷ βιοτήν. Τῷ μὲν γὰρ Θεμιστοκλεῖ ὥσπερ ἔναγχος ὁ λόγος ἐμνήσθη κατώρθωται μόνον· τῷ δὲ θειοτάτῳ ἡμῶν ἡγεμόνι οὐ σωφροσύνης μόνον λαμπρῶς πολλάκις (1) πεπόνηται, ἀλλὰ καὶ συγγράμματα λόγου ἄξια, μᾶλλον δὲ θαύματος καὶ ἐκπλήξεως Ἕλλησί τε καὶ Ἰταλοῖς (2), καὶ ἀλέλειπται (τῷ γὰρ πρέποντι τῆς εὐφυΐας καὶ τῆς γνώμης τῷ περιττῷ κἀκείνων ἐν βραχεῖ τὴν διάλεκτον περιείληφε), τήν τε τοῦ ἀνδρὸς ἐμφαίνοντα πολυμάθειαν καὶ ὀξύτητα καὶ τὴν ἀμφὶ λόγους καὶ φιλοσοφίαν γενναιότητα καὶ ἀλκήν· ἐν οἷς οἷος ἔστι ἔξεστι τοῖς εὐμοιρηκόσιν ἐπιστήμης καὶ νοῦ ξυνιέναι.

Ἀτεχνῶς γὰρ, οἷον ὁ ἡρωϊκὸς ἵππος, κροαίνει (3) κατὰ πεδίου, καὶ τορὸν καὶ ἦδιστον ἀναβάλλεται παραπλησίως τῇ Ὀλυμπιακῇ σάλπιγγι, ῥεῖ δὲ οἷόν τις ἐνθουσιῶν, πολαμίων ῥευμάτων δίκην, ὥσπερ τις χρυσορρόας ὁ Νεῖλος (4) ἤτοι ἀργυρορρόης, ἢ Πακτωλὸς, σὺν γε χάρισιν ἀμηχάνοις καὶ ἀγλαΐᾳ ἀτλιτιζούσῃ καὶ ἀπορρήτως τερπούσῃ. Τὸ δὲ δὴ πυκνὸν καὶ

(1) Vid. p. 410, n. 6.

(2) Quum Bessarionis libri italice scripti nulli memorentur, significari videntur latina ejus opera, quorum recensum vide in Bibl. Gr. t. XI, p. 432.

(3) Codex, κρουαίνει. Respicit Il. Z, 506: Ὡς δ' ὅτε τις σταὸς ἵππος..... θείῃ πεδίοιο κροαίνων.

(4) Est in codice χρυσόεας. Nilum vocatum fuisse Chrysorrhoam me docuit Athenæus V, 36, cum nota Casauboni. Adjectivum ἀργυρορρόης nomen suum amisit, quod divinare jam non est facile: forsan Παπιὸς, qui illo

ποικίλον τῶν ὀνοιῶν καὶ γλαφυρὸν καὶ ἡδύ, ὧν γε μάλιστα συγγράμμασιν ἐπιδεῖ, ἐπικαιρότατα ταῖς τῶν χωρίων ἰδέαις, καλύκων (1) δίκην, οἷον ἀνίσχον καὶ εὐδαιμόνως ἐμπλημμυροῦν. Καὶ τίς ἂν λόγων ἐπαΐων ἐλευθερίων καὶ ἐπιστήμης κατὰ τρόπον ἠμμένος, μὴ οὐχὶ ὂν θαύματι ποιήσαιτο τὸν τοιοῦτον, καὶ εὐδαίμονα καὶ μακάριον ἡγηθείη τηλικαύτῃ κεκοσμημένον εὐδαιμονίᾳ. Δεῆσαν δέ ποτε ἀπαντῆσαι, ἤτοι τὸ προκείμενον ἀποδεῖξαι, ἢ ὀνοῖηναι ὀναντίοις λόγοις ὁμόσε ἰόντα, ἔν γε ταῖς τῶν ποικίλων ἐπιφοραῖς ἀποδείξεων πάντα λόγον διαλυούσαις δεινῶς, τοῖς τε οἰκείοις ἀμυνούσαις λόγοις γενναίως, καὶ ἀνδρείως (2) ἐξανυούσαις ὅπερ προὔθετο τὴν ἀρχήν, πάντας ἀτεχνῶς κατόπιν ἐᾷ τοὺς τε νῦν περιόντας καὶ τῶν πάλαι ἐνίους, ἢ διϊσχυρίζονται ἔνιοι ὑγιῶς διαιτᾶν τῶν τοιούτων πέρι δυνάμενοι, τῇ τε ἀκριβείᾳ καὶ τάξει καὶ τῷ πλήθει τῶν ἀποδείξεων.

Τοῦτο μὲν οὖν ἑατέον ὂν τῷ παρόντι, μὴ καὶ δόξω τισὶν ἐπὶ θεραπείᾳ τὰ τοιαῦτα ἐπανηρῆσθαι. Δέδοικα δὲ μή, τὰ τοιαῦτα διεξιὼν καὶ ἀφελῶς οὕτως συνείρων, τῇ περὶ τὰς λόγους ἀδυνασίᾳ καθυβρίσω τὸν ἄνδρα· ὥστε μοι δοκῶ τὰ μὲν τοιάδε ὂν τῷ παρόντι ἀναβεβλῆσθαι, σχολῆς ἀτεχνῶς δεόμενα πλείονος· ἢν εἰ διδοίη Θεὸς, συσπήσομαι, σχολῆς εὐμοιρήσας ποτὲ, καὶ μικρὸν ἀναπνεύσας ἐμαυτὸν καὶ ῥᾴσας τοῦ τῆς λήθης με κατειληφότος δεινοῦ νοσή-

epitheto apud Homerum ornatur.

(1) Codex, *καλίκων*. Sunt *καλύκων*, *rosarum*, etsi *ἐμπλημμ.* ad *pocula* ducere videatur. Ceterum sententia est imperfecta, nisi ad participia *ἐσὶ* subaudiatur, quod non est valde nitidum.

(2) Codex, *ἀνδρίως*.

ματος καὶ μάλα πιέζοντος, ὅπερ, ἐν τῇ φοβερᾷ τοῦ ᾅδου εἱρκτῇ ἐπὶ πλεῖστον ποινηλατούμενος (1), τῷ πελάγει τοῦ ἄχους καὶ τῆς λύπης ὁ τάλας ὑπέστην, μονονουχὶ παραπληξίᾳ ἁλωκὼς καὶ καθάπαξ παραφρονήσας.

Ταυτὶ μὲν οὖν ἐν τῷ παρόντι, ὡς παρὰ νοσοκομουμένου καὶ σχεδὸν ἡμιθνῆτος, αὐτοσχεδίως εἰρήσθω μοι· ἐπὶ δὲ τὰ ἑξῆς τῆς εὐφημίας ἰτέον μοι.

Ὅπως μὲν οὖν φρονήσεως ἔχει σοφίας τε καὶ φιλανθρωπίας ὁ θειότατος δεσπότης ἡμῶν ἐν ἐπιτόμῳ μοι ἤδη εἴρηται, τοῦ λόγου ἐπειγομένου. Ἀλλ' ἀμφὶ ταῦτα μὲν οὕτως ἔχει· δικαιοσύνης δ' αὖ πέρι ἆρά τῳ τῶν πρωτείων παραχωρεῖ, ἢν ἡγεμόνων κάλλος, ἁρμονίαν τε πολιτείας καὶ δοτῆρα (2) εἰρήνης καὶ πρόξενον εὐζωΐας καὶ εὐμαρείας, καὶ τοιαῦτ' ἄττα πάντες ὀρίζονται; Ἀλλὰ μὴν κἂν τούτῳ τίς αὐτοῦ δικαιότερος, ἢ αὐτῆς μᾶλλον ἀπείξ (3) ἀντέχεται, θύων πηΐς, ἀκλήϊστον· ἄφαρ δ' ἀπὸ πᾶσα πλείθη Θυμοδακὴς ὀδύνη, ῥία δ' ἔκλιται ὕδατι νοῦσος· pro ἔκλιται propono οἴχται vel ἐκλίει. Atticista apud Maium t. IV, p. 523: ἀντὶ τοῦ εἰπεῖν, ζῶον ἄλογον βοτάνην ἔδιον, βόσκημα λέγουσιν· non notarem ἐδίον esse scribendum (nam calami vel typorum tales mendæ silentio sunt prætermittendæ), ni simul gravior error corrigendum se sisteret ibid. p. 524: ἀντὶ τῶ εἰπεῖν, ἵσαται ἡ ναῦς ἐν τῷ πελάγει μὴ κινουμένη ὑπὸ ἐφόρου ἀνέμου, ἀνακωχεύει ἡ ναῦς τῷ πελάγει λέγουσι· reponas, ὑπὸ φοροῦ ἀνέμου.

(1) Qua de re multa in præcedenti epistola conquestus fuit. Conf. et p. 459, 5.

(2) An δόπιεσαι? potest tamen δοτῆρα vel de τῇ δικαιοσύνῃ locum tueri.

(3) Codex, ἄπειξ, pravo accentu. Philetas Stobæi tit. 124, 10: Ἐκ θυμοῦ κλαῦσαί με τὰ μέτρια, καί τι παρρησιὴς εἰπεῖν, μεμνῆσθαί τ' οὐκ ἔτ' ἔοντος ὁμῶς· imo ὅμως, quod Gesnerus habuit. Heliodorus ibid. tit. 100, 3: ἀρχήσασα, χὠ ὡς· imo ὥς. Quo de Heliodoro magis etiam merebor sic edito: Κεῖνο (ὕδατι) καιρὸν ἐστι καὶ ἀσφαλὲς ὅμμα δῦναι Ἀμ-

μὲν ὁσημέραι Θεῷ ἀφειδῶς καὶ ἀσμένως, θύων δ' ἑαυτὸν (1), τὴν δι' αἰνέσεως καὶ ἀρετῆς παντοίας θυσίαν, σύν γε καρδίᾳ συντετριμμένῃ πίστει τε βεβαίᾳ, καὶ ἀτενεῖ θεωρίᾳ τοῦ ὄντος ὄντως (2), ὃ δὴ κάλλιστον ἱερεῖον καὶ Θεῷ μάλιστα φίλιον; Οὐ μὴν ἀλλ', εἰ δικαιοσύνης μὲν κράτιστα, ἃ προσήκει θεράποντι ἀποτιννύναι Θεῷ καὶ πολιτείᾳ καὶ φίλοις, ὁ δι' ἀρετῆς παντοίας οἰκειῶν ἑαυτὸν, ὡς οἷόν τε ἀνθρώπῳ, Θεῷ, κἀκ τῶν οἰκείων ὁσημέραι ἀφειδέστατα θύων θυσίαν ἱεράν τε καὶ ἄκαπνον, ἣν δὴ θεωρία Θεοῦ συνίστησιν ἀτενὴς καὶ λόγων καὶ (3) ποιημάτων αὐτοῦ κατάληψις καὶ προνοίας ἀσφαλῶς νοουμένη καὶ ὡς οἷόν τε ἀξίως θαυμαζομένη· ὑπὲρ δὲ τῆς κοινῆς ὠφελείας καὶ σωτηρίας τοσαῦτα καὶ τοιαῦτα γενναίως ὑφίστασθαι ὅσα καὶ οἷα αὐτὸς καθ' ἑκάστην διανενόησαι καὶ ποιεῖς, νῦν μὲν συμβουλεύων προθύμως καὶ ἄριστα τὸ πρακτέον ὑποτιθέμενος φρονίμως καὶ ὀξέως ἐξευρεθὲν καὶ γλαφυρῶς ἐκτεθὲν καὶ Θεμιστοκλέους παντὸς ὀξύτερον (4), νῦν δ' ἀναιρούμενος ὑπερορίους πρεσβείας Ἰταλίας διεχούσας τοσοῦτον (5)· ἰδίως δὲ ἕκαστον εὖ ποιεῖν καὶ ἀμύνειν κἀκ τῶν παρόντων ἐλευθερίως εὐεργετεῖν, μηδενὶ

(1) Gregorius Naz. Or. XXII, p. 398, de Eleazaro: προθυόμενος τοῦ λαοῦ καὶ προσευχόμενος, νῦν δὲ καὶ τελεώτατον θῦμα προσάγων ἑαυτὸν τῷ Θεῷ.

(2) Porphyrius De abstin. I, 29: τὰ περὶ τῶν ὄντως ὄντων· ubi nota Valentini. Idem I, 53, p. 90: πρὸς τὸ ὄντως ὂν διάθεσις τῆς διανοίας.

(3) Inserui *καί*. Reddam copulam obiter Psello in oracula pag. 66: ἀιδίως τίθεται κατίσχει τὰ κατ' οὐρανὸν, ἔργῳ ἀνάγκης, οὐχ ἕνεκεν ἡμῶν. Codex 2109 melius κατίσχει τὰ κατ'... καὶ οὐχ... Porphyrius De abstin. I, 21: τὸ ἔριον ἐπιφύεται τῷ προβάτῳ, ὁ ἡμῖν κόσμος, καὶ ἄλλα· codex 2083: ὁ καὶ ἡμῖν κ.

(4) Vid. Georgius Cypr. supra t. I, p. 330, n. 3.

(5) De Bessarione legato cf. pp. 436, n. 4; 444, n. 2.

δὲ ἐπηρεάζειν τῶν ἀλλοτρίων ἐπιθυμοῦντα· ὁ δὴ (1) ταῦτα καὶ τοιαῦτα διεξιόντός τε καὶ δρῶν, πῶς οὐχὶ πᾶν εἶδος δικαιοσύνης κατώρθωκε, θεοσεβὴς καὶ εὐδαίμων ἀναδειχθεὶς καὶ Θεῷ συνημμένος κατάκρας, ἣν δὴ μόνην εὐδαιμονίαν καὶ τῷ ὄντι μακαριότητα φαίην ἂν ἔγωγε τῶν ἀνθρωπίνων ψυχῶν, πρὸς ἣν ἅπαντα τὰ ἀνθρώπινα ῥέπειν χρεών, καὶ ἧς ἄνευ ἕωλα πάντα καὶ κούφη σκιὰ καὶ ὀνείρων ἀπατηλότερα.

Εὐδαίμων τοίνυν αὐτὸς τυγχάνεις τῷ ὄντι, θειότατε δέσποτα, δικαιοσύνης πᾶν εἶδος εὐδαιμόνως κατωρθωκὼς καὶ μακαρίως ἐξησκηκὼς εὐμενείᾳ τοῦ κρείττονος καὶ σπουδῇ θειοτέρᾳ καὶ φρονήσει μεγαλογνώμονι, ἐξ ἧς καὶ δι' ἧς οἷον ἔκ τινος ῥίζης ἀρετῆς ἅπαν εἶδος ἀνίσχει, καὶ σκιάνεται κτώμενον κερδαλέως, καὶ ἐνιέμενον ἐπιδίδωσιν, ἐφ' οἷς Θεὸς μάλιστα κυδαινόμενος ὑπερχάννυται καὶ ἄνθρωποι πάντες ὑμνοῦσιν ἐπεξιόντες.

Εἶεν. Ἆρα οὖν φρονήσεως μὲν καὶ δικαιοσύνης οὕτως ἡμῖν ὁ θειότατος ἔχει δεσπότης, ἀνδρίας δὲ τῷ τῶν πρωτείων παρακεχώρηκεν, ἧς ἄνευ σχεδὸν ἀμυδρὰ καὶ ἐξίτηλα πάντα, νοητῆς ἀλκῆς ἐστερημένα καὶ μονιμότητος; Ἀλλὰ κἂν τούτῳ τίς αὐτοῦ ἀνδρειότερος ἀναπέφηνε; Φέρων μὲν εὐψύχως καὶ ἀνδρικῶς σὺν εὐχαριστίᾳ ἐνδελεχεῖ τοσαύτην καὶ τοιαύτην περισυλλογὴν νοσημάτων ἰκανῶν καὶ τὸν ἀδάμαντα κατεργάσασθαι καὶ τοῦ καθεστηκότος ἐκστῆσαι, μάλα φιλοσόφως τῷ ὄντι καὶ εὐψύχως διατιθέμενος καὶ ἀξίως τῆς περισούσης αὐτῷ φιλοσοφίας καὶ γενναιότητος, πόνοις δὲ σκληροῖς συνεχῶς ὁμιλῶν ὁσημέραι

(1) Valde, est ἀνακόλουθος ῥῆσις illa tota.

καὶ μηδένα ὑπολογιζόμενος κίνδυνον καὶ πάντα γενναίως ὑφιστάμενος κάματον καὶ ταλαιπωρίαν ὑπὲρ τῆς κοινῆς ὠφελείας καὶ βελτιώσεως, καὶ τοῦ χριστιανοῖς συνοίσοντος καὶ λυσιτελήσοντος πᾶσι· μακροθύμως δὲ φέρων καὶ ἀνεχόμενος σὺν πραότητι φιλοσόφῳ, τηλικούτῳ γε προσηκούσῃ, τὰς ἐνίων ἀναρμοστίας καὶ βασκανίας καὶ βλασφημίας, πάνυ ἀναίδην καταχεομένας αὐτοῦ καὶ μάλα ἀσέμνως προστριβομένας, κόρεων ταύτας λογιζόμενος δήγματα φιλοσόφως, λήρους τε καὶ ὕθλους (1) κακοδαίμονος διανοίας, ὑλακάς τε κυνιδίου Μελιταίου (2) βαΰζοντος, καὶ φιλοσοφίας γυμνάσιον, οἷα φασὶ καὶ Σωκράτην, Περικλέα τε (3) καὶ Εὐκλείδην (4), καὶ πολλοὺς ἄλλους τῶν ἡρώων ἐκείνων, ποιῆσαι ἀπαθείᾳ καὶ ἐπιεικείᾳ ἠγλαϊσμένους, μεγαλοπρεπείᾳ τε καὶ πραότητι καὶ τῇ πρὸς τὰς ἐπηρείας καὶ βλασφημίας δυσκινησίᾳ καὶ καρτερίᾳ. Βεβαιοῖ μοι τὰ εἰρημένα ἃ πάντες ἴσασιν εὐφημοῦντες, καὶ οὐχ ἥκιστα τούτων οὗ ἔναγχος ὁ λόγος ἐμνήσθη (5), τὴν τοῦ ἀνδρὸς ἐπιείκειαν καὶ μακρο-

(1) Illo nomine monitus, Demetrium De cont. morte p. 39 emendabo: εἰ... τοὺς λόγους μὴ ἀποδέχοιντο, ἀλλὰ φαῦλον ἡγοῖντο πᾶν· est ἀλλὰ φαῦλον lectio conjecturalis pro vitiosa et antiquiore ἀλλύλον· equidem et ἀλλῦλον reperi in codice 963, sed cum correctione optima ἀλλ' ὕθλον. Junxit λῆρον καὶ ὕθλους Lucianus Dial. Mort. x, 8. Conf. supra p. 288, 17.

(2) Vide p. 411, n. 4.

(3) Dicebat enim Socrates Xanthippen se habere domi γυμνάσιον καὶ παλαίστραν φιλοσοφίας: verba sunt Joannis Chrysost. apud Menag. ad Diog. Laert. II, 37. Ac Pericles patientissime per integrum diei spatium hominis cujusdam contumelias tulit, ὅπως αὐτῷ μὴ διαφθαρείη τὸ πρὸς φιλοσοφίαν γυμνάσιον, Basilius ait Homil. ad juven. § 12.

(4) Socratis, Periclis et Euclidis Megarici simul meminit, eos ob summam patientiam laudans, Basilius ibid.; inde profecit Gregorius.

(5) Pro οὗ legendum ὧν, quod

θυμίαν ὑμνῶν καὶ ὡς εἰκὸς τοῖς ἐπαίνοις ἀγάλλων καὶ πρὸς πάντας διεξιὼν, καὶ διαῤῥήδην κηρύττων, πλείονας αὐτοῦ τῆς ἀρετῆς ἐξαρτώμενος ἐρασίας τε καὶ θαυμασίας, τήν τε εὐφημίαν καὶ τοὺς ἐπαίνους ἐκτείνων, καὶ παράδειγμα προτιθεὶς εὐδαίμονος βίου καὶ σώφρονος, καὶ τοῖς παλαιοῖς ἐκείνοις καὶ μακαρίοις ἀνδράσιν ἐγκρίνων.

Ἀλλὰ μήποτε τὰ μὲν ἄλλα πλεονεκτήματα καὶ τὰς ἀρετὰς ἐπιμελὲς αὐτῷ ἐγένετο κατορθῶσαι, σωφροσύνης δέ πη καὶ κοσμιότητος ὠλιγώρησε τῆς ἀνθρωπίνοις (1) μάλιστα προσηκούσης· ἢ προείλητο μὲν κἀκείνην, ἀμυδρῶς δ' αὐτῆς μετέσχηκεν, ὥσπερ τοὺς πολλοὺς ὁρῶμεν ποιοῦντας τῶν γε νῦν περιόντων καὶ μέγα φρονούντων ἐπ' ἀρετῇ, οἳ πάντας ῥᾳδίως κολάζουσιν, ὑπερηφανίᾳ φυσιχημένοι δεινῇ καὶ ἀμβλυωπίᾳ, τοῦ γνῶναι σφᾶς αὐτοὺς ἀξιοῦν. Ἀλλὰ καὶ τούτῳ τίνι μᾶλλον αὐτοῦ ἐπιμελὲς ἐγένετο κοσμιότητα κλήσασθαι, ἐλευθεριότητά τε καὶ μετριότητα, ἀκρασίας πάσης ὑπεριδόντι, τῶν τε τῆς ὕλης θελγήτρων καὶ ἡδονῶν καὶ τῆς ἀῤῥήτου γοητείας καὶ τῶν ἰύγγων αὐτῆς, ἐφ' οἷς οἱ πλείους ἐπλόνται καὶ προσλετήκασι κεχηνότες, μόνην εὐδαιμονίαν τὴν τούτων ἀπόλαυσιν λογιζόμενοι, τὰ δ' ἄλλα πάντα κούφην σκιάν; τίνι

scripsit in simili sententia pag. 451, 7; et respexerit superiora pag. 439, 3. Cf. et pag. 444, 6.

(1) Excidisse videtur articulus, sic: τῆς τοῖς ἀνθρωπίνοις. Soni similitudo omittendi causa fuerit. Saltem τῆς abeat in τοῖς. Procopius Gaz. Epist. 1 Maii: σὺ δέ μοι δοκεῖς παίζων αὐτῆς κατηγορεῖν· imo αὐτῆς, scilicet τῆς παρρησίας quod præcessit. Notum κατηγορεῖν strui cum genitivo; struitur et cum accusativo. Menander fr. inc. 162: Ὅταν τι μέλλῃς τὸν πέλας κατηγορεῖν· frustra vir doctiss. conjecit τὸ πέλας: vicinius foret τῶν σ. Sed nil mutandum.

δ' οὕτως ἐμέλησε μετριότητος, τύφου παντὸς καὶ δόξης ὑπεριδόντι κενῆς, ὑπὲρ ἧς ἔνιοι πάνυ τοῦ εὖ ἔχοντος ἀπηνέχθησαν καὶ πλείω ἄττα παρὰ τὸ δέον διανοοῦνται καὶ λέγουσι καὶ ποιοῦσι, βαίνοντες κατόπιν σκιᾶς ἢ μεθέποντες αὐτὴν σφαλερῶς, ἄλλοτε ἄλλης δοκούσης καὶ τοὺς τετηκότας αὐτῇ ῥᾳδίως ἐξαπατώσης;

Ἐλευθεριότητος δὲ πέρι ἀρκέσει δήπουθεν ὧν ἐν τοῖς ἄνω λόγοις ἐμνήσθην, τοῦ λόγου ἀρχόμενος καὶ τοῖς ἐγκωμίοις ἐπιχειρῶν.

Ἀρετῆς μὲν οὖν πέρι οὕτως ἡμῖν ὁ θειότατος ἔχει δεσπότης τῷ ὄντι. Καί τοι μυρία τοῦ ἀνδρὸς παρῆκα πλεονεκτήματα, ἀτεχνῶς τὸν ἄνδρα ἠδικηκὼς, καὶ σιωπῇ παρεικὼς (1) τὰ μεγάλα, τοῦ τε λόγου σπεύδοντος ἤδη καὶ τῆς ἀλκῆς ἐπιλελοιπυίας με τῷ περιόντι τῆς ἀσθενείας. Κἀκεῖνο μέντοι, καὶ οὕτως ἔχων, τοῖς εἰρημένοις προσθήσω πλείστην ὅσην οἷσον τῷ ἀνδρὶ εὔκλειαν. Τί δὴ τοῦτο ἐστίν; Ὁρῶν τοιγαροῦν τὴν σοφίαν καὶ τὴν τῶν λόγων τέχνην ἐπιλελοιπυῖαν σχεδὸν τὸ ἑλληνικὸν φῦλον καὶ μονονουχὶ κινδυνεύουσαν τὸ παράπαν ἀποσβεσθῆναι τῇ κατειληφυίᾳ σφᾶς ἀπορρήτῳ καὶ δεινῇ ξυμφορᾷ, ἥτις ἄρδην ἅπαντα ἀνέτρεψε καὶ διέφθειρε καθάπαξ ἐξαφανίσασα, καὶ εἰς τὸ μὴ ὂν κατενεχθῆναι συνήλασε, τί διανοεῖται καὶ τί ποιεῖ; Βουλὴν ἐντεθύμηται συνετὴν καὶ τῆς αὐτοῦ

(1) Codex, παρηκως. Vitium peperit constans synchysis vocalium η ει. Modo forsan παρεῖκα. Procopius Gaz. Epist. 1: Ὀδυσσέα δὲ τὸν σοφὸν, νῆσον οἰκοῦντα μικρὰν ὁμοῦ καὶ τραχεῖαν, καὶ τί γὰρ ἄλλο ἢ τὴν Ἰθάκην ἀντὶ τούτων ἠρεῖσθαι; manifesta est correctio ἠρῆσθαι. At sunt loci ejus, ut et plurimorum in illis epistolis, aliæ difficultates, quas tollet qui codicem, a viro docto indiligentius tractatum, accuratius conferet.

θειότητος καὶ μεγαλονοίας ἀξίαν, περσθείην δ' ἂν κὴ τῆς πρὸς τὸ ἑλληνικὸν καὶ βασίλειον γένος σποργῆς, ὅπερ Θεός τε καὶ φύσις καὶ προαίρεσις εὐγενὴς γενῶν ἁπάντων θειότερον ἀναδέδειχεν ἄντικρυς, μόνον τὰ πάντων γενῶν ἀτεχνῶς ὑπὲρ πάντα κεκλημένον πλεονεκτήματα τήν τε ἄῤῥητον καλοκαγαθίαν, ὥσπερ που καί τις ἔφη τῶν πάλαι σοφῶν, διεξιὼν ὑστωσί (1)· « εἰ δὲ ἡ βάρβαρος διαφέρει ταῖς εὐκαρπίαις, πλεον-» εκτεῖ μὲν ταῖς τροφαῖς, ἐλαττοῦται δὲ τοῖς τρε-» φομένοις· μόνη γὰρ ἡ Ἑλλὰς ἀκριβῶς ἀνθρωπογονεῖ, » φυτὸν οὐράνιον κὴ βλάστημα θεῖον (2), ἠκριβωμένον » λογισμὸν ἀποτίκτουσα καὶ οἰκειούμενον ἐπιστήμῃ· » τὸ δὲ αἴτιον· λεπτότητι ἀέρος ἡ διάνοια πέφυκεν » ἀκονᾶσθαι· διὸ καὶ Ἡράκλειτος οὐκ ἀπὸ σκοποῦ » φησί· λεπτὴ ξηρὴ (3) ψυχὴ σοφωτάτη τε κὴ ἀρί-» στη »· κἄν τινες νῦν αὐτὸ ἀφειδῶς κολάειν τολμῶσι τῷ περιόντι τῆς βασκανίας καὶ πονηρίας.

Βουλὴν τοίνυν λελόγισται θαυμασίαν καὶ πολλῶν ἐπαίνων ἀξίαν, βιβλιοθήκην ποιῆσαι βιβλίοις παντοίοις ξυμβεβλημένην ἑλληνικοῖς· ὃ δὴ κὴ ἐξήνυσε τύχῃ ἀγαθῇ, ἐν τῇ τῶν πόλεων λαμπροτάτῃ τῆς Ἰταλίας ἐξαρτύσας αὐτὴν (4), παρ' ἣν μᾶλλον θαυμάζουσιν (5)

(1) Philo Eusebii Præp. VIII, p. 234 extr. Varietates editionis indicare supersedeo.

(2) Philo Quod deter. p. 170 E: *μόνον γὰρ δὴ τῶν ὅσα γῆς φυτὸν οὐράνιον ὁ θεὸς τὸν ἄνθρωπον εἰργάσατο.*

(3) Codex, ξυνρη ψυχή. Editio: φησιν· οὗ γῆ ξηρὴ, ψ. Ibi Wesselingius restituit verissime *αὖη ψυχή*: conf. Heyn. Opusc. t. III, p. 100, n. *f.* Respicitur enim notissimum Heracliti dogma, *αὖη ψυχὴ σοφωτάτη καὶ ἀρίστη.*

(4) Venetiis. De Bessarionis bibliotheca vide Hod. De Græcis illustr. p. 153.

(5) Codex, παρ' ἧ. — Forsan θαμίζουσιν, quod secure potuissem recipere.

Ἕλληνες μεθόριον οἷον ὅσαν Ἰταλίας καὶ Ἀσιάτιδος, μυρίους ὑποσλὰς πόνους καὶ δαπάνην οὐδ' ἔσλιν εἰπεῖν ὁπόσην χρημάτων. Καὶ νῦν ἔξεσλι τοῖς αἱρουμένοις καὶ δυναμένοις ἐπιλυσχάνειν αὐτοῖς (1) τῆς ἐκεῖθεν ὠφελείας ἐπαπολαύειν, καὶ μετὰ ῥᾳσλώνης τρυφᾶν καὶ ἀνειμένως τὸν βίον διεξιέναι, τῆς ἀκηράτου θοίνης ἐκείνης ἐπαπολαύουσιν· ἄσυλον (2) θησαυρὸν ὄντα, κειμήλια ἱερὰ, παράδεισον λογικὸν ἄνθεσι κομῶντα παντοίας σοφίας, τρυφὴν χαρίτων, πηγὴν λαμυρὰν, φῶς ἐπέρασλον, τήν τε κεκτημένην τὸν τοιοῦτον θησαυρὸν πόλιν κοσμοῦντα τῷ ὄντι καὶ περὶ αὐτῆς τὸν αἴτιον τοῦ τοσούτου καὶ τοιούτου καλοῦ· ἐφ' ᾧ τὸν ἄνδρα ἔγωγε μέγισλα ἂν θαύματι ποιεῖσθαι οὐδέποτε παύσομαι, καὶ χάριτας αὐτῷ διαῤῥήδην ὁμολογεῖν τοσούτου καὶ τοιούτου καλοῦ μεγέθει περιξένῳ· ὧν γένοιντό πολε καὶ παιδαγωγοὶ ἄξιοι, σοφίας ἑαλωκότες ἱμέρῳ, ἧς γε οὐθ' ἧκεν οὐθ' ἥξει πολὲ θεόθεν ἐς ἀνθρώπους θειότερον χρῆμα. Νῦν γε τὸ ἥμισυ ἐξείργασλαι ἀτεχνῶς τοῦ τοσούτου καλοῦ, ὡς ἂν μὴ παντάπασιν οἴχοιτο τὸ τῆς ἑλληνίδος σοφίας θεσπέσιον καὶ θειόταλον χρῆμα.

Τοῦτο μὲν δὴ τοιοῦτον ἐξείργασλαι αὐτῷ· κἀκεῖνο δὲ ῥᾴδιον σιωπῇ παριέναι· ἀδικήσω γὰρ τὸν ἄνδρα περιφανῶς, τὸ τοιοῦτον οὐκ ἐκτιθεὶς καὶ τοῖς εἰρημένοις ἐπάξας. Ἀλλά μοι συγγνοῖεν οἷς γε οὐ πάνυ τοι τὰ τοιαῦτα ἀρέσκει.

Οὐ Καππαδοκία ἤδη φύει τέρλα (3) μόνον, ἀλλ'

(1) An αὐτῆς?

(2) Qui sequuntur accusativi non habent unde pendeant. Et infra in κοσμοῦντα non est syntaxis. Vel librarius suas partes egit pessime, vel auctor sibi ipse defuit, et quæ effuderat non potuit serius emendare.

(3) De Africa quidem novi quod proverbialiter dicebant, ἀεὶ

οὐχ ἧττον καὶ Κρήτη νῆσος, ἐξ ἧς δὴ καί τις πρώην ἀνέσχεν ἀνὴρ (1), εἴ τι δεῖ τὸν τοιοῦτον ἄνδρα καλεῖν, ἀλλὰ μὴ Στρεψιάδην ἢ Θερσίτην τινὰ ἐπιλήσμονα (2) καὶ βραδὺν, καὶ μέγα εὐηθικῶς ἐπὶ σοφίᾳ φρονοῦντα καὶ ἐρυγγάνοντα· ᾧ δὴ ἄλλα τε γελοίως διανενόηται καὶ θρασέως τετόλμηται, ναὶ μὴν τὸ κατὰ τοῦ Πλάτωνος γελοιότατον καὶ θρασύτατον σκέμμα, ἔνθα σύγκρισιν (3) μὲν δή τινα ἐπαγγέλλεται Ἀριστοτέλους ποιῆσαι καὶ Πλάτωνος ὁ χρηστὸς οὑτοσὶ, τοῦ βιβλίου ἀρχόμενος· τοσοῦτον αὐτῷ ὑπερηφανίας καὶ θρασύτητος μέτεστι· βραχὺ δὲ τοῦ λόγου προκεκοφὼς, τοῦ μὲν αὐτῷ προκειμένου σκοποῦ ἐπιλέλησται τὸ παράπαν, Πλάτωνι δὲ τῷ κλεινῷ ἰταμώτατα ἐπιφύεται, ὥσπερ τις πάλαι ὠδίνων τὰς κατὰ τοῦ ἀνδρὸς βλασφημίας, βάλλων αὐτὸν ἀφειδῶς τοῖς ὀνείδεσι καὶ ταῖς ἐκ τοῦ Κότυος (4) πλύνων λοιδορίαις (5), πᾶν κέντρον ἀκολάστου γλώττης ἠρμένος,

φέρει τι Λιβύη κακὸν, ut est ex Aristotele apud Zenob. II, 51, cum Schotto; Diogenian. I, 68; Suidam Adag. I, 54; Nicephor. Gregoram Epistola ad Chrysoloram, cujus hoc est initium, τὴν μὲν παροιμίαν, ἀεί τι Λιβύη. Memini et ad id proverbium (de quo adi et Erasm. Adag. III, 7, 10; Schæfer. ad Gnom. p. 279) allusisse videri Psellum De dæmon. pag. 26 hacce sententia: ἄτοπα... πολλὰ καὶ τῶν ἀμφὶ Λιβύην καὶ Σύρτιν ἱστόρηται· indeque illustranda sunt Vetturii verba Godello scribentis: « l'Afrique ne » m'a rien fait voir de plus nou- » veau que vos ouvrages. » Sed de Cappadociæ monstris nihil comperti habeo. Fuit tamen quod huc faciat adagium, Καππάδοκες, Κᾶρες, Κίλικες, τρία κάππα κάκιστα: vide Voss. ad Catullum, p. 34; Zeibich. diss. de Tarso § 1; Erasm. Adag. III, 6, 82.

(1) Georgius, Trapezuntius cognomine, patria Cretensis.

(2) Strepsiades in Nubibus ait esse ἐπιλήσμων πάνυ.

(3) Cf. Allat. de Georg. p. 378.

(4) Sic alios esse loquutos non memini. Fuit Cotys obscenus deaster; fuerunt et eo nomine Thraces.

(5) Joannes Chrys. Select. p. 20: ἤκουσας κακῶς καὶ μυρίαις σέ

καὶ πᾶσιν ἀναίδην ὑποτιθέμενος φεύγειν οἷόν τινα κῆρα τὸν ἄνδρα. Ἀπαντῆσαι δέ γε τοῖς ἀδαμαντίνοις λόγοις ἐκεῖνου καὶ ταῖς δειναῖς ἀνάγκαις καὶ κρατεραῖς ἀποδείξεσι (1) οὔτε πω ἐτόλμησεν ἄντικρυς, καίτοι θρασύτατος ὢν καὶ ἀπεριμερίμνως ἐμῶν, καὶ κρόταλον ἀτεχνῶς, καὶ κορύζης καὶ λέμφου ἀνάμεστος, οὔθ', ὡς οἶμαι, τολμήσει γρύξαι (2) ποτὲ, ἀμαθίᾳ ἐνισχημένος δεινῇ καὶ ἀμβλυωπίᾳ καὶ εὐηθείᾳ. Αὐχεῖ μέντοι πάνυ γελοίως καὶ σεσηρότως, οἷον ὁ Θερσίτης ἐκεῖνος, καὶ μέγα φρονεῖ, καὶ βρενθύνεται, οἷόν τις ταὼς περιαθρῶν ἑαυτὸν ἐπὶ τῷ τῶν ὕβρεων ἐκείνων καὶ λοιδοριῶν σμήνει, ἃς αὐτῷ προσῆκε μᾶλλον ἐπενεχθείσας ἀκοῦσαι σχετλίως κυπτάζοντι, πάνυ προσηκούσας τοιούτῳ ὄντι, ἢ Πλάτωνι τῷ γενναίῳ καὶ κλεινῷ φιλοσόφῳ, ὃς ἡμῖν τοσούτων καὶ τοιούτων ὑπῆρξε καλῶν (3), κοινὸς εὐεργέτης τῷ ὄντι ἀναφανεὶς, ὑφηγητής τε τῶν καλῶν καὶ τιμίων, καὶ φιλοσοφίας καὶ λόγων τέχνης ἐλευθερίων ἡγεμὼν καὶ διδάσκαλος· ὃν τῆς μεγαλονοίας

τινες ἔπλυναν λοιδορίαις. Sic et p. 46. Palladius Vita Joannis Chrys. pag. 17 : ὁ δῆμος μυρίαις αὐτὸν ἦν πλύνας λοιδορίαις. Scilicet est πλύνειν, καταπλύνειν, notante scholiaste Æschinis p. 264, λοιδορεῖν, ὑβρίζειν, καταφρονεῖν, ἀτιμάζειν. Basilius Hom. ad juv. § 12, de homine qui in Periclem proterve invehebatur : καὶ εἰς πᾶσαν διήρκεσεν ἡμέραν, ὁ μὲν ἀφειδῶς πλύνων αὐτὸν τοῖς ὀνείδεσιν, ὁ δὲ οὐ μέλων αὐτῷ· ubi velim scribi e Codd. διήρκεσαν, et ὁ δέ· οὐ μέλον αὐτῷ. Cf. Georg. Lapith. v. 396, et supra p. 411, 2, 12. Ac de verbo vide Frem. ad Basil. p. 104; Elmsl. ad Acharn. 381; Meinek. ad Men. fr. inc. 73. Jam comparatum fuit quod vulgo dicimus, « laver la tête à quelqu'un. » Regnardus: « Et vous deviez encor » lui mieux laver la tête. » De diluvio cum ineptia ac frigore summo Benseradius: « Dieu lava » bien la tête à son image. »

(1) Conf. locus Bessarionis in mea ad Anacreontem notula p. 124 ed. sec. Sic mox p. 456, 19.

(2) Conf. p. 354, n. 1.

(3) Codex, κακῶν. De Syntaxi p. 438, n. 5. Conf. p. 457, 15.

καὶ εὐφυΐας καὶ τῆς ἀῤῥήτου καλλιῤῥημοσύνης τίς ἂν ἀξίως ὑμνήσειε; τῷ ὄντι γὰρ ὁ ἀνὴρ ὅτοσὶ τὰ πάντων φιλοσόφων καὶ ῥητόρων πλεονεκτήματα κατωρθωκὼς περιείληφε, θείας μοίρας ἀξιωθείς.

Τούτου τοίνυν τοιούτου ὄντος ἐτόλμησε τὸ κεντρήτυπον ἀνθρώπιον τόδε, ὁ Βεκκεσέληνος (1) καὶ ἀκριτόμυθος (2) σοφιστὴς καθικέσθαι, πάντα τρόπον τὸν τοιοῦτον ἄνδρα κολούων καὶ τοῖς ἀκολάστοις σκώμμασι χλεύνων. Τί οὖν ὁ θειότατος ἡμῶν ἡγεμών; ὐκ ἠνέσχετο τῆς τοσαύτης κακοηθείας καὶ μανίας τῶν καθάρματος τουτουὶ, καὶ τυφογέροντος ἀναρμόστου (3), καὶ φολκοῦ (4) ἀνθρωπίσκου· καὶ ἐντυχὼν αὐτοῦ τῷ σκαιοτάτῳ ἐκείνῳ σκέμματι καὶ τῆς ἀναρμοστίας τῷ σύρφακι, τὸ μὲν ἐξελέγξαι πάντα καὶ ἀνατρέψαι περίεργον ἡγήσατο νεανικώτερος· προσβαλὼν δέ γε αὐτῷ τοῖς καιριωτάτοις χωρίοις, δεινῶς ἐξελέγχει (5) καὶ καταβάλλει τουτονὶ τὸν κενὸν σοφιστὴν, παίων αὐτὸν ἀφειδῶς τοῖς συλλογισμοῖς καὶ ταῖς δειναῖς τῶν λόγων καὶ κρατερραῖς ἀνάγκαις καὶ ἀποδείξεσι, τῷ τε Πλάτωνι ἀξίως αὐτοῦ ξυνιστάμενος καὶ τῇ ἱερᾷ ἀληθείᾳ γενναίως· ἐν οἷς οἷός ἐστι τήν τε τάξιν καὶ θεωρίαν ταῖς τε γλαφυραῖς καὶ δειναῖς ἀποδείξεσι, ἐφ' οἷς συγγράμματα τέθηλε καὶ κοσμεῖται, ὐκ ἐμὸν ἐστὶν ἀτεχνῶς ἐπαινεῖν, ἀλλὰ τοῖς (6) οἷος αὐτὸς τυγχάνει θείᾳ μοίρᾳ κεκοσμημένοις. Ἐμοὶ δὲ, καὶ τοῖς ἐοικόσιν

(1) Strepsiadis est epithetum Nub. 397.

(2) Thersitis est epithetum Il. B, 246.

(3) Τυφογέρων τι καὶἁρμοστός, in Nub. 906

(4) Φολκὸς ἦν Thersites ille Il. B, 217.

(5) Libris IV « Contra calumniatorem Platonis. »

(6) An ἀλλὰ τοῖς ἔξεστιν οἷος..? Conf. p. 444, 16.

ἐμοὶ, ἐκπλήττεσθαι καὶ θαυμάζειν τοὺς τοιούτους μόνον προσήκει καὶ εὐδαίμονας ἡγεῖσθαι, τοσοῦτον λελειμμένῳ τῆς τοιαύτης εὐδαιμονίας.

Τοσοῦτον μέντοι ἐν τῷ παρόντι τολμήσας ὁ λόγος ἐρεῖ ὡς δὴ (1) πλείω ἄττα τῶν ἀπορρήτων ἐγκατέμιξε τοῖς εἰρημένοις, δευρὶ ἀναπτύσσων καὶ διαρθρῶν τὰ καὶ τοῖς ἐλλογιμωτάτοις πρώην δοκοῦντα ἀσαφῆ καὶ ξύμβλητα (2), μᾶλλον δ' ἀκατάληπτα καὶ ἀπόρρητα, οἷον ἔνθους γινόμενος ἐν τοῖς ἀγῶσι καὶ περιβολαῖς τῶν λόγων ἐκείνων καὶ ταῖς κρατεραῖς ἀποδείξεσι τεθηγμένως ἀπηγγελμέναις καὶ τοὺς ἐναντίους λόγους θαυμασίως ἀνατρεπούσαις. Ἐφ' οἷς γε, ἔγωγε τὸν ἄνδρα καί τοι καὶ πρώην μὴ πάνυ ἀγνοῶν, νῦν μοι ἔπεισι μᾶλλον ἐκπλήττεσθαι καὶ θαυμάζειν ἐκτόπως, τοσούτων καὶ τοιούτων ὑπάρξαντα τοῖς Ἕλλησιν ἀγαθῶν (3), καὶ καλῶν τῶν οἰκείων μεταδεδωκότα ἐλευθερίως. Καὶ ἄττα πόνῳ πολλῷ, θεωρίᾳ τε ἀτενεῖ, δι' ἑαυτοῦ κατείληφε μόλις, τῆς φιλανθρωπίας τῷ περιόντι καὶ τοῖς φίλοις δεῖν ᾠήθη κοινώσασθαι Ἕλλησι, τῆς αὐτῶν κηδόμενος ὠφελείας καὶ ἐπιδόσεως. Ἰταλοὶ δὲ ταῦτα εἰς τὴν σφετέραν μετενηνοχότες διάλεκτον (4), ἐκπλήττονται καὶ θαυμάζουσι, καὶ τοῖς τῶν

(1) Codex, δεῖ. Passim sic η et ει permutantur. Inscriptio in Bœckhiano Corpore 1897: Ἶσόν τοι τοκέεσσι Θράσων γέρας ὤπασε τιμᾷ Θευγένη ἀντ' ἀγαθῆς τοῦτο διδασκαλίας· forsan τιμᾶς Θευγένει. Sed qui jam de Θευγενεῖ cogitavit editor præstantissimus, parum conjecturæ in tali monumento tribuit. Philo De col. parent. § 20: οὐδὲ γὰρ ἄνθρωπος τῶν μετρίων ἀνέξεταί ποτε παρακληθεὶς συνεπιγράψασθαι ψεύδεσιν· ἀλλ' ἐχθρὸν ἄπιστον ὑπολαβεῖν ἄν μοι δοκῇ τὸν εἰς ταῦτα προτρέποντα· forsan δοκεῖ, relato ἂν ad ὑπολαβεῖν.

(2) An δυσξύμβλητα?

(3) Conf. pag. 455, n. 3.

(4) Non italicam versionem intelligam, sed latinam.

παλαιῶν ἐγκρίνουσι, Ἀριστοτέλους φημὶ καὶ Πλάτωνος, καὶ τοῖς κατ' αὐτοὺς παλαιοῖς τε καὶ μακαρίοις ἀνδράσιν· ἔνθεν τοι καί τινας τύπους αὐτῷ τεχνασάμενοι πολλῷ ἄττα ῥᾳδίως ἀντιγεγράφασι, καινὸν δήπου τουτὶ καὶ νέον τὸ ῥᾳδιούργημα, τύποις τισὶ καὶ σφραγῖσιν ὃν ἀκριβῆ ὁλόγραφον βιβλίον (1)· τοσοῦτον πάντες τούτου (2) ἐξεκαύθησαν τοῦ βιβλίου.

Ἐγὼ δὲ καὶ χάριτας οἶδα καὶ εἴσομαι διὰ βίου τῷ κωμικῷ ἐκείνῳ καὶ κενῷ σοφιστῇ, ὃς ἡμῖν ἀγαθοῦ τηλικούτου γέγονε πρόξενος, παρανοίξας τὸν θησαυρὸν καὶ τὸ φῶς ὑποδείξας. Ἀλλά μοι εἴη ποτὲ καὶ αὐτῷ ἀποδύσασθαι πρὸς τὸν ἄνδρα, καὶ μὴ λοιδορίας, ὥσπερ αὐτός, ἀλλὰ λόγους αὐτῷ ἐπαφεῖναι καιριώτατα νύττοντας καὶ ἀτρέστως ὁμόσε ἰόντας (οὐ γὰρ χρυγοῦς αὐτὸν καὶ ἡμεῖς, ἀλλὰ μορμοῦς ἡγησόμεθα κἄρτα παιδί' ἄττα δεδιττέσθαι δυναμένης), εἰ καὶ δίκας τῆς πομπείας καὶ δεινῆς μανίας ἤδη ἀπέτισε.

Ταυτὶ μὲν οὖν μοι ἐν τῷ παρόντι ἀφοσιούσθω τῷ ἐμῷ ἡγεμόνι καὶ εὐεργέτῃ, οἷόν τινα σῶστρα καὶ χαριστήρια τῆς ἀπαλλαγῆς τῶν δεινῶν, οὐχ οἷα πρόσεστι αὐτῷ, ἀλλ' οἷα εἰκὸς ἐκ τοιούτου ὥσπερ ἐπανελθόντα προσαγορεύοντι (3). Πέποιθα γάρ σε σὺν Θεῷ ἐρρωμένον καὶ εὐτυχῶς ἐπανήξειν αὐτίκα μάλα. Ταῦτά τοί σε καὶ ὡς παρόντα προσαγορεύω, καὶ μονονουχὶ γαννύμενος προσκυνῶ τὰς ἱερὰς ἐκείνας χεῖρας, καὶ

(1) Locus corruptus est. Agitur de Bessarionis libro typis impresso, quod, ut in initiis artis typographicæ, notatu dignum erat. Memoratur quidem editio latina sine nota anni, Romæ autem facta per Pannartzium: vide Bibl. Gr. t. XI, p. 432.

(2) Codex, τοῦ.

(3) An ἐπανελθόντα βαρέθρου προσαγορεύειν? Locus est omnino imperfectus.

τοὺς πόδας σεβασμένως καταφιλῶ (1). Εἰσαῦθις δέ γε, Θεοῦ διδόντος, τελεωτέραν σοι τὴν εὐφημίαν ξυνθεῖναι πειράσομαι, μικρὸν ἀνενεγκὼν καὶ ῥαΐσας τῆς παζούσης με ταυλησὶ ἀσθενείας καὶ δεινῆς ἀμβλυωπίας καὶ λήθης, ἃ μοι δεινῶς ἐπεισέφρησε ἐν τοῖς σκολεινοῖς καὶ φεικτοῖς τοῦ ἄδου ἐκείνοις ἐγκαλορωρυγμένῳ (2) χευθμῶσι, τῶν γέ σοι παρόντων πλεονεκτημάτων τῶν τῷ ὄντι μεγάλων καὶ θείων ἕκαστον ἐφεξῆς εὐφημῶν καὶ τοῖς ἐπαίνοις, ὡς οἷόν τε, ἀγάλλων, εἰ καὶ μηδέπολε δυνησοίμην τῆς ἀξίας ἐφικέσθαι, περιφανῶς τοσοῦτον λελειμμένος τοῦ τὰ τοιαῦτα ἀξίως ἐπαινεῖν δύνασθαι καὶ λόγους ἐξευρίσκειν καὶ συνλιθέναι ἀνδράσι τοιούτοις πρέποντας. Θεῷ μέν τοι καὶ τὸ ἐφ' ἡμῖν φίλιον. Ἀλλά μοι εἴη σε τούτοις εὐμενῆ καὶ ἵλεων ἐντυχόνλα μῆνιν πᾶσαν τῆς ψυχῆς ἐξαλεῖψαι καὶ καθάπαξ ἐξαφανίσαι, ὡς ἂν σου καὶ ταύτῳ φανεῖη λαμπρότερον τὸ τῆς ἀπαθείας πρεπὸν (3) καὶ τὸ θεοείκελον ἦθος καὶ ἡ πᾶσιν ὑμνουμένη μεγαλοπρέπεια καὶ φιλανθρωπία, οἷς Θεὸς μάλισλα χαίρει καὶ ἄνθρωποι πάνλες θελγόμενοι ὑπερφέρανται. Συγγνοίης δέ μοι, εἴ σοι (4) τοῦ δέοντος ἧττον ἢ ἀφελέσλερον εἴρηται καὶ τῆς σῆς ἀπολελειμμένον θειοτάτης ὑπερβολῆς, ἣν Πλάτων μόνος ἀξίως ὕμνησεν ἂν ἢ Δημοσθένης ἢ Ξενοφῶν, ἢ εἴ τις ἄλλος κατ' αὐτοὺς εἴη, εἰ δὲ δὴ καὶ ἐφ' αἷς μοι πολλάκις ἐλευθερίως κατέθου εὐεργεσίαις τῆς γε σῆς

(1) Fors. σεβασμένως. Codex, καλαφιλῶν.

(2) Codex, ἐγκαπρωρυγμένος.

(3) Codex, τὸ πριόν.

(4) Melius fuerit πῃ. Themistius De præf. 5 : Σωκράτης, ὃν τίς πατέρα φρονίτην καὶ ἀρχηγέτην τῆς πολυπλεύρου σοφίας· an φρονίμοι? Julianus Orat. III, init.: ὅτι ἂν τύχοι τις παρὰ τοῦ πίλας τοῦ παθών· melius τύχῃ in cod. 2964.

ἐλεημοσύνης καὶ φιλανθρωπίας τῷ περιόντι· ἐφ' οἷς σοι τῷ ὄντι καὶ οἶδα καὶ εἴσομαι χάριτας διὰ βίου ὁσώσας ἂν οἷός τε εἴην. Ταύτῃ γάρ σε μόνον ἀμείψασθαι δύναμαι, ὧν ἠξίωμαι παρὰ σοῦ. Καὶ τήνδε μοι τὴν λαμπρὰν καταλλάξειας αὐθεντίαν (1), συσήσας αὐτῇ (2) περιδεξίως, ὡς οἶσθα, ἥ μοι πάνυ σκηπτολέμωται καὶ κομιδῇ χαλεπαίνει, τὰ ἐν χαρίσῃ σοι ποιοῦσα, ὡς ἔοικεν· ἀθανάτως σοι χάριτας εἴσομαι. Περσθεθέντος δέ σου (3) πάντα ἀποδοθῆναί μοι, εἴ γε ῥᾴδιον, ὅσα τοῖς παλαμναίοις δημοκοίνοις σκείνοις καὶ ὠμοτάτοις θηρίοις μεμηνότως διήρπασται, οἵ μου τὸ πλέον τοῦ αἵματος σκπεπώκασι, καὶ θηρίων ἁπάντων ἀπηνέστερον περσηνέχθησαν, μονονουχί μου καὶ τὴν φορίνην σκδεδυκότες· παντὸς γὰρ νῦν φεῦ! αἰχμαλώτου τυγχάνω ψιλώτερος καὶ μόλις γοῦν τῆς ἀναγκαίας ἐδωδῆς εὐπορῶν· τὰ γὰρ ἄλλα τέως παρίημι· καὶ δὶς ἤδη εὐεργετήσεις καὶ τρὶς ἄφεσιν σντεῦθεν τελείαν τῆς δεινῆς παρσινίας ἐκείνης ἀπειληφέναι ὑποτοπάσαντα (4).

Ἀλλά σοι μὲν διδοίη Θεὸς εὐζωΐαν καὶ μήκιστον (5) βιοτὴν ξὺν εὐεξίᾳ καὶ ῥᾳστώνῃ, μᾶλλον δὲ ὅσα φρεσὶ σῇσι (6) μενοινᾷς (τῶν γὰρ ἄλλων σοι πάντων περίεστι σὺν Θεῷ), καὶ πρὸς αὐτοῖς εὐμαρῆ καὶ ταχίστην ἐπάνοδον ξὺν ἀπύσει καὶ κατορθώσει εὐκλεεστάτῃ ὧν αὐτόσε χάριν ἀφίκου, τοσαύτην ὑποστὰς ταλαιπωρίαν καὶ κάματον. Πάντες γάρ σου τὴν ἀποδημίαν καὶ

(1) Nescio quem innuat. Codex, *αὐθεντίαν*. Conf. p. 433, 23.
(2) An excidit *μι*?
(3) Codex, *σοι*.
(4) Codex, *ὑποστὰς πάσαντι*.
(5) Sic codex.
(6) Odyss. Z, 180 : Σοὶ δὲ θεοὶ τόσα δοῖεν, ὅσα φρεσὶ σῇσι μενοινᾷς.

χῆτιν (1) ξυμφορὰν τῷ ὄντι λογίζονται, μεθ' οὓς (2) οὐχ ἥκιστα καὶ ὁ τάδε διεξιὼν, τηλικούτῳ πατρὸς καὶ δεσπότου καὶ ἀνδρὸς ἡμιθέῳ στερόμενοι, πλὴν εἰ μή τις βάσκανος εἴη καὶ κακοήθης, ἢ βασκαίνων, ἢ νεμεσῶν, ἢ ἀχλυόμενος τῇ σῇ σοφίᾳ. Ἐμοὶ δὲ δοίη Θεὸς, τῆς σῆς αὖθις εὐμενείας ἀξιωθέντι καὶ χάριτος, ἐπὶ πλεῖστον αὐτῇ καὶ τελεώτερον ἐντρυφῆσαι, ἢ αὐτῷ καὶ ὅπη καὶ ὅπου (3) δόξειεν ἄμεινον. Εἰς μοι γένοιτο, Σῶτερ, ἐναργέστερον ἀπολαῦσαι τῇ σῇ εὐμενείᾳ καὶ χάριτι, καὶ τῇ τοῦ θειοτάτου δεσπότου οὐρανίᾳ καὶ θείᾳ εὐεργεσίᾳ.

(1) Codex, χήτην.

(2) Malim μεθ' ὧν.

(3) Similem juncturam ὅπη καὶ ὅπως illustravi ad Philostr. pag. 604, ad Æsch. Prom. 900. Euripides fr. inc. 153: Ἀλλ' ἀθανάτου καθορῶν φύσεως Κόσμον ἀγήρω, πῇ τε συνέστη Καὶ ὅπη καὶ ὅπως. Plato Legg. x, p. 378, 2. Adde Jacobs. ad Ælian. H. A. p. 14.

ΜΕΤΑΦΡΑΣΙΣ

ΕΙΣ ΤΟΝ ΒΙΟΝ ΚΑΙ ΤΑ ΘΑΥΜΑΤΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΒΕΡΚΙΟΥ.*

Οὐκ ἀγώνων ἀνδράσεις μόνον μαρτυρικῶν καὶ νίκαι καὶ τρόπαια τὸ ἀξιέπαινον ἀποφέρεται, ἀλλὰ καὶ βίος πολὺ τὸ ὑπερκείμενον ἔχων τῆς κατὰ σάρκα ζωῆς καὶ τὴν τραχεῖαν τῆς ἀρετῆς καὶ ἀνάντη τείβον δινυκώς διὰ τῆς χαμόθεν ἐπάρσεως· εἰ δὲ καὶ ἀποστολικοῖς ἔργοις τε καὶ διακονήμασι, καὶ πρὸς ἔτι γε θαύμασι τοῖς ὑπερφυέσιν, ἐγκαλλωπίζοιτο, ὅσον τῷ κεκτημένῳ τὸ πρὸς τοὺς ἄλλους ἀμιγὲς καὶ ἀπρόσιτον οἶδεν ἐπιμαρτύρεσθαι!

Τοιοῦτον διὰ τῶν ἐφεξῆς καὶ τὸν νῦν ἡμῖν εἰς ἀφήγησιν βίον προκείμενον ἔγνωμεν τοῦ ἐν τοῖς πάλαι μὲν χρόνοις τῆς κατὰ Φρυγίαν Ἱεραπολιτῶν ἐκκλησίας ἐπιτροπεύσαντος Ἀβερκίου, τῇ ὑφηλίῳ (1) δὲ πάσῃ ἐπεγνωσμένου διὰ τὸ τῆς ἀρετῆς ὕψος καὶ

* E codice Coisliniano 110, p. 105. Abercii Vitam quam multæ premant difficultates docebit Tillemontius Mem. eccles. t. II, p. 299. Eam descripsi quod sit celebris: « l'histoire de S. Abẹrce » est celèbre », Tillemontius ait. Ex nomine μετάφρασις nemo non statim putabit fuisse id opusculum a Symeone Metaphraste scriptum; aliud tamen est initium Vitæ quam Symeon composuit, scilicet, Μάρκου Ἀντωνίνου καὶ Λουκίου Βήρου τὴν αὐτοκράτορα Ῥωμαίοις διεπόντων ἀρχήν, apud Allatium de Symeon. p. 130, 3 : conf. Fabric. Bibl. Græc. t. x, p. 186. Latinam, quæ exstat apud Lipomannum ac Surium, interpretationem consulere non potui. Potui pluribus Bibliothecæ regiæ codicibus uti; sed id non tanti fore videbatur.

(1) Codex, ὑφήλιω.

μέγεθος. Τοῦτο γὰρ τοῦ τῆς εἰρημένης μεγαλοπόλεως ἐγκεχειρισμένου ἐκκλησιαστικοῦ οἴακας (τὸ δὲ ὅπως καὶ ὅθεν τῶν ἱερατικῶν ἐπέβη πραγμάτων παραλείψειν δοκῶ μοι, ὡς περιττὸν εἰς ἐξέτασιν· πᾶσι γὰρ δῆλον ὡς ἀρετῆς ἡ προτίμησις, καὶ θείας ψήφου μᾶλλον ἢ ἀνθρωπίνης περιδρομῆς ἔργον, ἡ ἐπ' αὐτῷ καθιέρωσις)· προέτλοντος δ' οὖν τὰς ἱερὰς φροντίδας, ὡς εἴρηται, δόγμα τῷ τῆς Φρυγῶν ἐπαρχίας ἡγεμονεύοντι (Πόπλιος δὲ Δολοβέλλας ἔτος ἦν) καταφοιτᾷ, τοῦ αὐτοκράτορος Ἀντωνίνου Μάρκου καὶ Λευκίου Βήρου θεσμοθεσίας ἐκφεύγισμα, οὐ πόλεις βαρβαρικὰς καταστρέφεσθαι, οὐδὲ πρὸς ἀντίπαλον μοῖραν τῶν οὐ φιλίως αὐτοῖς ἐχόντων ἐγκελευόμενον παρατάττεσθαι, ἀλλὰ δημοτελεῖς θυσίας τε καὶ σπονδὰς τοῖς καλῶς ἀπολουμένοις αὐτῶν θεοῖς θεσπίζον πρασάγεσθαι. Ἐπροέτλετο δ' οὖν ἔργῳ τὸ κελευόμενον, καὶ ἀνάνευσις οὐκ ἦν ἐν τῷ θανάτῳ αὐτῶν· ἀλλὰ δῆμος ἅπας καὶ ὅμιλος πολυάνθρωπος ἑνὸς νόμου προστάγματι, ὥσπερεί τινι ἀλύτῳ δεσμῷ, κατεχόμενος, ἀθέσμων σπονδῶν καὶ ἑορτῶν ἀνεόρτων καὶ δημοθοινίας ἄλλης οὐκ εὐσεβοῦς ἐκοινώνει τῷ ἄρχοντι.

Βλέπων οὖν ὁ τοῦ θεοῦ ἄνθρωπος ἐν τοῖς τοῦ σκότους ἔργοις τὴν πόλιν λευχειμονοῦσαν, καὶ τοῖς δαίμοσι κακοδαιμόνως τὸ ἀσεβὲς σέβας ἀπονεμόμενον, πλήττεται μὲν τὴν ψυχὴν καὶ σκυθρωπάζει πρὸς τὰ ὁρώμενα· σπαραγμῷ δ' οὖν τὸ κεκακωμένον τῆς καρδίας, ὡς ἐνῆν, παραμυθησάμενος, τὴν ἐπ' οἴκου ἐβάδισε. Καὶ ἐξαιτεῖται μετὰ δακρύων τὴν παρὰ Κυρίου βοήθειαν, « Θεέ », λέγων, « τῶν αἰώνων καὶ κύριε τοῦ ἐλέους καὶ δημιουργὲ τοῦδε τοῦ σύμπαντος, ὁ τὸν ἀγα-

πητόν σου παῖδα εὐδοχήσας ἐνανθρωπῆσαι, τὴν ἡμῶν σωτηρίαν οἰχονομούμενος, ἀπάλλαξον τῆς παρούσης πλάνης τὸν ὃν σὺ ἐδημιούργησας, χαὶ τὴν πόλιν δὲ ταύτην οὐχ ἧττον, ἐν ᾗ με ποιμένα τῶν σοὶ πιστευόντων θρεμμάτων ἔθου, εἰ χαὶ ἀνάξιον. »

Καὶ, συντελεσάμενος τὴν εὐχὴν, εἰς ὕπνον χατέπεσε. Καί τινα νεανίσχον τὸ χάλλος ἄμαχον ἐνορᾷ, ῥάβδον αὐτῷ τὴν μετὰ χεῖρας παρεχόμενον, χαὶ λόγῳ τῷ χαθ' ἡδονὴν δεξιούμενον. Ἔλεγε γὰρ τὸ ὁρώμενον οὕτω· « Ταύτῃ τῇ βαχτηρίᾳ χαὶ τῷ ἐμῷ ὀνόματι ἐπερειδόμενος, ὦ Ἀβέρχιε, πρόϊθι φανερῶς, χὴ τοὺς τῆς πλανήσεως αἰτίους ἐν τῇ ῥάβδῳ ταύτῃ, ὡσπερεί τινα σχεύη χεραμέως, σύντριψον (1). »

Διυπνισθεὶς δὲ χαὶ ἐπεγνωχὼς τὸν χαλέσαντα, ἅσμενος ἐξανέστη. Καὶ λαβὼν ξύλον μέγιστον ὃ βαστάζειν οὐχ ἀδύνατος ἦν, τὴν εὐθὺ τοῦ ἱεροῦ τοῦ Ἀπόλλωνος μετ' ὀργῆς ἐπορεύθη. Ὥρα δὲ ἦν αὐτὸ τῆς νυχτὸς τὸ περίορθρον. Ὤθησεν οὖν τὰς θύρας, τῷ ἐνδυναμοῦντι ἐπιθαῤῥήσας στρατάγματι. Καὶ τὸ πρώτως χαταληφθὲν τοῦ Ἀπόλλωνος χατέαξεν ἄγαλμα· παραπέλαυσε δὲ χαὶ τὰ λοιπὰ τῆς ἐπὶ τῷ πρώτῳ τιμῆς.

Ὡς οὖν οἱ θεραπευτῆρες χαὶ ἱερεῖς τὰ γεγενημένα ἐπώπλευσαν, χατεπλάγησαν μὲν, ὅπερ εἰχὸς χαὶ παθεῖν ἦν ἀνεννοήτοις τῆς τοῦ δράσαντος ἐξουσίας ἀνθρώποις· ἀμύνειν δὲ τοῖς στρατιομένοις τολμηρὸν ἄλλως ἡγοῦντο. Βλέψας οὖν εἰς αὐτοὺς μετ' ὀργῆς δικαίας ὁ δίκαιος ἄνθρωπος, « Ἀπέλθετε » εἶπεν, « χὴ τοῖς ἄρχουσιν ὑμῶν χαὶ τῷ δήμῳ τὴν τῶν θεῶν ὑμῶν

(1) Psalm. II, 9 : ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς.

καταστροφὴν ἀπαγγείλατε, ὡς ἡ εὐωχία αὐτὸς καὶ τὸ χθιζὸν κῶμα ἐκμεθύσαντα πρὸς συντριβὴν τὴν ἀλλήλων διήγειρεν. Ἀλλ', εἴπερ ὑμῖν οὐ πάντη αἱ φρένες ἀπώλοντο, τὰ τρύφη τούτων καμίνῳ πυρώσαντες, τὴν ὄκ ἄχρηστον ὑμῖν ἔσεσθαι μέλλουσαν ἐξεργάσασθε ἄσβεστον. »

Ταῦτα πράξας, τὴν πρὸς τὸ καταγώγιον ἐστέλλετο φέρουσαν, καὶ τοῖς συνερχομένοις τὸν τῆς διδασκαλίας λόγον ἐπεδαψίλευεν.

Οἱ δὲ τοῖς εἰδώλοις προσκείμενοι εὐθὺς ὡς εἶχον τῇ βουλῇ τὰ γενόμενα προσανέθεντο· καὶ διὰ πάντων ὅσον οὔπω λόγος ἐχώρει ὡς ἠσεβηκότα μὲν τοῖς θεοῖς, ἀλογήσαντα δὲ καὶ τῶν αὐτοκρατόρων, δίκας ὑπέχειν Ἀβέρκιον. Ἀλλὰ τὸ μὲν ὅσον τοῦ βελτίονος ἦν μέρους τῶν βουλευτῶν κρίσει τὴν ψῆφον ἐπέτρεπον, καὶ διαπυνθάνεσθαι παρὰ τούτου τοὺς συναγομένους ἐβούλοντο καὶ μεθ' ὧν ταῦτα τετόλμηκεν· εἰς γὰρ ἀπίθανον αὐτοῖς τὸ ὑπερφυὲς ἐπανεφέρετο τοῦ τολμήματος. Ὁ δ' οὖν δῆμος (δῆμος γὰρ ἦν τῷ ὄντι καὶ πρὸς πᾶν ὁτιοῦν ὑπὸ μανίας ἐπίφορος), ὡς εἶδον ἐπ' ἐδάφους τὰ τῶν θεῶν ἀποθραύσματα, ὀργῇ ἀλογίστῳ τὸ θυμούμενον προσανάψας (1), ξύλα καὶ λαμπάδας ἁναρπασάμενοι, τὸ τοῦ Ἀβερκίου ἠπείλουν πυρπολεῖν καταγώγιον. Τὸ μέντοι δυνάμενον καὶ ἐν τούτοις ἀναφρονεῖν τὴν ἐπιχείρησιν ὡς ἀσύμφορον διεκώλυον, δεδιότες μὴ ποινὰς τῆς τόλμης καὶ αὐθαδείας εἰσπραχθήσονται· δέος ὄντος μή, μετὰ τῆς Ἀβερκίου οἰκίας, καὶ τὰ γειτονοῦντα ἡ πυρκαϊὰ ἐπινέμοιτο.

Οὐ μὴν τούτων τι τῆς διδασκαλίας ἀπῆγε τὸν

(1) Ita codex.

ἅγιον. Τῶν γε μὴν ἀκουσάντων τὸν τῆς πίστεως λόγον τινὲς, τοῦ θορύβου αἰσθόμενοι, παρεκάλουν αὐτὸν μικρὸν τῇ τοῦ δήμου ἀχαλινώτῳ δοῦναι τόπον ὀργῇ· δύο τὰ μέγιστα κερδαίνειν ἐκ τούτου ὑποτιθέμενοι, αὐτόν τε μὴ γενέσθαι παρανάλωμα ὄχλου δίκην πυρὸς ἐξαπλομένου πρὸς τὸ λυποῦν, καὶ τοὺς μετ' αὐτοῦ, καὶ ὅσους, εἰ ἐπιδιφη, τῇ πίστει μέλλοι προσαγαγέσθαι, μὴ ὥσπερ τινὰς ἀποιμάντους ἐναπολειφθῆναι (1) τῇ τῶν ἐπεμβαινόντων θηριωδίᾳ. Ὁ δὲ τὴν χειρονὴν ἐντολὴν ἀντετίθει τούτοις, τὴν κελεύουσαν μετὰ παῤῥησίας κηρύσσειν τὸν λόγον τῆς ἀληθείας (2). Καὶ συνεξελθὼν αὐτοῖς ἀπὸ τοῦ οἰκήματος, ἐν τῇ ἀγορᾷ μέσῃ τοῦ διδάσκειν ἀπήρχετο· καὶ τοὺς περὶ βαπτίσματος λόγους ἐκίνει, καὶ τῆς αἰωνίου μᾶλλον ἢ τῆς προσκαίρου ζωῆς ἀντέχεσθαι ἔπειθε.

Τοῦτο μαθὼν ὁ ἔτι σιγασιάζων ὄχλος, ἀκάθεκτος ἦν εἰσάπαξ καὶ τῶν συμβουλευόντων ἀνήκοος. Μελλόντων οὖν ὅσον οὔπω διασπαράττειν τὸν ὅσιον, τρεῖς ἄνδρες, τὴν ἡλικίαν οὐκ ἀγεννεῖς, τὰς ἑαυτῶν ἐσθῆτας περιῤῥηξάμενοι, καὶ τῶν οἰκείων σαρκῶν παρατρώγοντες, καὶ ἀτεχνῶς δαιμονῶντες, μὴ πρὸ καιροῦ βασανίζεσθαι τῷ ἁγίῳ ἐπεβοῶντο. Τῷ δὴ παραδόξῳ τούτῳ τὸ τέως ἀκρατὲς καὶ θυμούμενον τοῦ δήμου εἰς δέος τὴν τόλμαν μεταβαλὸν (3), τὰς χεῖρας συνέσπειλεν οὐκ ἧττον ἢ τὴν φωνήν, καὶ ἀτενῶς πρὸς τὸν δίκαιον ἔβλεπεν, εἴ τι καὶ δρᾶν μέλλοι πρὸς τοὺς δαιμονῶντας παραδοκοῦν.

(1) Codex, ἐναποληφθῆναι.

(2) Matth. x, 27 : ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ εἴπατε ἐν τῷ φωτὶ, καὶ ὃ εἰς οὖς ἀκούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων.

(3) Codex, μεταβαλών.

Ὁ δὲ, τὸν Χριστὸν ἐπικαλεσάμενος, καὶ τὰς τῶν πιστευσάντων ψυχὰς ἐπιστηριχθῆναι ἐξαιτησάμενος καὶ τῶν πονηρῶν ἀπαλλαγῆναι πνευμάτων, τοὺς νεανίσκους ἐπιθειάσας, « Ὡς ἂν καὶ ὁ παρὼν οὗτος ὄχλος γνῷ » φησί, « σὲ μόνον εἶναι θεὸν ἀληθῆ », καὶ τούτοις συμπερανάμενος τὴν εὐχὴν, τῇ ἐν χερσὶ ῥάβδῳ τὰς κεφαλὰς τῶν δαιμονώντων ἐπικροτήσας, καί « Ἀκάθαρτα » φησί, « πνεύματα, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἐξελθόντα, εἰς ὄρος ἀνθρώποις ἀπέλθετε ἀνεπίβατον. » Καὶ τοῖς λόγοις τὸ ἔργον ἐπηκολούθει· καὶ οἱ χειμαζόμενοι, πρὸ τῶν ποδῶν ἄφωνοι τοῦ ἁγίου κείμενοι, δόξαν πολλοῖς παρέσχον ἐκπεπνευκέναι. Ἀλλ' ὁ θαυματουργῶν τὰ τεράστια, τῆς χειρὸς αὐτοὺς λαβόμενος ἤγειρε, καὶ σωφρονήσαντας ὀπαδοὺς εἶχεν εἰς τὸ μετέπειτα.

Οἱ δ' οὖν θεασάμενοι μόνον ἀληθινὸν ἐπεβοῶντο θεὸν, τὸν διὰ τοῦ Ἀβερκίου κηρυττόμενον, καὶ πιστεύοντες σωτηρίαν ᾐτοῦντο μεταγινώσκοντες. Καὶ ὁ ταύτης ἐγγυητὴς, ἐγγύτερος μᾶλλον τῶν αἰτουμένων καὶ μεγάλῃ φωνῇ, τὰ τῆς σωτηρίας αὐτοῖς εἰς ἐπήκοον ἐπεφώνησε λόγια, ἑνὸς λέγων μόνου δεῖν, τῆς τῶν προβεβιωμένων ἀλλοτριώσεως, καὶ τῆς τοῦ ὀλεθρίου σεβάσματος ἀποχῆς· « Καὶ πάντα ὑμῖν ἕτοιμος ἐγὼ παρασχέσθαι τὰ τῆς σωτηρίας ἐνέχυρα. » Οἱ δέ (ἀπείρατος γὰρ Θεοῦ φιλανθρωπίας ψυχὴ οὐκ οἶδε ῥᾳδίως τῷ τῶν ἐπαγγελλομένων μεγέθει ἐπιθαῤῥεῖν), τὰ τολμηθέντα εἰδότες δεινὰ, τὴν σωτηρίαν ἀπήλπιζον.

Ἀλλ' ὁ τοῦ φιλανθρώπου Θεοῦ φιλάνθρωπος ὑπουργὸς τὴν ἐκ μετανοίας αὐτοῖς καὶ τοῦ λουτροῦ τῆς παλιγγενεσίας ὑπετίθετο κάθαρσιν, καὶ τὸν σωτήριον λόγον

εἶχε τοῦ διηγήματος πίστωσιν, τὸν « Δεῦτε » λέγοντα (1), « πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. » Καὶ μεῖζον προσετίθει σωτηρίας ἐνέχυρον, τὴν διὰ φιλανθρωπίαν κάθοδον ἐκ τῶν οὐρανῶν τοῦ δημιουργοῦ, τῆς ὀλισθησάσης ἕνεκα φύσεως ἀνθρωπίνης γεγενημένην· καὶ ὅσα δὲ ἐπὶ τούτοις ἡ πολυύμνητος αὐτοῦ καὶ μέχρις ἡμῶν συνανασταφὴ εὐσπλαγχνίας ἐχόμενα διεπεράξατο, τὸν τῆς συμβουλῆς τῷ ἀγίῳ καὶ παραινέσεως συνδιεξύφαινον λόγον.

Διαθερμανθείσης οὖν τῷ λόγῳ τῆς καρδίας ἁπάντων, καὶ αἰτουμένων τὸ βάπτισμα, ὁ δὲ τὴν ἀκαιρίαν εἰς ἀπολογίαν αὐτοῖς τοῦ κατεπείγοντος ἀντιθείς (ἐννάτη γὰρ ὥρα τῆς ἡμέρας ἦν), εὐλογήσας αὐτοὺς καὶ ἀσπασάμενος, εἰς τὸ οἰκεῖον ὑπανεχώρησεν ἐνδιαίτημα, εἰς τὴν ἑξῆς αὐτοῖς τὸ τῆς σωτηρίας ἐπαγγειλάμενος βάπτισμα. Ἀλλ' οὐκ εἶχεν ὅμως αὐτοῖς τὸν πόθον λέγων ἀφοσιώσασθαι· διὸ πλεῖστοι τοῦ περὶ τὸν διδάσκαλον φίλτρου ἐκκαῶς ἔχοντες, περὶ τῆς οἰκίας ἀπελθόντες διενυκτέρευσαν.

Ἐκεῖνος δὲ πρωϊνώτερον (2) ἀναστὰς, καὶ τὴν ἐν ἔθει εὐχαριστίαν ἀποδοὺς τῷ Θεῷ, τὸν περιεστῶτα ὄχλον κατέλαβε, καὶ εὐχῇ τὸ πρόθυμον αὐτῶν καὶ περὶ τὴν πίστιν σπουδαῖον ἀμειψάμενος, ἕπεσθαι τὴν ἐπὶ τὸν ναὸν τοῦ Θεοῦ παρηγύησε. Κἀκεῖ, κατηχήσας αὐτοὺς, εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου ἐβάπτισε Πνεύματος ἄνδρας εἰς ἀριθμὸν πενταπλῆς ἀναφερομένους ἑκατοντάδος.

Ἀνοιγείσης δὲ διὰ τούτων θύρας τοῖς ἔθνεσι, πολ-

(1) Matth. xi, 28.

(2) Prius fuit πρωΐτερον.

λοὶ πρὸς τὴν πίστιν ἐχειραγωγοῦντο συντρέχοντες, οὐ τῶν ἡμεδαπῶν μόνον καὶ ἐγχωρίων, ἀλλ' ἤδη καὶ τῶν ἐπηλύδων καὶ πορρωτάτω τῆς Φρυγίας διαιτωμένων. Συνεπέρρει δὲ τούτοις πλῆθος οὐκ ἔλαττον, οἱ μὲν, κατὰ βίου ζήτησιν (καὶ γὰρ καὶ τούτοις ἐπαρκῶν ἦν, πλειστηριάζων τὸ τάλαντον (1), ἀλλὰ μὴ τῷ βαλαντίῳ προσκτώμενος)· οἱ δὲ, διὰ τὴν τῶν θαυμάτων χάριν, ὅσοις νόσος ἡτίσποτε τοῖς ἑαυτῶν ἐπεχωρίαζε μέλεσι, θεραπείαν πλουτῆσαι ἐλπίζοντες.

Ποιουμένῳ δ' οὖν αὖθις τὴν συνήθη τοῖς ὄχλοις διδασκαλίαν πρόσεισι χειραγωγούμενον γύναιον, ἄμφω ἐστερημένον τῶν ὄψεων. Ἦν δὲ οὐκ ἄσημον, οὐδὲ ἄπορον, ἀλλὰ καὶ πλούτῳ βρίθον καὶ γένει περιφανές· Εὐξεινιανοῦ γὰρ μήτηρ Πολλίωνος τοῦ κατὰ τὴν πόλιν ἦν δυναστεύοντος. Ὄνομα τῷ γυναίῳ Φούγιλλα. Προσελθὸν δ' οὖν τὸ βλέπειν ᾐτεῖτο, καὶ τὴν ὑπὲρ τούτου ἐποιεῖτο παράκλησιν. Καὶ ὁ ἐν πᾶσι τὸ μέτριον ἀγαπῶν ἱερὸς ἄνθρωπος, ὡς ἂν μὴ τῷ μεγέθει τῶν τελουμένων ὑπερφρονήσειεν, ἁμαρτωλὸν ἔλεγε καὶ ἑαυτὸν εἶναι ἄνθρωπον καὶ τοῦ ἴσου ἐλέους ἐπιδεᾶ· « Εἰ δὲ τῷ ὑπ' ἐμοῦ » φησί, « κηρυττομένῳ πιστεύσεις Χριστῷ, δύνατον εἶναι τοῦτο γενέσθαι· καὶ τὸν ἐκ γενετῆς γὰρ τυφλὸν (2) τὸ τῆς πίστεως ἐξιάσατο φάρμακον. » Ἡ δὲ τὸ εὐγενὲς τῆς ψυχῆς προκεκτημένη τοῦ σώματος, τῷ τοῦ ἁγίου λόγῳ ἐπιδακρύσασα, πίστεως πλήρη φωνὴν ἐναπέρρηξε, πιστεύειν εἰποῦσα Χριστῷ, καὶ θαρρεῖν ὡς, εἰ ἅψεται μόνον τῶν

(1) Respectu ad parabolam talentorum apud Matth. xxv.
(2) Vid. Joann. ix, 1....

ὀμμάτων, ἐξιαθήσεται. Ὁ δὲ, μεγάλην αὐτῆς τὴν πίστιν ἰδὼν, ἐπευξάμενος εἶπε· « Τὸ ἀληθινὸν φῶς, ὦ Χριστὲ, διάνοιξον τοὺς ὀφθαλμοὺς αὐτῆς νῦν, ὡς ἂν ἐπιγνῷ σου τὴν ἐξουσίαν. » Καὶ ἁψάμενος αὐτῆς, ἀποκατέστησεν ὑγιᾶ. Καὶ ἀπέδωκε καὶ αὐτὴ, τοῦ ἐκ γενετῆς τυφλοῦ οὐχ ἧττον, τὴν ἐπὶ τῷ τοιούτῳ τερατουργήματι δόξαν τῷ Θεῷ, καὶ τὸ ἥμισυ τῆς οὐσίας τοῖς πένησι διενείματο. Ἀλλ' οὐδ' ὁ παριστάμενος ὄχλος τῆς εὐχαριστίας ἠμέλει· ἀλλὰ τῷ παραδόξῳ τοῦ θαύματος ἐκπλαττόμενος, καὶ τῷ περὶ τὸν Εὐξεινιανὸν φίλτρῳ περικαόμενος, οὗ μήτηρ ἦν, ὡς εἴρηται, ἡ τοῦ θαύματος ἀπολαύσασα, μέγαν ἐν θαύμασι τὸν τῶν χριστιανῶν θεὸν ἐπευφήμησαν. Ὁ δὲ ἅγιος « Ἐπίγνωθι, φησί », θυγάτερ, ὅσα πεποίηκέ σοι ὁ Κύριος, καὶ ἐν εἰρήνῃ πορεύθητι. » Καὶ ἐπορεύθη πρὸς τὸ κατεπεῖγον· ἀχώριστος δὲ τούτου πρὸς τὸ μέλλον ἐγένετο.

Καὶ ἡ συνηθὴς αὖθις δίδαξις τὸν λαὸν διεπαιδαγώγει, καὶ ἡ τοῦ εὐαγγελίου τρίβος τοῖς βαδίζειν προαιρουμένοις ἐξωμαλίζετο.

Τῷ γοῦν κατὰ τὴν Φούγιλλαν θαύματι ἐπιῤῥωσθεῖσαι γυναῖκες πρεσβύτιδες τρεῖς, αἱ τῆς ὁμοίας κακοδαιμόνως πυτύχουν πρώσεως, εἰσδραμοῦσαι, πρεσβυτικῶς ἐφ' ἱκεσίας ἐτράποντο κυλινδούμεναι, τὴν πίστιν προβαλλόμεναι, τὴν θεραπείαν ἐπιζητοῦσαι. Ὁ δὲ, μὴ μελλήσας, « Εἰ τὰ τῆς πρὸς Χριστὸν ὑμῖν » φησί, « πίστεως ἔῤῥωται, κἀγὼ οὐκ ἀμφιδοξεῖν ὑμᾶς ἡ πρόκατασχοῦσα πλάνη ἔτι ἐξαπατᾷ, ἰδοὺ κίχρημι τὰς χεῖρας τῷ τῶν τοιούτων θαυμάτων ἐργάτῃ μόνῳ Χριστῷ· καὶ οἶδα ὡς οὐ παρόψεται ἱλεούμενος. »

Καὶ εὐχομένου φῶς ἀσύνηθες περιήστραψεν οὕτω λαμπρὸν, ὡς ἐκστῆναι μὲν πάντας καὶ τὰς ὄψεις ὑπερεῖσαι τούτων ποιῆσαι πρὸς γῆν, αὐτὸν δὲ τὸν ἅγιον τῇ δυνατῇ ἐξαιτεῖν τὸν Θεὸν κοινωνεῖν αὐτοῖς ὁμιλίᾳ, ὡς τῆς ἀνθρωπίνης ἀσθενείας ἀδυνάτως ἐχούσης πρὸς θείαν ἐνέργειαν. Ἐμπεσοῦσα δ' οὖν ἡ τοῦ τοιούτου φωτὸς ἀστραπὴ τοῖς πεπηρωμένοις ὄμμασι τῶν γυναίων, ἀναβλέψαι ταύτας πεποίηκε. Καὶ τὸ διάφορον ἑκάστη τῆς ὁπτασίας ἐπερωτώμεναι ἔλεγον. Ἐξ ὧν εὐχαριστία συνήθης ὑπὸ πάντων τῷ αὐτουργῷ τῶν τοιούτων ἑκάστοτε προσανήγετο.

Ὁ γε μὴν Εὐξεινιανὸς, τῇ τῆς μητρὸς συγχαίρων εὐετηρίᾳ, νυκτερινὸς ἀφίκετο πρὸς τὸν ἅγιον, καὶ « Χρήματα μέν » ἔλεγεν, « εἴ σε ᾔδειν, ἄνθρωπε τοῦ Θεοῦ, λαμβάνοντα, ἀπέτισα ἄν σοι τῆς εἰς τὴν μητέρα θεραπείας τιμὴν ἀξιόχρεων· ἀλλ', ἐπεὶ μετὰ τῶν ἄλλων καλῶν καὶ χρημάτων κρείττων εἶ ὡς μηδὲ τούτοις ἁλίσκεσθαι, ἔχεις ἀποκειμένην σοι παρ' ἐμοὶ χάριν καὶ εὐχαριστίαν ἀείμνηστον. » Καὶ, ταῦτα λέγων, πρὸ τῶν ποδῶν τοῦ ἁγίου ὑπέπιπτεν. Ἀλλὰ, προφθάσας αὐτὸν ἐκεῖνος, πρὸ τοῦ πεσεῖν ἐξανέστησεν, εἰπών· « Ἀλλ' ἔγωγέ σε, ὦ βέλτιστε, συνετὸν ἄνδρα ὑπάρχοντα, πιστὸν εἶναι μᾶλλον πένητα ἐβουλόμην ἢ πλούσιον ἄπιστον, βραχείᾳ ἡδονῇ βίου ματαίου παρασχολούμενον. »

Καὶ ὁ Εὐξεινιανός « Εἴ σοι φίλον ἐστὶ » φησί, « περὶ τούτου ἐπιζητήσομεν· ἀκήκοα γὰρ τῆς μητρὸς ὑπὸ σοῦ διδαχθείσης, ὡς τὸν αὐτὸν Θεὸν ποτὲ μὲν λέγεις εὐμενῆ καὶ φιλάνθρωπον, πολὲ δὲ φοβερόν τε καὶ δίκαιον, καὶ ὁτὲ μὲν, ὡς ἀγαθὸν, καλοῖς ἀμείβεσθαι τοὺς τὰ

ἀγαθὰ πράττοντας, ὁτὲ δὲ, ὡς δίκαιον, τοὺς τὰ φαῦλα ἐργαζομένους ἀμύνεσθαι· πῶς οὖν ἂν ταυτῷ πιστέον εἶναι τὸ ἀγαθόν τε καὶ δίκαιον, τὸ εὐμενὲς καὶ τὸ φοβερόν; »

Ὁ δὲ ἄγιος βραχεῖ λόγῳ τὴν ἐπίλυσιν τῶν ἀπορουμένων, τῷ Εὐξεινιανῷ πεφσευτόρησεν. Ἔφη γὰρ τοῖς μὲν μεταγινώσκουσι καὶ τὴν εἰς αὐτὸν πίστιν παραδεχομένοις εἶναι φιλάνθρωπον, δίκαιον δὲ τοῖς ἀμετανοήτοις, τὰ κατ' ἀξίαν ἀπονέμοντα.

Ὁ δὲ Εὐξεινιανός « Καὶ εἰ χαίρει » φησὶν, « ὁ Θεὸς τοῖς καλοῖς, διὰ τί μὴ, τὸν ἄνθρωπον πλάττων, οὐ τὴν τῶν ἀγαθῶν ἔργων δύναμιν μόνον τούτῳ ἐνέθηκεν, ἀλλ' ἤδη καὶ ταναντία πράττειν οὐ κεκώλυκε; »

Πρὸς ὃν ὁ τοῦ Θεοῦ ἄνθρωπος « Εἰ τὸ τὰ φαῦλα ἐργάζεσθαι, ὦ οὗτος », φησί, « μὴ ἠδυνάμεθα, οὐδ' ἂν τὸ ἀγαθὸν ἦν ἡμέτερον· ἀλλ' οὐδὲ μισθῶν ἢ ἐπαίνων ἄξιοι ἦμεν ἂν οὐ πράττοντες τὰ κακὰ, μὴ τὴν τοῦ ποιεῖν αὐτὰ δύναμιν ἔχοντες. Οὐ δή που δὲ τὸν μὴ δυνάμενόν τινα κακοῦν ὡς ἀγαθὸν ἐπαινοῦμεν, ἀλλὰ τὸν δυνάμενον μὲν, φειδόμενον δέ· οὐ γὰρ τῷ δύνασθαι ποιεῖν τὰ κακὰ τὸ ἀγαθὸν τοῦ ποιοῦντος γνωρίζεται, ἀλλ' ἐν τῷ δύνασθαι πράττειν τὰ ἀγαθὰ ὀρθῶς οἱ μὴ ταῦτα καλαπραττόμενοι διαβάλλονται· τοῖς δὲ μηδ' ἕτερον δυναμένοις οὔτε ψόγος οὔτε ἔπαινος ἑπακολουθεῖ. Ὥστε τῆς ἀκαίρου ταύτης ἀδολεσχίας παυσάμενοι πρὸς εὐχαριστίαν τὸν λόγον τοῦ πλάσαντος ἡμᾶς εὐοδώσωμεν, οἷς ἀγαθὸς ὢν ἡμᾶς τῷ αὐτεξουσίῳ τετίμηκεν, ἵν' ἐν τῷ θέλειν ἡμῖν ᾖ καὶ τὸ γενέσθαι, κατὰ τὴν ἐκείνου φωνὴν, υἱοὺς Θεοῦ, καὶ τὸ τιμῶν ἀξιοῦσθαι διὰ τῆς ἀγαθοεργίας, ἢ κολά-

σεων διὰ τῆς πρὸς τὰ κακὰ ἀπονεύσεως. Διὰ τοῦτο γὰρ νῷ καὶ λόγῳ τὸν ἄνθρωπον μόνον τετίμηκεν, ἵν' ἔχῃ τὸ διακριτικὸν τὸ φαῦλον ἀπὸ τοῦ χρείττονος (1). Καὶ τῇ αἱρέσει τοῦδε μᾶλλον ἢ τῷδε τὸ αὐτεξούσιον, ἀλλὰ μὴ ἀναγκαστὸν, ἀποδείκνυται. Ἃς δὲ λέγεις ὄντολὰς (2) τὸ βαρὺ ἔχειν καὶ φορτικὸν, καὶ διὰ τοῦτο τὸ δυσκατόρθωτον, αἷς ἡμᾶς ὁ ἀγαθὸς δημιουργὸς βιοῦν διετάξατο, τῷ μὴ βουλομένῳ εὑρήσεις ταύτας βαρείας εἶναι διὰ τὸ αὐτεξούσιον, ἐπεὶ τῷ προαιρουμένῳ κοῦφον ἡ τῶν φαύλων ἀποχὴ καὶ λίαν εὐπόριστον. Τίς γὰρ κάματος, ἃ μὴ αὐτοὶ παρ' ἑτέρων εἰς ἡμᾶς βουλόμεθα γίνεσθαι, ταῦτα μηδ' αὐτοὺς ἡμᾶς κατά τινων πραγματεύεσθαι; οἷον τὸ ἀλλοτρίας μὴ διορύττειν γάμους, τὸ μὴ τὰ ψεύδη μᾶλλον προτεθυμῆσθαι καὶ ἀδικεῖν τὴν ἀλήθειαν, τὸ μὴ τῶν ἀλλοτρίων ἐρᾶν, τὸ κοινωνεῖν τῶν ὑπαρχόντων τοῖς χρῄζουσιν· ὧν ἁπάντων ῥᾴστη τῷ βουλομένῳ καθέστηκεν ἡ ἐγχείρησις. »

Καὶ ὁ Εὐξεινιανός· « Εὐχερῆ ταῦτα λέγεις καὶ ἀπαραπόδιστα, ὦ ἐπίσκοπε; »

Καὶ ὅς « Εὐχερῆ μέν » φησίν, « ἐλευθέρᾳ ψυχῇ γίνεται ταῦτα· τῇ δὲ τοῖς κάτω καὶ περιπεζίοις ἀσχολουμένῃ ὡς δυσχερῆ καὶ δύσεργα διαβάλλεται. Τί γὰρ τοιοῦτον ὁ πλάσας νενομοθέτηκε βαρύ τε καὶ δυσαχθὲς, οἷα οἱ κακοδαίμονες βασιλεῖς ἐπιτάττουσι, λίθων ἢ ξύλων ἄχθη ἐπιφορτίζεσθαι παραχελευόμενοι, ἃ καὶ τοὺς κατὰ ῥώμην γενναίους πολλάκις ἀποκναίει καὶ διαφθείρει διὰ τὸ εἶναι δυσμε-

(1) Codex, χείρονος, cum varietate marginali, κρείττονος.

(2) Periisse videtur ex Euxiniani objectionibus nonnihil.

ταχείσια; τὰ δὲ ψυχὴν σώζειν δυνάμενα περαιρέσεως μόνης, οὐκ ἄλλου τινὸς, ἐπιδέεται. Τίς γὰρ πόνος μὴ πορνεύειν, μὴ μοιχεύειν, μὴ ψεύδεσθαι, ἀλλὰ φοβεῖσθαι τὸν Κύριον; »

Ὡς δὲ καὶ ταῦτα τῷ Εὐξεινιανῷ πρὸς τὸ δυσχερὲς μᾶλλον ἢ τὸ ῥᾴδιον ἐνομίσθη, θαυμάζειν αὐτὸν ἔφη ὁ ἄγιος, συνετὸν ὄντα, μὴ συνιέναι ὡς τὸ ποιεῖν τὰ κακὰ τοῦ τὰ ἀγαθὰ διαπράττεσθαι εὐχερέστερον. « Τὰ μὲν γὰρ ἀγαθὰ, ὡς κατὰ φύσιν ὄντα τῷ ἀνθρώπῳ, διαπραττόμενος ἥδεται· τὰ δ' αὖ ἐναντία, ὡς ἑτέρας ὄντα ἐνεργείας, οὐ καθ' ἡδονὴν ἐνεργεῖ. Ῥᾴδιον μὲν γὰρ τὸ ἐπαινεῖν, τὸ δ' αὖ μὴ ψέγειν (1) τὸν ἐχθρὸν βαρὺ νομίζεται· καὶ τὸ μὲν εὐεργετεῖν μεθ' ἡδονῆς ἐνεργεῖται, ὁ δ' αὖ ἀδικῶν, παραπλῆγι καὶ μαινομένῳ προσεοικὼς, θυμῷ μᾶλλον ὑπηρετεῖται ἢ λογισμῷ. Ἀλλ' οὐδὲ κατὰ φύσιν, ὡς οἴει, τῷ ἀνθρώπῳ τὸ ἁμαρτάνειν ἐμπέφυκεν· εἰ γὰρ τοῦτο, καὶ τὸ ἀγαθὸν ἄρα κατὰ φύσιν ποιῶν ἄμισθον ἔχει τὴν ἀρετήν. Ἀλλὰ μὴν ἐκ τούτων ἁπάντων καλῶς ἡμῖν ἔχει προαιρέσει μᾶλλον ἢ φύσει ταῦτα διενεργεῖσθαι διὰ τὸ αὐτεξούσιον. »

Τούτοις πεισθέντα τὸν Εὐξεινιανὸν μετὰ τῶν συνόντων ἀπέλυσεν ἐπευξάμενος.

Ἐπειδὴ δὲ μετ' οὐ πολὺ, περιερχόμενος τὰς γειτονούσας πόλεις καὶ χώρας, τῇ θεραπείᾳ τῶν νοσούντων ὁ ἀκάματος θεραπευτὴς ἐνησχολεῖτο, ἑώρα δὲ αὐτοὺς βαλανείου χρεύοντας, καὶ τοῦτο μάλιστα τῆς ταλαιπωρίας ἐφόδιον ἔχοντας, ἐλθὼν εἴς τινα τόπον παραποτάμιον, καὶ κλίνας τὰ γόνατα, « Θεὲ

(1) Debet abesse μή.

τῶν οἰκτιρμῶν », ἀνεῖπεν, « ὁ αἰτεῖν κελεύσας ἡμῖν τὰ χρειώδη καὶ παρέχων ἀφθόνως τὰ ἐξαιτούμενα, ἐπάκουσον τῆς σοφοφορημένης σοι τὰ νῦν παρ' ἐμοῦ δεήσεως, καὶ βλυσάτω πηγὴ θερμῶν ὑδάτων ἐνταῦθα, ἵν' ἔχοιεν οἱ ἐν τούτοις ἀπορρυπτόμενοι ἄμισθον ἰατρεῖον ἁπάσης νόσου καὶ μαλακίας. » Τῆς εὐχῆς οὖν τῷ πέρατι βροντῆς ἦχος ἀπήντησεν οἷος βαρύτατος, καίτοι τοῦ ἀέρος ἀνεφέλου λαχόντος καὶ αἰθριάζοντος· καὶ τῷ ἤχῳ συνεξελύσθη θερμῶν ὑδάτων πηγή, ἐν ᾧ τόπῳ τὸ γόνυ ἐπὶ τῇ προσευχῇ ὁ ἅγιος ἔκλινεν. Ἐφ' ᾧ πάντες οἱ ὁρῶντες καταπλαγέντες δόξαν εὐχαριστίας τῷ Σωτῆρι ἀνέπεμψαν. Παρακελευσάμενος δὲ τοὺς ἀγομένους δεξαμενὰς ἑαυτοῖς ὀρύττειν, εἰς ἃς τὸ θερμὸν ἐπισυναγόμενον εὔχρηστον αὐτοῖς εἰς λουτρὰ γενήσεται, ἐπὶ τὴν λαχοῦσαν αὐτὸν πόλιν ὑπέστρεψεν.

